# ΕΠΙΣΤΟΛΑΙ

ΠΡΟΣ ΤΙΝΑΣ

*ΕΝ ΔΙΑΦΟΡΟΙΣ ΠΕΡΙΣΤΑΣΕΣΙ·*

ὑπὸ

**ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.**

ΕΙΣ ΤΟΜΟΥΣ ΔΥΟ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΕΝ ΑΙΓΙΝΗ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1835.

# ΕΠΙΣΤΟΛΑΙ.

ΒΙΒΛΙΟΘΗΚΗ
525
ΙΩ. ΒΛΑΧΟΓΙΑΝΝΗ

ΙΩΑΝΝΗΣ Κ. ΒΗΧΑΣ
ΕΦΟΡ. ΕΙΣΗΓΗΤΗΣ

[illegible]

# ΕΠΙΣΤΟΛΑΙ

ΠΡΟΣ ΤΙΝΑΣ

ΕΝ ΔΙΑΦΟΡΟΙΣ ΠΕΡΙΣΤΑΣΕΣΙ

Ὑπὸ

*ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.*

πρὸς τὸν

*Ἐξοχώτατον Κυβερνήτην τῆς Ἑλλάδος*

*ΙΩΑΝΝΗΝ ΑΝΤΩΝΙΟΥ ΚΑΠΟΔΙΣΤΙΑΝ.* (201.)

Τῷ αωλα΄. κατὰ μῆνα
Σεπτέμβριον.

Εὐλογητὸς ὁ θεὸς ὅτι ἐπεσκέψατο κἀμὲ κατελθεῖν εἰς τὸ [illegible] ἔδαφος τῆς φίλης Ἑλλάδος, ὅποι πόθος πάλαι με ἀναπόδρασος κατεῖχεν ἕλκων· κατελθόντα δὲ, εὐλογῆσαι αὐτὸν τὸν τούτου με τυχεῖν ἀξιώσαντα, καὶ εἰπεῖν, τὴν αὐτὴν τῷ ἱερῷ Ἰσραϊλίτῃ ἐκείνῳ φωνὴν προϊέμενον, Νῦν ἀπολύοις τὸν δοῦλόν σου δέσποτα ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· εἶδον τὴν Ἑλλάδα ἠλευθερωμένην, καὶ τὴν δεξιὰν τῆς θείας σου προνοίας ἐπισκιάζουσαν ἄνωθεν. Εὐλογητὸς ὁ θεὸς, ὅτι μετὰ τῆς ἐλευθερίας εἶδον καὶ τὴν Θέμιν αὐτὴν διαγελῶσαν ἐν τοῖς τῶν Ἑλλήνων ὀφθαλμοῖς [illegible] τῶν [illegible]μένων ἀγώνων, καὶ φέρουσαν ἐν τῇ δεξιᾷ τὴν πλάστιγγα τῆς δικαιοσύνης ἰσοῤῥοπῆ, τοῦ Νόμου πανταχοῦ

συμπαρισταμένου· σημεῖον δὲ τούτου μάλιστα μέγιστον καὶ τοῖς πᾶσιν ἀριδηλότατον αὐτὸ τὸ ἀνεγερθὲν ἐν Αἰγίνῃ Ὀρφανοτροφεῖον, μέγ' ἔργον τοῦτο ὡς ἐκ τῶν παρόντων καὶ θαυμαστὸν, καὶ ὅλως πρὸς τὸν τῶν Εὐ[illegible]ταίων πολιτειῶν, τῶν ἐκ πολλῶν αἰώνων τὴν εὐδαιμονία[illegible]ριζομένων, κόσμον διαμιλλώμενον· πρῶτον δὴ τοῦτο καὶ μέγιστον βῆμα τῆς δικαιοσύνης ποιοῦμαι, ὅτι τετρακόσιοι παῖδες, ὧν οἱ πατέρες καὶ συγγενεῖς ἀπέθανον προμαχόμενοι περὶ ἐλευθερίας, ἤμελλον καὶ αὐτοὶ οὗτοι θύμαθ' ὁμοίως τοῦ λιμοῦ καὶ τῆς τοῦ Αἰγυπτίου Σατράπου ὠμότητος διὰ τὴν τότε ἐπικρατοῦσαν ἀνάγκην γενήσεσθαι, εἰμὴ φθᾶσα ἡ πατρική σου πρόνοια, ἐδείματο τὸν μέγαν τοῦτον ὅρμον ἐκείνοις, εἰς ὃν συνορμισθέντες καὶ καταφυγόντες, τρέφονται δημοσίᾳ, καὶ παιδεύονται ἐλευθέρως τὰ τῇ ἡλικίᾳ ταύτῃ καθήκοντα. Τοῦτ' οὖν πρῶτον σοφῆς Κυβερνήσεως καταφανὴς τοῖς πᾶσιν ἐπίδειξις πρὸς τὸ δίκαιον· ἐξ οὗ εἰκότως ἐπαιροίμεθ' ἂν ταῖς ἐλπίσι καὶ πρὸς τἄλλα, οἷς ῥᾷον ἂν καὶ τάχιστον ἡ κοινὴ συναρμολογοῖτο εὐδαιμονία.

Ἐκ δ' οὖν τούτου συνειδὼς αὐτὸς, σοφὲ Κυβερνῆτα, ὡς ἐκ πολυπειρίας ὁρμώμενος, ὅτι ἡ γενικὴ παιδεία, ἅτε δὴ μήτηρ καὶ τροφὸς τῆς φρονήσεως αὐτὴ γιγνομένη, καὶ ἡγεμὼν πρὸς τὴν ἐλευθερίαν καὶ δικαιοσύνην οὖσα, ἔσπευσας, καὶ τοῦτ' ἐν ἀμηχανίᾳ μεγίστῃ, συστῆσαι τὰ διδασκαλεῖα, ἐξ ὧν ἡ πρώτη καὶ γαλακτώδης τροφὴ τῶν τῆς νεολαίας ἠθῶν· καὶ τὸ ἐν Αἰγίνῃ Κεντρικὸν τῶν ἐγκυκλίων μαθημάτων γυμνάσιον· ἐξ ὧν ὁρῶμεν ἱκανῶς, ὡς ἐκ τῶν παρόντων, προϊοῦσαν τὴν τῶν μειρακίων ἐπίδοσιν· ἐπειδὴ δ' ὅμως [illegible] ἀεὶ τῷ χρόνῳ πρ[illegible]κίνον[illegible], καὶ οἱ μετὰ τούτους αὖθις ἀναῤῥιχώμενοι, [illegible]ισπεύδουσι ταῖς προόδοις πρὸς στερεωτέραν τρ[illegible]φὴν, οὐδὲ τοῦτο τὴν σὴν διαλανθάνει βαθύνοιαν· ἀλλ' εἰδὼς τὸ πραγμ'

οὐκ ἄνυσσὸν ὂν ἀπὸ τῆς παρούσης ὁρμῆς, διασκοπεῖς καὶ τούτου τὴν θεραπείαν, εἴποθέν σοι γένοιτο πόρος πρὸς ἀνέγερσιν, ὡς εἰκὸς, ἐθνικῆς Ἀκαδημίας, ἵνα μὴ ἡ κοινὴ παιδεία βάδην καὶ κατὰ βραχὺ σταδιεύουσα, διαχρονίσῃ πρὸς τὸ προσδοκώμενον τέρμα· καί γε εἰκότως· πέντε γὰρ μυριάδες παῖδες, ὅσοι γ' εἰκότως ἐν ἁπάσῃ τῇ χώρᾳ ἤδη διδάσκονται, ἢ εἰσὶ γοῦν διδάσκεσθαι ἄξιοι, καὶ ἕτεροι ἴσοι οἱ ἑπόμενοι ὄπισθεν, οὐκ ἂν, ὧν ἐφίενται, τύχοιεν ἔκ γε τῶν παρόντων· δεῖ γὰρ δὴ ἀφορμῆς ἱκνουμένης πρὸς τοῦτο, δεῖ δὲ χρημάτων, ὧν ἄνευ οὐδέν ἐςι γενέσθαι τῶν δεόντων· Ταῦτα δὴ οὔθ' οἱ πολῖται δύναιντ' ἂν συνεισενεγκεῖν εὐμενῶς, ὡς προκαταναλώσαντες τὴν ἑαυτῶν οὐσίαν ἕκαστος ἐν τοῖς περὶ ἐλευρερίας ἀγῶσιν, οὔτ' αὖ πάλιν ἡ σεβαστὴ Κυβέρνησις καταβαλεῖν ἀπὸ τῶν κοινῶν, ἃ μόλις ἐπαρκοῦσιν εἰς σιτηρέσιον τοῖς στρατευομένοις, καὶ μισθὸν τοῖς τἄλλα πολιτευομένοις. Ἐκ δὴ τούτου ἀνάγκη εἰς ἑτέραν τινὰ ἐπικουρίαν καταφυγεῖν· ἐξ ἧς εὑράμενοι πόρον, εἰμὴ τὸ ὅλον, ἀλλ' ἱκανόνγ', ὥςε καταβαλεῖν τὴν πρώτην τῆς Ἀκαδημίας κρηπῖδα· ἔπειθ' οὕτως ἀεὶ ἐποικοδομοῦντες, δυνησόμεθα ἀεὶ ταῖς προσθήκαις, ὅθεν ἂν προχωρῇ, ἐπιθεῖναι τῷ χρόνῳ καὶ τὴν ὀροφὴν εὐτυχῶς· τίς δ' ὁ πόρος οὗτος, καὶ ὅπως, τοῦθ' ἥκω ἐρῶν· εἴη δέ μοι παρὰ σοῦ εὐνοϊκὴ ἡ ἀκρόασις.

Τρισκαιδέκατον ἔτος ἤδη τουτὶ, Ἐξοχώτατε, ἐξ οὗ ὁρῶν πατὲ τὴν μὲν νεολαίαν τῶν Ἑλλήνων ἐστερημένην καὶ αὐτῶν τῶν ἀναγκαίων βιβλίων· τοὺς δὲ συγγράφειν, ἢ μεταφράζειν ἱκανοὺς ὄντας τῶν διδασκάλων φυλάττοντας τὰ ἑαυτῶν πονήματα κατάκλεισα δι' ἔνδειαν ἐν τοῖς κιβωτίοις, προήχθην οὐκ ἀπὸ φαύλης ἐλπίδος προβαλεῖν θεραπείαν τινὰ τοῦ πράγματος πρὸς τὸ τάγμα τῶν ἐμπόρων τὸ πλούσιον καὶ φιλογενές· ἐπεὶ γὰρ καὶ ἄλλοτε ἀγαθὸν προὔκυψέ πῃ τῷ κοινῷ, τούτων μάλιστα

δοκιμάζεται. Ἐντεῦθεν οὖν γράψας πρὸς τὸ κοινὸν τὸ ἐν Βυζαντίῳ, προὔτρεψα ἔρανον γενέσθαι τινὰ παρὰ πάντων τῶν ἁπανταχοῦ ἐν ταῖς κατὰ τὴν Εὐρώπην ἀγοραῖς ἐμπορευομένων Ἑλλήνων· τὸ δὲ ἐκ τούτου πορισθησόμενον ἂν ἀργύριον, ἀσφαλισθὲν ὁπωσδήποτε, φέρειν τὸν ἐτ[illegible] τόκον εἰς ἔκδοσιν βίβλων· ὧν ἐκδιδομένων ἀπὸ τῆς [illegible]ὐτῆς ἀφορμῆς, καὶ πωλουμένων αὖθις, ἐπαύξοιτ' ἂν ἀεὶ ταῖς προσθήκαις τὸ εἰρημένον κεφάλαιον· ἀλλ' ἵνα μὴ μηκύνων ἐνοχλῶ, πέμπω σοι καὶ τὸν λόγον αὐτὸν, ἐξ οὗ εἴσῃ μάλισθ', ὅ μοι ἐν τῷ τότε προβέβληται.

Ὁ δ' οὖν λόγος ἐκεῖνος, ἅμ' ἀναγνωσθεὶς ἐς ὑπήκοον πάντων, τοσοῦτον ἐπῆρε τὰς τῶν φιλοκάλων ἐμπόρων ψυχὰς, ὥσθ' ὥρμησαν ὁμοθυμαδὸν ἀγαγεῖν εἰς πρᾶξιν εὐθὺς τὸ παρ' ἐμοῦ σπουδαζόμενον. Πολλῶν δὲ ἐν πολλοῖς συλλόγοις ἐξῆς σκέψεων τε καὶ ἀντιῤῥήσεων περὶ τῆς ἀσφαλείας τοῦ ἀργυρίου γεγενημένων, ἅμ' εὑρεθέντος τρόπου, ἐχειροτόνησαν τρεῖς τῶν τιμιωτάτων καὶ ἐμπειροτάτων ὡς ἐφόρους ἀγαγεῖν εἰς ἔργον, ἃ αὐτοῖς ἔδοξε· καὶ ἐλπὶς ἦν, ὡς ἐλέγετο, καὶ εἰς ἑκατὸν μιριάδας γροσίων ἀνιέναι τὸν ἔρανον· ἀλλ' ἐν τούτῳ διεῤῥωγὸς ὁ κατὰ τοῦ ἀποστατήσαντ[illegible]ς Αληπασᾶ πόλεμος παρὰ τοῦ Σουλτάνου, εἶτα δὲ συμβάντα καὶ τὰ Ἑλληνικὰ, διεκώλυσαν τὴν περὶ τοῦτο σπουδήν.

Οὕτως οὖν καὶ νῦν, εἰ μὲν ἀπονέμοιμεν τὴν μοῖραν τῆς Ἐθνικῆς Ακαδημίας τοῖς ἔξω τῆς Ἑλληνικῆς ἐμπορευομένοις ἐπικρατείας Ἕλλησι καὶ φιλέλλησιν, οὐκ ἂν εἴη τὸ σκέμμα τοῦτ', οἶμαι, παντάπασιν ἄσκοπον, εἰ μόνον δόξειε τῇ Κυβερνητικῇ σου προνοίᾳ εἰπεῖν καὶ τρόπον, καθ' ὃν τὸ συναχθησόμενον ἀργύριον ἔσται διὰ παντὸς ἀσφαλὲς ἐπ' ὀνόματι τῆς Ακαδημίας, ἀνεξάρτητον ὅλως τοῦ δημοσίου θησαυροῦ, ὥστ' αὔξεσθαι ταῖς κατ' ἔτος προσθήκαις, καὶ πάλιν ἐκτείνεσθαι,

ἔνθα δεῖ, κατὰ πάσας τὰς πόλεις· οἷον, εἰς οἰκοδομὰς σχολείων, διδασκάλων μισθοὺς, συγγραφέων, μεταφραστῶν, ἔκδοσιν βίβλων, συλλογὴν βιβλιοθηκῶν, τὰ τοιαῦτα, ὅτε καὶ ὅπου δεῖ κατὰ τὸ συμφέρον.

Ἀλλὰ ταῦτ', ἴπ. τις ἂν, πολλῶν ἐστὶ χρημάτων δεόμενα· οἶδα κἀγώ· ἀλλ' ὅσον εἰσὶ τοιαῦτα, τοσοῦτον προθυμοτέρους εὑρήσομεν τοὺς ἡμετέρους ἐρανιστὰς πρὸς τὸ σπουδαζόμενον· καὶ μάλισθ' ὅσους αὐτῶν εἰσῄει, καλῶς ποιοῦσα, ἡ ἀλήθεια αὕτη, ὅτι μήτ' ἐν τῷ πλούτῳ, μήτ' ἐν τῇ εὐγενείᾳ, μήτ' ἐν ταῖς κατὰ τύχην μετὰ τῶν δυνατῶν ἀναστροφαῖς πῃ ἐν ἀλλοδαπῇ ἔσονται εὐκλεεῖς, ἀλλ' ἐν τῇ τοῦ γένους εὐκλείᾳ, ἣν συνίστησι μάλιστα τὸ τρίπλοκον σπαρτίον τῶν τριῶν ἐκείνων πρώτων στοιχείων πάσης πολιτείας εὐνομουμένης, ἡ ἐλευθερία, ἡ δικαιοσύνη, καὶ ἡ παιδεία. Τοιούτων οὖν τευξόμεθα, οἶμαι, πολλῶν· πολλοὶ γάρ εἰσιν ἐν τοῖς ἔξω καὶ πλούσιοι, καὶ φιλότιμοι· συνειδάτες γὰρ αὐτῶν πολλοὶ μηδὲν ἐν ταῖς προϋπαρξάσαις ἀνάγκαις διὰ τὸ ἀμφίβολον τῆς τῶν πραγμάτων ἐκβάσεως συνεννηοχότες, οὐ φεισθήσονται· οὐδ' ἀξιώσουσιν αὐτοὶ ἐπίσημοι ὄντες, μόνοι τῆς δόξης τῆς ἱερᾶς ταύτης παλιγγενησίας ἀποκλεισθῆναι· ἐγὼ δὲ μάλισθ' ἡγοῦμαι, ὡς πολλοὶ αὐτῶν καὶ νῦν τὸ ἥμισυ τῆς ἑαυτῶν ἐπιδώσουσιν οὐσίας, καὶ μετὰ ταῦτα τὸ σύμπαν, καλῶς ποιοῦντες, ἀφοσιώσονται τῷ κοινῷ, τούς γε ἀκλήρους, ἐν ταῖς διαθήκαις· ὃ φθάντες ἔδειξαν μάλισθ' οἱ ἀοίδιμοι Καπλάναι καὶ Ζωσιμάδαι, καὶ ἄλλοι, καὶ ταῦτ' ἐν δουλείᾳ ἔθ' ἡμῶν στεναζόντων, ὑφ' ἣν πᾶς καιρὸς ἄγονός ἐστι τῶν καλῶν.

Ἐπὶ δὲ τούτοις οὐ σμικρὰ ὕπεστιν ἐλπὶς εὑρήσεσθαι καὶ τῶν φιλανθρώπων καὶ φιλομούσων Εὐρωπαίων πολλοὺς πρὸς τοῦτο μεγαλοδώρους· ὧν γὰρ τὴν εὔνοιαν καὶ ἐπικουρίαν κἂν

τοῖς τῆς ἐλευθερίας ἀγῶσι τοιαύτην εὑράμεθα, οἵαν οὐδ' ὁ πᾶς αἰὼν, μέχρις ἂν οἱ Ἕλληνες οἰκήσωσιν ἐλευθέραν τὴν ἀναγεννηθεῖσαν ταύτην ἑστίαν, ἀφ' ἡμῶν ἐξαλείψειεν· οὗτοί γε οὐδὲ ταύτην ἡμῶν τὴν ἀξίωσιν ἂν ἀπ[illegible]σαιντο, συνεισενεγκεῖν τι εἰς τὴν τῆς Ἀθήνησιν Ἀκαδη[illegible]ία[illegible] ἀνέγερσιν, ἐξ ἧς καὶ αὐτοὶ ὁμολογοῦντες πάσας ἐκπηγάσαι τὰς ἐπιστήμας, οἴονται ἀντοφείλειν τι πρὸς αὐτὴν ἐξ εὐγνωμοσύνης.

Ταῦτα μὲν οὖν τὰ παρ' ἐμοῦ πρὸς τὴν σὴν Ἐξοχότητα· ἡ δὲ βαθύνοια τοῦ σοφοῦ Κυβερνήτου μεταῤῥυθμήσει εἴτι μὴ ὀρθῶς ἐστι τεταγμένον, εἰς τὸ συμφερώτερον· ἀνδρῶν γὰρ πολλῶν πεῖραν ἐχόντων αἱ γνῶμαι ὀρθότεραι, καὶ πρὸς τὸ μέλλον εἰσὶ εὐστοχώτεραι. Παρ' ἐμοῦ δέ γε ἓν ἐκεῖνο ἔτι προστεθείσθω, ἵνα μήτις τῶν ἀβελτέρων εἴπῃ τὸ πάλαι ᾀδόμενον, ὡς λόγῳ μὲν παλαίει πᾶς, ἔργῳ δέ τις· δεξάσθω φίλως ἡ φίλη πατρὶς πρὸς τοῦτο πρώτην καταβολὴν παρ' ἐμοῦ πᾶν, ὅ μοι ἐκ πολλῶν ἐτῶν ἀνέκαθεν πεπόριστ' ἀργύριον εἰς χρυσᾶ βασιλικὰ τρισχίλια μάλιστα· δεξάσθω δὲ, ὡς ὁ Σωτὴρ τὰ τῆς χήρας λεπτά· τοῦτο μὲν γὰρ καὶ ἄλλοθ' ὑπεσχόμην, καὶ νῦν ἡδέως προσφέρω· ἀλλ' εἴη τὸ εὐτελές μοι δώρημα τοῦτο γενέσθαι πρὸς τὴν ἔκβασιν τοῦ παντὸς τὸ τοῦ Πέτρου ἀμφίβληστρον, μεστὸν ἰχθύων ἑκατὸν πεντήκοντα τριῶν, καὶ κατὰ τὴν Εὐαγγελικὴν γεωργίαν φέρον ἓν μὲν τριάκοντα, ἓν δὲ ἑξήκοντα, ἓν δὲ ἑκατόν. Ἔῤῥωσο ἐμοί τε καὶ παντὶ τῷ γένει τῶν Ἑλλήνων, Εὐεργέτα καὶ κηδαμὼν τῆς πατρίδος.

*Δημητρίῳ Γκαζῇ.* (202)

Πολλάκις οἶμαί σε εἰρηκέναι πρός τε σεαυτὸν καὶ τοὺς φίλους, τίποθ' οὕτως ὁ Δούκας διὰ πολλοῦ σιγήσας, ἐψεύσατο τὴν ὑπόσχεσιν; ἔοικε γὰρ ἑτέρους φίλους εὑρὼν Ἀθήνησιν

ἐπιλαθέσθαι τῶν πάλαι· μὴ σύγε, μὴ τοῦτο πάθῃς· οὐ γὰρ οὐδ' ἐν ᾅδου ἔγωγε ἂν καθ' Ὅμηρον εἰπεῖν τῶν φίλων ἐπιλαθοίμην· ἀλλὰ πολλὰ παθὼν κατά τε ξηρὰν καὶ ὑγρὰν, μόγις ἑξηκοστῇ ἡμέρα καί τι πρὸς, κατήχθην, καὶ τοῦτ' οὔπω Ἀθήνησιν, ἀλλ' ε Αἴγιναν· ταύτην δὴ τὴν πάλαι μὲν λαμπρὰν τοῦ Αἰακοῦ β σιλείαν, ὅπου προσευξάμενος ἐκεῖνος, μετέβαλε τοὺς μύρμηκας εἰς ἀνθρώπους· νῦν δὲ νῆσον μὲν μικρὰν, τῶν δὲ Κυκλάδων χαριεστάτην. Ἐλθὼν δ' εὗρον τὰ τῶν Ἑλλήνων σφόδρα τεταραγμένα ὑπὸ τῶν καταράτων σπουδαρχῶν· ὧν πρῶτος, ὃν πάντες ὁμολογοῦσιν, ἡ μέλαινα χορδὴ, ἡ κακὴ τῆς Ἑλλάδος καὶ ὀλεθρία μοῖρα· ἥτις κἀμοί ποτε τὸ τοῦ Ἀντωνίου κατήνεγκε ῥόπαλον· οὗτος γὰρ σκευωρίᾳ πολλῇ χρησάμενος, ἐφ' ᾧ παραλῦσαι τῆς ἀρχῆς τὸν χρηστὸν Κυβερνήτην, τὸν τῶν Ἑλλήνων σωτῆρα καὶ πρόμαχον τῆς ἐλευθερίας καὶ δικαιοσύνης, ἐπειδὴ ᾔσθετο τὰ ἑαυτοῦ βουλεύματα ἀνατραπησόμενα ὅσον οὔπω, καὶ λόγον ἀποδώσων μετὰ τῶν συνωμοτῶν, ἐφ' οἷς τὸν στόλον ἐν Πόρῳ κατέκαυσαν, συμπάντων τῶν Ἑλλήνων πανταχόθεν τοῦτ' ἀπαιτούντων, τολμᾷ ὁ ῥέκτης παραβόλως τὰ δεύτερα· δωδεκάτῃ γὰρ αὕτη, ἐξ οὗ ἀνεῖλον τὸν ἀγαθὸν Κυβερνήτην, Ἰωάννην τὸν Καποδίστριαν, τὰς χρηστὰς τῶν Ἑλλήνων ἐλπίδας, ἅμα εἰσερχόμενον εἰς τὸν ναὸν τοῦ θεοῦ ἡμέρᾳ Κυριακῇ προσευξόμενον· καὶ ἡ μὲν φονεύσασα χεὶρ Κώστα ἦν τοῦ ἀλητηρίου Μαυρομιχάλη· τὸν δὲ κινήσαντ' εἰς τοῦτ' αὐτὸν ἐκεῖνον εἶναι πολλοί τε φασὶ, καὶ ὁ λόγος αἱρεῖ· πολλῶν γὰρ Φαναριτῶν ἐπὶ κακίᾳ διαβεβοημένων, οὗτος βδελυρίᾳ ὑπερέβαλεν ἅπαντας· τά τε γὰρ ἄλλα καὶ πρῴην σκολιαῖς διαδύσεσιν ἀνατρέψας καλὰ, τὸν ἐμφύλιον τοῖς Ἕλλησιν ἐπολύπευσε πόλεμον, καὶ νῦν τὴν συνωμοσίαν τυρεύσας, ἐφ' ᾗ ὅ,τε σ.ολος αὐτὸς κατεφλέγη, καὶ ὁ σωτὴρ ἡμῶν, ὁ μέγιστος τῶν καθ'

ἡμᾶς ἀνὴρ πράγμασι χρῆσθαι, καὶ τὰ Ἑλληνικὰ ἱκανὸς ἀνορθῶσαι, ἀπόλωλε, καὶ τὰ πράγματα συνταράξας, ἐποίησε τὴν Ἑλλάδα περιπεσεῖν εἰς δεύτερον κίνδυνον. Ταῦτ' οὖν τῆς πρὸς σέμοι καὶ τοὺς ἑταίρους μέχρι δεῦρο σιγῆς τὸ αἴτιον, ἀλλ' οὐ λήθη· ἤλπιζον γὰρ, ἅμα τῶν πραγμάτων εὑρόντων γαλήνην, καὶ χρηστόν τι τῷ κοινῷ καταπράξας, οὕτω μᾶλλον τοῖς γράμμασιν ἡμᾶς εὐφρανεῖν· τήν τε γὰρ Ἀκαδημίαν ἀνεγεῖραι Ἀθήνησιν εὔελπις ἦν ἀναπείσειν τὸν φιλόκαλον τῶν λόγων προστάτην, καὶ δὴ πόρον ὅθεν ἂν ποιησαίμεθα, ἱκανὸν πρὸς τὴν ὑπάρχουσαν ἡμῖν τῶν πραγμάτων κατάστασιν, καὶ προσέτι τρόπον, ὅπως τὴν ἀρχαίαν γλῶσσαν δυναίμεθ' ἂν καὶ γράφειν καὶ φθέγγεσθαι, μεμελετηκὼς ἦν αὐτῷ δεῖξαι· καὶ οὐκ ἔσθ' ὅπως ἂν τὴν αἴτησιν ἔμοιγε ἀπαρνήσαιτο· πρὸς γὰρ τῷ φιλόμουσον αὐτὸν εἶναι, καὶ ἄλλως ὅλως ἦν ἐπ' ἐμοί· ἐν τοσούτῳ γὰρ παρ' αὐτῷ ἀξιώματι ἦν, καὶ πρὶν εἰς λόγους ἐλθεῖν, ὥσθ' ἅμα πυθόμενός με καταχθέντα εἰς Αἴγιναν, τρὶς ἐπέστειλεν ἑξῆς τοῖς ἐν τέλει ἐνταῦθα τιμᾷν κελεύων τὸν διδάσκαλον Δούκαν, καὶ τὰ εἰκότα γε θεραπεύειν, μέχρις ἂν μετ' ἀλλήλων γενώμεθα· δεῖ γὰρ ἄξιόν τι τῆς εἰς τὸ κοινὸν προθυμίας εὑρόντας, τὴν παρὰ πάντων αὐτῷ ὀφειλομένην ἀποδοῦναι εὐγνωμοσύνην. ταῦτα μὲν ἐκεῖνα. Νῦν δ' οὖν βαρεῖα χεὶρ, ὥσπερ λαῖλαψ ῥαγδαῖος, ἀνήρπασε καὶ διέσεισε πάντα· καὶ οὐκ οἶδ' ὅπως ἕξει τὰ πράγματα τοῦ λοιποῦ· ἐγὼ δὲ κάθημαι λογιζόμενος τὰ κοινὰ, οἷ' ἀνθ' οἵων παρὰ προσδοκίαν ἡμῖν περιέστησαν. Οὐκοῦν συνθρηνήσατε καὶ ὑμεῖς συμπάσχοντες πόῤῥωθεν, καὶ θαμὰ ἐπιλέγοντες, Ὀλολυξάτω πίτυς, ὅτι πέπτωκε κέρδος. Ἔῤῥωσο.

*Τοῖς φίλοις.* (203.)

Ἐμάκρυνα, καὶ ἐφυγαδεύθην, καὶ τὸ ἄλγημά μου ἀνεκαι-

νίσθη, τῶν φίλων μοι καὶ φίλων καὶ μαθητῶν ἀναμιμνησκομένου, καὶ διὰ τοῦτο δυσὶ μάλιστα μησὶν εἰς Αἴγιναν καταχθεὶς, θεραπεύω νῦν τὸ πάθος τοῖς γράμμασι, φιλῶν, ὡς ἐφίλουν, καὶ ἀσπαζόμενος ὑμᾶς τὰ εἰκότα· ὀψὲ μὲν, ἀλλὰ σὺν μείζονι πόθῳ, καὶ ἴσο ἐστὶ τὸ τοῦ τόπου διάστημα μεταξὺ, ὄρη τε σκιόεντα καὶ ἠχίεσσα θάλασσα· φιλεῖ γὰρ ἀεὶ τὸ ἀπὸν, ὅσον ἂν μᾶλλον ἀπῇ, τοσοῦτο μεῖζον καὶ θερμότερον συνάγειν τὸ φίλτρον· καίτοι καὶ φόβος τις ὑποθραύει μου τὸ ψυχάριον, μήτις ὑμῶν πέπονθέ τι ὑπὸ τῆς χολέρας ἀνήκεστον· πολλὰ γὰρ λέγεται· εἴη δὲ πάντα φήμη ψευδὴς, μηδὲ λυπήσειέ τι αὖθις τὸν γηραιὸν διδάσκαλον· ἅλις δακρύων τῶν εἰς Παναγιώτην καὶ Νικόλαον, τὸ τιμαλφέστατον ζεῦγος τῆς ἀρετῆς, τοὐμὸν καὶ μέλημά ποτε καὶ ἀγλάϊσμα. Νῦν δὲ καιρὸς ἐκτραγῳδῆσαι τὰ ἐμαυτοῦ· Ἀπόλωλεν ἡ ἐλπὶς, ἐφ' ᾗ τοσαύτην διαπόντιον τὸ πλεῖστον ἀνεθέμην ὁδόν· ἅμα γάρ μοι ἀφικομένῳ, ἀνηρέθη δόλῳ ὑπὸ τῶν κακούργων ὁ μέγας ἐκεῖνος ἀνὴρ, παρ' ᾧ μέγας ἦν ἐγὼ καὶ πρὶν αὐτῷ συγγενέσθαι· καὶ νῦν Ἀκαδημία, καὶ Λύκια, καὶ τἆλλα τὰ μελετώμενα θύελλα, ὡς ἐκ νέφους σκοτεινοῦ ἐπελθοῦσα, πάντ' ἐν βραχεῖ ἀνήρπασε χρόνῳ· ἡ δὲ τυπογραφία καὶ αὐτὴ ἀτελές τι ἔοικεν οὖσα, καὶ οὐχ οἵα ἐξαρκέσαι πρὸς τοσαύτην μοι ὑπάρχουσαν αὐτόθεν ἔτι παρασκευήν· καὶ τὸ γῆρας μᾶλλον ἐπιβρίθον κατὰ μικρὸν, ἐπικαλεῖται τὸ πορθμεῖον τοῦ Χάρωνος· ταῦτα λυπεῖ με, καὶ οὐκ ἐᾷ γαλήνην ἐπισυναγαγεῖν τῇ ψυχῇ, ἐν ᾗ ὁ τῆς εὐδαιμονίας ἐπιστηρίζεται θρόνος. Τέως δ' οὖν ἔγνων νῦν μὲν διαχειμάσαι ἐνταῦθα, μηδὲν ἐργαζόμενος, κἂν τὸ ἄεργον ἐνοχλοῦν, προσθῇ μοί τι τῇ βαρυθυμίᾳ· ἅμα δὲ ἦρι, εἰ μὲν τὰ Ἑλληνικὰ ἀνασφήλωσιν· ἤδη γὰρ νοσεῖ· ἐπιχειρήσω τῇ ἐκδόσει, ὧν τοσοῦτον χρόνον πεπόνηκα· εἰ δὲ μὴ, τηνικαῦτα σκέψομαι τὸ πρακτέον· νῦν δ' οἶδ' οὐδέν. Ἔῤῥωσθε.

Ἰωάννῃ. (202.)

Ἄλλαι μὲν βουλαὶ ἀνθρώπων, ἄλλα δὲ θεὸς κελεύει· αἱ γὰρ ἐλπίδες τῶν θνητῶν εἰσὶ τοῦτ' αὐτὸ ἐγρηγορότων ἐνύπνια· καὶ ἔοικεν ἡ τύχη ἀντίστροφος ὅλως εἶναι τῇ ἐκ τῆς τραγῳδίας περιπετείᾳ, πολυειδῶς ἐφ' ἑκάτερα ἐπιῤῥέπουσα καὶ αὐτὴ κατ' ἐκείνην· ἢ οὐκ ἀκήκοας ὅλως, ἀφ' οἵας σκηνῆς νῦν ἡμῶν τὰ πράγματα ἔστηκεν; ὡς δεινῆς καὶ χαλεπωτάτης· ὁ γὰρ Κυβερνήτης τῶν Ἑλλήνων κακούργων καὶ μιαιφόνων θηρίων (οὐ γὰρ ἂν εἴποιμι ἀνθρώπων) γέγονε παρανάλωμα· καί τοι ἄνθρωπον ὄντα, φασί τινες, ἔδει ποτὲ κἀκεῖνον ἀποθανεῖν· οἶδα μὲν τοῦτο κἀυτὸς, ἀλλ' ἅγιον μόνον, οὐχὶ δὲ καὶ μάρτυρα· νῦν δὲ τίς τί πρῶτον θρηνήσῃ; τὸν μέγαν τοῦτον καὶ ἀκρογωνιαῖον λίθον τῆς ἐλευθέρας τῶν Ἑλλήνων οἰκοδομῆς, ἀποδοκιμασθέντα καὶ εἰς τὸ μηκέτι εἶναι ἀποῤῥιφθέντα, καὶ τοῦθ' ὑφ' ἡμῶν αὐτῶν, ὧν τὴν σωτηρίαν διὰ πολλῶν ἀγώνων κατέπραξεν, ἢ τὴν ταραχὴν τῶν πραγμάτων, ἢ τὰ μέλλοντ' αὐτὰ, πῇ ποτε ἀποβαίη; τὴν δὲ δυσφημίαν καὶ τὸ μῖσος παρὰ πᾶσι τοῖς ἔθνεσι, παρ' οἷς δόξομεν βδελυροὶ πατροκτόνοι, τίς ἂν εἴποι ἀξίως; βαβαὶ τῆς ζημίας! Ἀλλ' Ἱερεμίας ταῦτα θρηνείτω. Σὺ δὲ, τούτων οὕτως ἐχόντων, μενεῖς, ἐν οἷς εὑρέθης, μέχρις ἂν θεὸς δῷ ἡμῖν τὰ βελτίω· νῦν γὰρ οὔτ' ἂν ἐμαυτῷ, οὔτ' ἄλλῳ τῳ γενοίμην ὠφέλιμος. Ἔῤῥωσο.

*Γεωργίῳ.* (204.)

Τίποθ' οὕτως ἡμῖν Νεόφυτος οὔπω γέγραφεν, ὃς καταλιμπάνων τὰ Βουκουρέστια, πολλὰ ὑπέσχετο πρὸς πολλοὺς, καὶ ταῦτα ταχὺς καὶ εὔκολος, καὶ μὴ οὔσης αὐτῷ ὑποθέσεως, πρὸς τὸ γράφειν δοκῶν εἶναι φύσει; τοιαῦτα δοκῶ μοι ἀκούειν ὑμῶν πρὸς ἀλλήλους μεμψιμοιρούντων· ἀλλ' εἰ ᾔδετε, ἐν οἷς

ἔστι τὰ ἡμέτερα, οὐκ ἂν μᾶλλον ἐμέμψασθε, ἢ ἐλεήσατε· ἅμα γὰρ ἀφικομένῳ μοι ἐν τεταραγμένοις τοῖς πράγμασιν ὑπὸ τῶν σπουδαρχούντων, συνέβη ἀναιρεθῆναι δόλῳ καὶ τὸν ἄριστον Κυβερνήτην, τοῦτον δὴ τὸν ἄριστον τῆς ἀρετῆς κανόνα· τούτου δὲ γενομένου, οὐ μόνον γράφειν, ἀλλ' οὐδὲ ζῆν ἄξιον τὸν Νεόφυτον, ἐκπεπτωκυιῶν τῶν ἐλπίδων, ἃς εἶχε συλλαβὼν περὶ τῶν κοινῇ συμφερόντων. Τί οὖν ἔγνων ποιεῖν; εἰ μὲν ἀνορθωθείη τὰ πράγματα, ἐπιχειρήσω ἴσως, ὧν τ' ἐξεπόνησα τὸν τύπον μεταχειρίσασθαι, καὶ ὁ περὶ πόρου σχολείων ἀγώνισμα ἐσχεδίακα, εἰς πρᾶξιν ἀγαγεῖν, εἴγε ἔξεστιν· εἰ δὲ μὴ, φιλοσοφήσω, τὸ ἐμαυτοῦ σκοπῶν, ὅπως ἄμεινον ἕξει· δέδοικα γὰρ οὐ τὸ τοῦ πράγματος δυσχερὲς μᾶλλον, ἢ τὸν φθόνον τῶν ὁμοτέχνων· οὗτος γάρ ἐστιν ὁ ἄγριος ἐχθρὸς τῶν καλῶν· εἰ γὰρ περιῆν ὁ χρηστὸς Καποδίστριας, ὁ λογιώτατος καὶ λογικώτατος τῶν λόγων προστάτης, εἶδες ἂν οὐδὲ δι' ὅλου ἔτους πλείους ἴσως ἢ τριακοσίας μυριάδας γροσίων συναγομένας· εἰ γὰρ ὁ πρῶτος ὁ μηδὲν ὢν αὐτὸς, καταβάλλω πᾶσαν τὴν περιουσίαν, τί ἂν ἔπραξαν οἱ πλείω τῶν ἑκατῶν μυριάδων πολλοὶ πολλαχοῦ κεκτημένοι; τί δ' ἂν ἐποίησαν καὶ οἱ φιλέλληνες ἔξωθεν, ὑπὸ τοῦ ποθουμένου Κυβερνήτου παρακαλούμενοι; νῦν δ' ἐν τῇ ὑπαρχούσῃ καταστάσει οὐχ ὅπως πράττειν, ἀλλ' οὐδὲ λέγειν ἔξεστι τὰ τοιαῦτα, ἐν ἀπόρῳ ὂν, ὅπως τὰ πράγματα τοῦ λοιποῦ ἡμῖν ἕξει· εἴη δ' οὖν σωτήρια παρά τε θεοῦ καὶ ἀνθρώπων. Ἔρρωσο. καὶ Βασιλάκην τὸν σὺν μετὰ τῆς Ἀγλαΐας τὸ χρηστὸν ζεῦγος τῆς χρηστῆς μητρὸς κέλευε.

Τῷ *Ἀρσάκῃ*. (105.)

Οἶδα βραδύνας σοὶ γράψαι, καὶ τὰ κατ' ἐμέ σοι δηλῶσαι, οἷα εἰκός· ἀλλ' οὐκ ἄνευ ἀνάγκης τὸ τοιοῦτον ἀπὸ τῶν καθη-

κόντων ὑπέςην ὀλίσθημα· ἥτις καὶ βασιλέων αὐτῶν τῶν τὰ μέγιστα δυναμένων κρατεῖ, καὶ πολλάκις τὰ αὐτῶν ἄλλοτ' ἄλλως ἀνατρέπει βουλεύματα. Ἀλλὰ τὶς ἡ ἀνάγκη αὕτη καὶ ὅση ἔστιν; οἵα καὶ ζῆν με μόλις ἐᾷ· μετὰ γὰρ τοσαύτην ἀφ' ὑμῶν διά τε ξηρᾶς καὶ θαλάσσης ἐπίπονόν μοι ἀποδημίαν, ἅμ' ἐλθόντι ἐν στάσει καὶ ταραχῇ τῶν πραγμάτων συνέβη φονευθῆναι καὶ τὸν χρηστὸν Κυβερνήτην, τὸν Καποδίστριαν! ὃν βασιλεῖς οἱ μέγιστοι τῆς Εὐρώπης τοῖς μεγίστοις ἐτίμησαν παρασήμοις, καὶ τοπαρχίαι πολλαὶ ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ταῖς εὐγνωμοσύναις ἐκόσμησαν, καὶ ταῖς ἐφημίαις πολλαχῶς ἐςεφάνωσαν· ἡ δὲ αἰτία τοῦ φόνου προσεχὴς μὲν, πάθος ἴδιον ἦν τοῦ τετολμηκότος· πόῤῥω δὲ, φθόνος, πλεονεξία, σπουδαρχία, καὶ τὰ τοιαῦτα· ἔτι δὲ πόῤῥω καὶ ἐκτὸς τῆς Ἑλλάδος, τάτ' ἄλλα καὶ ἡ τῶν Ἑλλήνων μετὰ μικρὸν ἀκμὴ ἐν τῷ ἐμπορίῳ· λέγεται γὰρ καὶ ταῦτα· τριάκοντα γὰρ ἐμπορικὰ μεγάλα τῷ αὐτῷ μηνὶ ἐν τοῖς ἡμετέροις λιμέσι νεναυπήγηνται πλοῖα· καὶ ἡ σπουδὴ περὶ ταῦτα ἐλάμβανε τοῖς ἀεὶ προσθήκαις ἐπίδοσιν καθ' ἑκάστην, ὥστε τὸ ἐμπορικὸν ἦν ἂν ἐνδέκα ἔτεσιν ἑξῆς ἅπαν Ἑλληνικὸν ἐν τῇ μεσογείῳ· νῦν δὲ δρυὸς πεσούσης, πᾶς ἀνὴρ ξυλεύεται. Ταῦτα καθήμενος ἐν Αἰγίνῃ θρηνῶ, τῶν παιδικῶν μου, δι' ἃ ἧκον, πάντων ἐκπεπτωκότων. Ἀλλ' εἰ μὲν ἀνασφήλειεν τὰ πράγματα αὖθις πειράσομαι ἀναλαβεῖν τὰς ἐλπίδας· εἰδὲ μὴ, ἐπιβοήσομαι τὸ τοῦ Σοφοκλέους.

Ἰὼ σκότος, ἐμὸν φάος,
Ἔρεβος ὦ φαεινότατον, ὡς ἐμοὶ,
Ἕλεσθ', ἕλεσθέ με οἰκήτορα,
Ἕλεσθέ μ'· οὔτε γὰρ θεῶν
Γένος, οὔθ' ἀμερίων
Ἔτ' ἄξιος βλέπειν τίν' εἰς
Ὄνησιν ἀνθρώπων,

Τί δὲ οὐχὶ, καὶ ταῦτα γηραιὸν ἤδη ὄντα; καὶ γὰρ καὶ Ἰσοκράτην φησὶν, ἐπιδόντα τὰ Ἑλληνικὰ ἐν τῇ κατὰ τὴν Χαιρώνειαν μάχῃ, ἀπεγνωκότα ἀποκαρτερῆσαι. Ἔῤῥωσο, καὶ τοὺς περὶ σὲ τοῦτ' αὐτὸ κέλευε· βουλοίμην δ' ἂν εἰδέναι, ἐν οἷς ὁ φίλτατός μοι Γεώργιος ἐπιδίδωσι μάλιστα· βούλομαι γὰρ πατρώζειν ἐν ἅπασι τὸ μειράκιον.

*Δημητρίῳ.* (106.)

Οἶδά σε δι' ἐφέσεως ἔχοντα, μαθεῖν ὅ,τι πράττω· πράττω τοίνυν οὐδὲν, ἐν ταραχῇ καὶ στάσει ὄντων τῶν Ἑλληνικῶν, καὶ τῶν ἐλπίδων, ἃς ἔκπαλαι ὠνειροπόλουν, καὶ δι' ἃς τοσούτους ὑπέστην ἀγῶνας, ἐκπεπτωκυιῶν τὸ παράπαν, εἰ μὴ θεὸς ἄνωθεν ἐπιβλέψας, ἐπανορθώσει τὰ πράγματα, ἡγεμόνα δοὺς ἡμῖν ἀγαθόν· ἐν τούτῳ γὰρ ὕπεστιν ἔθ' ἡμῖν τὶς ἐλπὶς τοῦ λοιποῦ· τὰ δ' ἀπὸ τῶν συμμάχων, ἄπιστ', ἄφιλα, καὶ ὅλως πολέμια, πλὴν ὅσον μὴ δοκεῖν· ὃς γὰρ τὰς σκευωρίας αὐτῶν διοπτεύων, μακρόθεν, διεσκέδαζε πολυτρόπως, οὗτος γέγονε παρανάλωμα λυσσώντων θηρίων· τοιοῦτον τὸ πονηρὸν ἐκεῖνο τοῦ ᾅδου κόμμα· ὅποτε καὶ ἡμῖν τὰ κάκιστα βουλευσάμενον, διέλυσε σχολεῖον ἀκμάζον ἐν ἅπασιν· ἀλλ' ἐκεῖνοι μὲν εὕροιεν, ὧν ἔπραξαν ἄξια, καί τοι ἡμῖν καὶ ὑπὲρ τῶν τοιούτων προστέτακται εὔχεσθαι· σὺ δὲ ζῴης εὐδαιμονῶν, ἀλλὰ καὶ μεμνημένος, ὦ τέκνον, ὧν μοι ὀφείλεις· νῦν γὰρ ἰδιοτεύων, δέομαι πολλῶν, καὶ ταῦτα νῦν, τοῦ γήρως μᾶλλον ἐπιβαρύνοντος· ὃ γὰρ ἦν μοι αὐτόθεν ἐφόδιον, τοῦθ' ἱερὸν τῷ γένει κοινὸν προσαφοσιωθὲν, ἀνέπαφον γίγνεται. Ἔῤῥωσο.

*Τοῖς ἐν Βουκουρεστίῳ ἑταίροις.* (207.)

Μέγα τι καὶ θαυμαστὸν πρὸς κοινωνίαν τὸ φιλητικὸν τοῖς ἀνθρώποις ἡ φύσις ἐνέθηκε, κατὰ μικρὸν μὲν ἐμφυόμενον,

δυσαπόσπαστον ἂν δὲ τῷ χρόνῳ γε καθιστάμενον· ἀφ' οὗ γὰρ ἅπαξ συναγάγῃ τῷ τοῦ ἔρωτος κέντρῳ τοὺς φιλοῦντας εἰς δεσμὸν δυσδιάλυτον πρὸς ἀλλήλους, οὐκέτ' ἐᾷ ἀπ' ἀλλήλων διΐστασθαι· εἰδέ τῳ ποτε καὶ συμβαίη ἐξ ἀνάγκης βιαιοτέρας διαῤῥῆξαι μεταξὺ τὰ δυσμὰ, λυπεῖ, καὶ σκυθρωπάζειν ποιεῖ· καὶ γίγνεται τῷ ὄντι τὸ ἐς πέραν μεθ' ἡδονῆς ἐλθὸν, ἀνιαρώτατον εἰς ἀφαίρεσιν· αὐτίκα γὰρ ἐγὼ αὐτὸς πεντηκοστῷ ἔτει τὴν φίλην μόλις ἰδὼν πατρίδα, εὐφραίνομαι· ἀλλ' ἡ ἀπὸ τῶν φίλων ἀπόστασις, τῇ τῶν καλῶν παιδικῶν συνεχῶς ὑποκνίζουσα μνήμῃ, λυπεῖ τὴν ψυχὴν ἐν μέρει. καὶ λυπεῖ σφοδρότερον, ἢ προσῆκεν· ὃ ὑπερβολὴν εἴποτε λάβοι, δέδοικα, μὴ εἰς κόρον ἐλθὸν, καταλήξῃ εἰς παρακμὴν ἀμελούμενον· ὥσπερ γὰρ κἀπὶ τῶν ἄλλων ἁπάντων, τῆς μνήμης μαραινομένης, λήθη παρακολουθεῖ· οὕτω καὶ τῆς φιλίας ἐστὶ μαρασμὸς, ἐπειδὰν μὴ ἀρδεύηται ἀμοιβαίοις τοῖς λόγοις λόγῳ καθήκοντι· Ἵν' οὖν μὴ ταῦτα γένηται, συνάγωμεν, ὦ φίλοι, τοῖς γράμμασι τὸν πόθον θερμότερον· τοῦτο δ' ἔμοιγε, ὡς εἰκὸς, πρῶτον γίγνεται· οἶδα γὰρ ὑμᾶς δι' ἐφέσεως ἔχοντας μάλιστα μαθεῖν, ὅποι δὴ καὶ ὅπως περαιωθεὶς, τίποτε πράττω· ἀρκτέον δὲ ἀπὸ τῶν πρώτων εὐθύς.

Εἰκοστὴ ἕκτη ἦν Ἰουνίου, καὶ ἡμεῖς ἀναβάντες αὐτοῦ ἐν Βουκουρεστίοις ἐπὶ τὰ ὀχήματα, ὡρμήθημεν μονονοὺ μαστίξαι τοὺς ἵππους, καὶ ἐν τούτῳ γράμματα ἐλθόντα ἐκ τοῦ Ἴστρου, ἀναγγέλλει ἡμῖν τὴν νόσον αἴφνης ἐπισκήψασαν μὲν εἰς Γιούργοβον ὡς ῥαγδαίαν, ἀμῶσαν δὲ καὶ ἐν Ῥουσοκίῳ καταντικρὺ φθόρῳ πολλῷ τὸ ἀνθρώπινον· οὕτως ἡμῖν ἐξ αὐτῆς βαλβίδος ἐφάνη δεινὸς ὁ ἀγών· τοῦτο δ' οὕτως ἀκουσθὲν, ἐτάραξεν ἡμᾶς οὐκ ἐπιπολῆς, ὡς μικροῦ ἐδέησε παραιτεῖσθαι ὅλως τὴν πρόθεσιν, εἰ μήτις τῶν παρόντων ἑτέραν ἔπειθεν ἡμᾶς τὴν διὰ Σιστοβίου τραπέσθαι. Οὕτως οὖν τρίτῃ ἡμέρᾳ ἀφι-

κόμενοι εἰς Ζιμνίκια, ἀπειργόμεθα ὑπὸ τοῦ Ἐπάρχου διελθεῖν περαιτέρω, ὡς δῆθεν ἀπὸ Βουκουρεστίου τῷ τῆς χολέρας κεχρημένοι μιάσματι· τέλος δὲ μόλις ἡμέρᾳ τρίτῃ πείσαντες, παρηλλάξαμεν· καὶ ὑποκαταβάντες διὰ φυλακῆς παρὰ τὰς ὄχθας τοῦ Ἴστρου, διενυκτερεύσαμεν αὐτοῦ, κακῶς διατεθέντες ὑπὸ τῶν κωνώπων. Τὴν δ' ἐπιοῦσαν ἅμ' ἡλίῳ ἀνίσχοντι ἐπιβάντες εἰς πλοῖον, διεπορθμευόμεθα· κἀν τούτῳ ἕτερον ἐκ τῶν ἀντιπέρας ἀντιπαραλλάξαν, ἐζήτει εὑρεῖν ὀπίσω Νεόφυτον τὸν διδάσκαλον· ἀκουσθὲν γὰρ κατατρύχεσθαί με ἐν ὑπαίθρῳ, ἐλέησαν οἱ χρηστοὶ Σισοβῖται, καί τοι μηδεμιᾶς προϋπαρχούσης μοι πρὸς ἐκείνους εὐεργεσίας. Ἅμα δὲ ἀποβάντας τοῦ πορθμείου ἐς τὸ ἀντιπέρας, ἀναλαβόντες οἱ δημογέροντες ἐμέ τε καὶ τοὺς ἀμφ' ἐμὲ, διέταξαν καταλῦσαι ἄνω ἐν τῷ κοινῷ σχολείῳ, ὅπου ἦν διδάσκαλος εἷς τῶν μαθητῶν μου τῶν εὐγνωμονεστάτων. Ἐν τούτῳ οὖν πῶς ἂν ἐπαινέσαιμι τοὺς χρηστοὺς ξενοδόχους; ἐπίσκεψις ἦν συχνὴ καὶ ἑστίασις, τιμαί τε, καὶ φιλοφροσύναι ἐξῆς τρεῖς ἡμέρας· εἶτα μισθώσαντες ἡμῖν καὶ ὀχήματα, ὡς διὰ Τορνόβου πρὸς Βάρναν, ἄρτους τε, καὶ ὅσα ἦν ἡμῖν ἀγγεῖα οἰναρὰ, πάντ' ἐμπλήσαντες οἴνου τοῦ ἀνθοσμίου, καὶ ἀρχαιότητάς τινας ἐπιδόντες, ἐφ' ᾧ ἀναθεῖναι τῷ τῶν Ἑλλήνων νέῳ Μουσείῳ, ὥρμηνται προπέμψαι. Ἀλλ' ἐν τούτῳ (ἔοικε γὰρ ἡ τύχη, ὡς ἐν τραγῳδίᾳ, πολλῇ περιπετείᾳ μεταβάλλειν ἡμῖν τὴν σκηνὴν ἐπ' ἀμφότερα,) φήμη τις αὖθις διαθρυλλεῖ τὴν διὰ Τορνάβου διάβασιν ἀπειργμένην ὑπὸ τῶν κρατούντων, τῆς νόσου ἐκ γειτόνων οὐχ ὅπως τοὺς ἐν Ῥοσουκίῳ διαφθειρούσης ἀφειδῶς, ἀλλὰ καὶ τὰς πέριξ κώμας ἐπινεμομένης. Τί οὖν ἔδει ποιεῖν; ἢ καὶ γνώμῃ αὖθις τῶν φιλανθρώπων δημογερόντων τραπέσθαι τὴν ἐπὶ τὸ Γάβροβον, δόντων τῶν αὐτοῖ ἡμῖν καὶ γράμματα συστατικὰ πρὸς τὸν δημογέροντα. Ἐχω-

ροῦμεν οὖν οὕτω τοῦ πρόσω διὰ γῆς ἐριβώλακος, καὶ τῆς Δακίας αὐτῆς ἐχούσης οὐκ ἔλαττον, ἐπὶ βουβαλικῶν ἁρμάτων ἐποχούμενοι δυστυχῶς, ἁρματηλατούντων Ὀθωμανῶν· ἀφικόμενοι δὲ μόλις ἡμέρᾳ πέμπτῃ, δύο ἔτι ἀπέχοντες τῆς πόλεως στάδια, ὁρῶμεν ἄνδρα κατατείνοντα πρὸς ἡμᾶς, καὶ τῇ χειρὶ κατασείοντα· ὃς καὶ προσιὼν ποῖ ποθ' ὑμεῖς, ἔφη, οὕτω τεθαῤῥηκότες πορεύεσθε; ἢ οὐκ ἴσθ', ὅτι ὁ ἐξοχώτατος ἁρμοστὴς ἀπεῖπε τὴν τῶν ξένων ἐντεῦθεν διάβασιν; δεῖ δ' οὖν ἔφη, παραμείψαντες τὴν πόλιν ἐκεῖθεν (δείξας τῇ χειρὶ ἑτέραν ὁδὸν) οὕτω παρελθεῖν, ὁποιδήποτ' ἂν βούλησθε. Τρίτον οὖν τοῦθ' ἡμῖν ἐγένετο πονηρὸν, τῶν φθασάντων οὐ μεῖον, συνάντημα· καὶ τὸ χείριστον, ὅτι οἱ Τοῦρκοι οὐκ ἔφασαν προσωτέρω τῶν ὁμολογουμένων ἰέναι· μὴ γὰρ δύνασθαι τὰ ὑποζύγια τὸν Αἷμον ὑπερβαλεῖν, καὶ ταῦτα ἀπετάλωτα ὄντα. Ἐκ τούτου οὖν ὑποβρύχιος ὅλως τῇ λύπῃ γενόμενος ἐξ ἀμηχανίας, ὑπεδάκρυσα.

» Οὐ γὰρ ποτ', ὦ τὰν, οὐδ' ὃς ἂν βλαστῇ, μένει
» Νοῦς τοῖς κακῶς πράττουσιν, ἀλλ' ἐξίσταται.

Εἶτ' εὐθὺς ἀναθεὶς τῷ θεῷ τὴν ἐλπίδα, πέμπω Πανταζῆν τῶν παρ' ἐμοὶ μειρακίων τὸν εὐφυέστερον πρὸς τὸν δημογέροντα, πρὸς ὃν ἦν ἡμῖν ἡ σύστασις ἀπὸ Σιστοβίου· ὁ δὲ ἦν κἀκεῖνος ἐκ στάσεώς τινος πολιτικῆς ἐν εἱρκτῇ (ὦ τύχη οἷά με ἔδρας!) καὶ οὐκ ἔφη δύνασθαι ἡμῖν ἐπαρκέσαι· ἰέναι δὲ συμβουλεύει τῷ παιδὶ ὡς τὸν Ἀρχιερέα δεησομένῳ, εἴ τι παρ' αὐτοῦ σωτήριον εὕροιτο. Τούτου δὴ γενομένου, ὡς ἤκουσεν ὁ σοφὸς ἀνὴρ τοὐμὸν ὄνομα (ἦν γὰρ οὗτος Ἱλαρίων ὁ ἄξιος ὄντως καὶ λόγῳ καὶ ἔργῳ ἱεράρχης Τορνόβου) πέμπει παραχρῆμα δύο τῶν ὑπηρετῶν ἄξοντας τοὺς μὲν συνοδοιπόρους μοι, εἰς τὸ πανδοχεῖον· ἐμὲ δὲ καὶ τοὺς ἀμφ' ἐμὲ, εἰς τὸ τοῦ Βατοπέδου

Μετόχιον. Ταῦτα δ' οὖν ἀκούσας ἐγὼ, ἐδάκρυσ' αὖθις, οὐκέτι ἐκ λύπης, χαρᾶς δὲ δάκρυ θαλερὸν, ὡς ἂν εἴποι ὁ Ὅμηρος· καί μοι ἔδοξεν ἤδη ἡ τύχη, κόρον τῶν εἰς ἡμᾶς λαβοῦσα κακῶν, βούλεσθαι ὑποδεῖξαι ἡμῖν τὴν τοῦ δράματος λύσιν.

» Ψυχὴ γὰρ ηὔδα, πολλά μοι μυθουμένη.

ἅμα γὰρ εἰσιὼν εἰς τὴν κωμόπολιν ταύτην, ἐντυγχάνω τῷ Ἀρχιδιακόνῳ σὺν ἄλλοις ἱερεῦσιν ὑποδεχομένῳ· οἱ καὶ ἀναλαβόντες παραχρῆμα ἀπὸ τῆς ἁμάξης, ἀνήγαγόν με εἰς τὸν σοφὸν αὐτῶν καὶ φιλόμουσον ἱεράρχην· ὃς φιλοφρόνως λίαν δεξιωσάμενός με κατὰ τὸ τῆς κλίμακος ἀκροστόμιον, εἰσήγαγεν, οὐχ ὡς ἔδει, ἐξ ὑπεροχῆς, ἀλλ' ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ· κἀνταῦθ', ὅσα προκατειλήφει ἡμᾶς τῶν δεινῶν, ἀπαλειφθέντα, ὥσπερ σμήγματι, ταῖς φιλοφροσύναις, ἐμοῦ μὲν ἀεὶ παρ' αὐτῷ, τῶν δὲ παίδων ἐν τῷ Μετοχίῳ ἐφθήμερον ὅλον δαψιλῶς ξενιζομένων,

» Ἐννῆμαρ ξένισσε, καὶ ἐννέα βοῦς ἱέρευσε.

ἀντιπεριέστη ἡμῖν εἰς πᾶν τοὐναντίον· συνουσίαι γὰρ ἁπλαῖ, καὶ λόγοι, καὶ Μοῦσαι, καὶ εὐωχίαι φιλικαὶ, καὶ πάντα λαμπρά· ἔστι γὰρ ὁ ἀνὴρ φύσει ἐλευθέριος καὶ μεγαλοπρεπὴς ἐν τοῖς μάλιστα, καὶ τοῦτ' οὐχ ὅπως πρὸς τοὺς, ὧν καὶ λόγος παρὰ πολλοῖς, ἀλλὰ καὶ πρὸς τοὺς ὁτιοῦν αὐτοῦ δεομένους. Λαβόντων οὖν κόρον καὶ τούτων, μισθώσας ἡμῖν καὶ ὀχήματα ἔστ' ἐπὶ τὴν Αἶνον ἐφόδιά τε δαψιλῆ χορηγήσας, ἄρτους, τυροὺς, οἶνον ἀγαθὸν, προὔπεμψε διὰ τῆς πόλεως περιεστοιχισμένος πολλοῖς ἱερεῦσι μέχρι πρὸς τὸ πεδίον· κἀνταῦθα ἐπιδοὺς τελευταῖον τῷ πρώτῳ τῶν παρ' αὐτῷ δορυφόρων Ὀθωμανῷ καὶ κριὸν διαπεπραγμένον, ἐκέλευσεν ὀπτῆσαι αὐτὸν ἡμῖν εἰς δεῖπνον, ἅμα καταλύσασιν ὑπὸ ταῖς τοῦ Α-

μονος ὑπωρείαις· κἀντεῦθεν γενόμενον ἡμῖν καὶ πρὸς τὰ λοιπὰ μέχρις Ἰσκιζααρὰ (διάστημα τοῦθ' ὡρῶν δυωκαίδεκα) ἡγεμόνα καὶ φύλακα, οὕτως ἐπανελθεῖν· Ἐντεῦθεν ὑπερβάντες τὸ μεγαλώνυμον τοῦτο ὄρος ἐν ἡμέραις δυσὶ, κάτιμεν αὖθις εἰς γῆν ἀγαθὴν καὶ πεδιάδας εὐδαίμονας, Καζανλίκιον, Ἰσκιζααρὰν, Μουσταφάπασαν, Διδυμότειχον, διανύσαντες πᾶσαν τὴν ἤπειρον ταύτην ἐν ἡμέραις τέσσαρσι καὶ δέκα μέχρις Αἴνου· ὅπου γενόμενος, ἀνεμνήσθην τὸ Ξενοφώντειον, θάλαττα, θάλαττα· πολλὰ γὰρ κἀμοὶ συνέβη παθεῖν ἐν ἠπείρῳ, ἐῶ τὸ ἀπὸ τῆς τύχης, ἀλλὰ καὶ ξηρότητι τροφῆς καὶ τῇ ἄλλῃ ταλαιπωρίᾳ καταῤῥικνωθεὶς ἐς τὸ παντελές. Ἐνταῦθα τοίνυν ἀπονιψάμενος τὸν κονιορτὸν, καὶ φίλους ἐν ἡμέραις ὀκτὼ ποιησάμενος οὐκ ὀλίγους (ἔσπευδον γὰρ πολλοὶ ἐπ' ἐμὲ πανταχοῦ, μέγα τι ὄψεσθαί γε δοκοῦντες· ὡς δὲ ἑώρων γερόντιον κατεσκληκὸς, καταφρονοῦντες ὑπέστρεφον οἱ πολλοὶ) καὶ ἐπισκέψεις ἀμοιβαδὸν, καὶ ξένια παρὰ τοῦ Ἀρχιερέως μετὰ τῆς ἄλλης φιλοφροσύνης δεξάμενος, ἀνέσφηλα αὖθις· κἀντεῦθεν οὐδὲν ὑπόλοιπον ἦν ἡμῖν, ἢ πλεῖν εἰς αὐτὴν τὴν Ἑλλάδα· καὶ ἐπειδὴ καιρὸς ἐλάμβανεν, ἀναχθέντων ἐς τὸ πέλαγος, καὶ τοῦ ἱστίου ἐπικολπωθέντος, εὐθὺς ἐγὼ ἐπὶ τοῦ καταστρώματος ὀρθὸς ἦν ἡμμένος ἀπὸ τῆς ὑπέρας, ὥσπερ λάρος ἀναῤῥιπιζόμενος ἐν τοῖς κύμασι, καὶ τὸν Βορέαν ἀπνευστὶ καταπίνων· Ὡς δὲ νὺξ ἐγένετο, ἠσθόμην ἀηδίαν τινὰ, εἶθ' ὕστερον μικρὸν καὶ ναυτίαν, ἐξ ἧς ἐμετὸς πολὺς, ὥστε πένθ' ὅλας ἡμέρας ἐκείμην, μήτε βρώσεως, μήτε πόσεως μετασχὼν οἱασοῦν· τοσοῦτον δὲ μόνον ἀνακλινόμενος, ὅσον περισκοπεῖν, ἃς παρεπλέομεν νήσους, Θάσον, Λῆμνον, Χίον, Ψυρίαν, Σκῦρον, Ἄντρον, μέχρις οὗ ἀφικόμενοι εἰς Τῆνον, ἔσχημεν τῇ γῇ· ὅπου συνέβη ἡμῖν κακῶς σχεῖν μᾶλλον, ἢ πρότερον· ἀνάγκη γὰρ ἦν ἐκ νόμου καθαρθῆναι ἐν τῷ λοιμο-

καθαρτηρίῳ, ὅπου μικρὸν πρὸ ἡμῶν τριάκοντα καὶ ἑκατὸν εἰσελθόντων ἀπὸ Βυζαντίου, φυγόντων ἐκεῖθεν τὴν νόσον χολέραν, ἵνα μὴ ἀναπλησθῶμεν καὶ ἡμεῖς τοῦ μιάσματος, ἠναγκάσθημεν περιορισθῆναι ἐν ἑνὶ τῶν οἰκημάτων, κατατετρυχωμένοι ἅπαντες ὑπὸ τῆς θαλάσσης καὶ τῆς ἄλλης ταλαιπωρίας (ἦν γὰρ καὶ ἡ νηστεία τοῦ Αὐγούστου τὸ πλεῖον πιέζουσα) ἐνταῦθα ἐγὼ μόλις ἔπνεον, οἱ δὲ παῖδες καὶ αὐτοί, παρ' ὧν ἦν ἐλπὶς θεραπεύεσθαι, ὡς ταῦτα παθόντες, ἐπέπεσον πυρετῷ χαλεπῷ, εἰς λοιμὸν ἀπολήγοντι· ὥστε ἐδέησεν ἡμῖν ἰατρῷ ἔξωθεν χρήσασθαι διὰ φυλακῆς· ἀλλ' ὁ τὴν πρόνοιαν ἐν τοῖς τοιούτοις μάλιστα τῶν πάντων ἔχων θεὸς, τῆς τε νόσου ἅμα καὶ τοῦ καθαρτηρίου ἀπήλλαξε τρίτῃ καὶ δεκάτῃ ἡμέρᾳ· καὶ μεταβάντες εἰς τὴν πόλιν, ἀνεσφήλλομεν ἀπὸ τῆς νοσιλείας, τῇτε ἄλλῃ ἐλευθερωτέρᾳ χρώμενοι διαίτῃ, καὶ δὴ καὶ σιτία, τοῦτο δὴ τὸ παρ' Ὁμήρῳ στέαρ τῶν ἀνδρῶν, λιπαρώτερα προσφερόμενοι, ἀλλὰ καὶ τῶν πρὸς ἡδονὴν εὐποροῦντες οὐχ ἧττον, οἴνου ἀνθοσμίου, καὶ σταφυλῶν, ὧν αἱ ῥόγες τοῖς παρ' ὑμῖν λευκοῖς τῶν δαμασκινῶν μεγέθει ἴσαι, σύκων τε καὶ ἄλλων ὡραίων θαυμαστῶν καὶ θέᾳ καὶ γεύσει· Τήνιοι δὲ, ἄνδρες τε καὶ γυναῖκες φιλάνθρωποι, καὶ τῶν τὰς νήσους οἰκούντων οἱ ἀστειότεροι· ὧν οἱ ἐν τέλει ἐπεσκέψαντό με πολλαχῶς, καὶ πολλὴν ἐπεδείκνυον θεραπείαν· ἦν γὰρ καὶ λόγος περὶ ἐμοῦ προηγούμενος κατιόντος εἰς τὴν Ἑλλάδα· κἀκ τῶν βιβλίων μου τινὰ προαπέσαλτο εἰς τὸ σχολεῖον αὐτῶν παρὰ τῶν γενικῶν Ἐφόρων· Ἀντεπισκεψάμενος οὖν κἀγὼ, οὓς εἰκὸς, καὶ τὰ ἄξια λόγου περιελθὼν, σχολεῖα δύο, καὶ τὸν νεόδμητον ναὸν τῆς Παναγίας, θαυμαστόν τι χρῆμα, μαρμάρου ἅπαν λευκοῦ, καὶ οἷον οὐκ ἂν εὕροι τις παρ' ἡμῖν νεώτερον κάλλει τε καὶ θέᾳ ἐκπλήττων τὴν ὅρασιν. κεῖται γὰρ μικρὸν ἀνωτέρω τῆς πόλεως· ἀφ' ἧς ἐπιβάλλουσα

ἡ ὄψις πέριξ ἐν ὑποκειμένῃ θαλάσσῃ, ὁρᾷ τὰς νήσους κύκλῳ, οἱονεὶ χορευούσας μετὰ τῶν Χαρίτων, τὴν Μύκονον, Νάξον, Δῆλον, Σύραν, Κέω, καὶ τὰς ἄλλας Κυκλάδας ὥσπερεὶ θεωμένας καὶ αὐτὰς τὸν χορὸν, καὶ διαγελώσας. Ταῦτα δὴ ἐν ἡμέραις δέκα μεταξὺ περιελθὼν τῇ θέᾳ, καὶ μισθωσάμενος πλοῖον, ἀνάγομαι αὖθις, καὶ τὴν ἐπιοῦσα[illegible] ἐξ οὐρίου πνεύματος, πληθούσης ἀγορᾶς, κατῆρα ἐν νυχθ[illegible]μέρῳ εἰς Αἴγιναν, οὔτε φαγὼν αὖθις ἐν τούτῳ, οὔτε πιὼν [illegible]τιοῦν, ἀλλὰ κατακείμενος πρηνὴς, πλὴν ὅσον εἰς θέαν ποτὲ [illegible] καὶ τῶν νήσων ἐν τῷ παραπλέειν· Ἀποβὰς τοίνυν [illegible]ς τὸ τοῦ Αἰακοῦ μέγα κράτος, ἔνθα προσευξάμενος ἐκεῖνος, μετέβαλε τοὺς ἀνθρώπους εἰς μύρμηκας, εὗρον φίλους ἄλλους τε πολλοὺς παλαιούς τε, καὶ νέους, καὶ Γεώργιον τὸν Γεννάδιον, Ἀνδρέαν τε τὸν Μουστοξύδην, καὶ πρὸ πάντων τὸν φίλτατόν μοι Γρηγόριον τὸν Κωνσταντᾶν, ἄδρ' ἄριστον καὶ σοφὸν ἐν τοῖς μάλιστα· παρ' ᾧ ἤδη δίμηνον ὅλον διατρίβω, καὶ συνεστιῶμαι· τὴν δ' ἐπιοῦσαν κελεύομαι παρὰ τοῦ Ἐφόρου τῶν ἐνταῦθα κοινῶν Καταστημάτων πλεῖν εἰς Ναύπλιον πρὸς τὸν Κυβερνήτην, παρ' ᾧ λόγος ἐμοῦ, ἔφη, ἐστὶν οὐκ ὀλίγος· ἐγὼ δὲ ὁρῶν, ὅτι ὡς ἐν στάσει τῶν πραγμάτων πολλῇ, ἐφ' ᾗ καὶ σύλλογος ὡς ἀπὸ παντὸς τοῦ Ἑλληνικοῦ γενήσεσθαι ἤμελλεν, οὐκ ἂν δυναίμην καταπράξασθαι, ἃ βεβούλευμαι, ἀπώκνησα εὐθὺς ἀπιέναι· εἶτα δὲ, ἐπειδὴ ἅπαξ, καὶ δὶς, καὶ τρὶς γράψας ὁ Κυβερνήτης πρὸς τὸν Ἔφορον, ἀπετείνετο πρὸς ἐμὲ σὺν εὐνοίᾳ, τιμᾷν κελεύων καὶ θεραπεύειν ἐμὲ τὰ εἰκότα ὡς πολλῶν, φησὶν, ἀγαθῶν τῷ κοινῷ διὰ πλήθους χρόνου γενόμενον αἴτιον, μέχρις ἂν μετ' ἀλλήλων γενώμεθα, καὶ τὰ τοιαῦτα, διὰ τοῦτ' ἔγνων, συνδόξαν καὶ τοῖς φίλοις πλεῖν ὡς αὐτόν· καὶ δὴ παρασκευασάμενος, καὶ μεταγράψας, οὓς ἔφερον πλάνους περί τε τῶν ἐμῶν πονημάτων καὶ τῶν σχολείων, καὶ περὶ ὧν πολλάκις ἡμῖν λόγος

ῆν, ἅμ' ἐπιβαλὼν τὸν πόδα εἰς τὸ πλοῖον, κωλύομαι ὑπὸ τοῦ Ἀστυνόμου μέχρι τῆς ἐπιούσης· περίστασις γάρ τίς ἐστι φησὶν, ἐφ' ᾗ ἀναβαλεῖν σε δεῖ τὸν πλοῦν ἔτι ἐπὶ δύο ἡμέρας· ἤδη γὰρ ἐληλύθει ἡ ὀλεθρία φήμη τῆς τοῦ Κυβερνήτου σφαγῆς, ὃν βασιλεῖς ἐτίμησαν μέγιστοι, καὶ ἔθνη ὅλα οὐ βάρβαρα, ἀλλ' εὐνομούμενα καὶ σοφὰ ἔστρεψαν εὐφημίαις. Ἐντεῦθεν οὖν ἀνετράπη μοι τὰ σχέδια πάντα, ὡς ἐν τραγῳδίᾳ· καὶ νῦν ὁρῶν τὰ πράγματα στάσιν ἔχοντα, καὶ τὸ Ἑλληνικὸν μελανειμονοῦν, συνθρηνῶ, τὸ τοῦ Σοφοκλέους συνεχῶς ἐπιλέγων.

„ Εὐδαίμονες, οἷσι κακῶν ἄγευστος αἰών·
„ Οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος, ἄτας
„ Οὐδὲν ἐλλείπει γενεᾶς
„ Ἐπὶ πλῆθος ἕρπον.
„ Ὁμοῖον, ὥστε ποντίαις
„ Οἶδμα δυσπνόοις, ὅταν
„ Θρήσσῃσιν ἔρεβος ὕφαλον ἐπιδράμῃ πνοαῖς,
„ Κυλίνδει βυσσόθεν κελαινὰν
„ Θῖνα, καὶ δυσήνεμον·
„ Στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταί.

Φέρω δ' οὖν τὰ παρόντ' ἀναγκαίως, καραδοκῶν, εἴτι σωτήριον ἐκ τοῦ κοινοῦ συλλόγου ἡμῖν ἀποβήσεται· καὶ εἰ μὲν εὖ ἡμῖν προχωροίη, ἀνακτήσομαι τὰς ἐλπίδας, κἀπιχειρήσω, εἰμὴ ἄλλῳ, ἀλλά γ' ἐκδοῦναι, δι' ἃ τοσούτους ὑπήνεγκα πόνους

„ . . . Τὸ γὰρ ζητούμενον
„ Ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.

εἰδὲ μὴ, νῦν μὲν οὐκ οἶδα ὅ,τι καὶ φῶ· θεῶν γὰρ ἐν γούνασι κεῖται· καὶ ταῦτα μὲν οὕτω. Νῦν δ' εὖ οἶδ' ὅτι δι' ἐφέσεως ἔχετε μαθεῖν τι καὶ περὶ τῆς Αἰγίνης, ἣν ἥτε μεγαλουργὸς ἱστορία παντοίως ἐφήμισε, καὶ νῦν ὁ χρόνος οὐκ ὀλίγον ἐτίμησε. Νῆσός ἐστιν αὕτη ἡ πασῶν τῶν γ' Ἑλληνικῶν καὶ αὐ-

τῆς τὴν Τήνου χαριεστέρα· ἧς ἡ διάμετρος τεσσάρων ἢ πένθ᾽ ὡρῶν τὸ μῆκος· τὸ δὲ πλάτος, ἥμισυ τούτου, ὀρεινὴ τὰ πολλὰ, εὔφορος παντοίων λαχάνων, καὶ ὡραίων τρωκτῶν, ἀμυγδάλων, σύκων, καί τι καὶ ἐλαῶν, καὶ τῶν ἄλλων, κριθῆς τε, καὶ σίτου, οἴνου δὲ καὶ μάλιστα, θέσιν ἔχουσα, οἵαν οὐκ ἂν ἴδοις, οἶμαι, ἄλλοθί πῃ παρὰ νησιώταις· πλούτου δὲ μόνου τοῦ παρ᾽ ὑμῖν δεομένη, ὥστε τὰς τοῦ Βοσπόρου χάριτας παρευδοκιμῆσαι· περιεστοίχισται γὰρ ἐκ μὲν ἡλίου ἀνίσχοντος προσεχῶς μὲν ὑπὸ Σαλαμῖνος· ἐπὶ πλέον δὲ τῆς ὁράσεως προηκούσης, ὑπὸ τῆς Ἐλευσῖνος καὶ τῶν Σκιρρωνίδων πετρῶν· ἐκ δὲ δυομένου, καὶ τῶν ἄλλοθεν κύκλῳ, ὡς ἐν ἀμφιθεάτρῳ, ὑπότε παντοίων νησιδίων, ὧν ἄλλῳ ἄλλοτι διαγελᾷ τῶν καλῶν, κἀκ τῶν κατὰ τὴν Τροιζῆνα ὀρέων· ὁ δὲ ὁρίζων ἀεὶ καθαρὸς καὶ χρυσαυγὴς ὤν, παντοίων ἐν ὑποκειμένῃ τῇ θαλάσσῃ λεμβιδίων ὑποπλεόντων, δαιμονίως θέλγει τὴν ὅρασιν· καὶ τοιαῦτα μὲν τὰ ἔξω· Τὰ δ᾽ ἐντὸς αὐτὴ ἡ πόλις οὐ πάνυτι δι᾽ ὅλης ἐστὶν εὔθετος, πλὴν ὅ,τι γε ὁ κοινὸς πατὴρ φθάσας καὶ ἐν δειναῖς περιστάσεσι πολλαχῶς ἐξωμάλισε, καὶ ὁδοὺς λείας καὶ πλατείας ἐπισκευάσας, τυπογραφεῖόν τε καὶ σχολεῖα δειμάμενος δύο, καὶ ἄλλας οὐκ ὀλίγας οἰκίας. Περὶ δὲ τοῦ Ὀρφανοτροφείου, ὃ καὶ τῶν ξένων τῶν εὐτυχεστάτων τὰ τοιαῦτα τὴν ψυχὴν ἀναπαύει, τί καὶ ἂν εἴποιμι; κεῖται γὰρ ἐν ἐπιπέδῳ, στάδιον μάλιστα ἀπὸ τῆς θαλάσσης, πλαίσιον δὲ τὸ σχῆμα· οὗ αἱ μὲν μείζους πλευραὶ, ὡς τριακοσίων βημάτων· αἱ δὲ ἐλάττους, πλέον ἢ ἥμισυ· τὰ μὲν ἄνω πρὸς τὸ ὄρος μονώροφα, διώροφα δὲ τὰ πρὸς θάλασσαν· αἴθουσαι δὲ τῶν μὲν ὀρφανῶν ὡς δυωκαίδεκα μάλιστα, τριάκοντα ἑκάστη περιέχουσα κλίνας ἤδε παρ᾽ αὐτὰς μέγισται ἐς ἑβδομήκοντα μάλιστα· εἰσὶ δὲ καὶ τοῖς διδασκάλοις καὶ ἐπιστάταις ἕτερα ἧττω τούτων

πολύ· σχολεῖα δὲ ἔτι δύο καὶ βιβλιοθήκη· κατὰ δὲ τὸ μέσον τῆς πρὸς ἕω πλευρᾶς κεῖται ὁ ναὸς τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος ἐν ᾧ οἱ παῖδες ἅμα τῷ τοῦ κώδωνος ἤχῳ, εἰσερχόμενοι, προσεύχονται τὸ ἑωθινὸν καθ' ἑκάστην· εἶθ' οὕτως ἀπέρχονται εἰς τὰ συνήθη μαθήματα· ἑκατέρωθεν δ' αὖθις τούτου, οἰκήματα περίστυλα δεχόμενα τὰ πανταχόθεν τῆς ἀρχαίας τέχνης σωζόμενα λείψανα. Ἐνοικοῦσι δι' ὀρφανοὶ μὲν παῖδες ἀμφὶ τοὺς πεντακοσίους· διδάσκαλοι δὲ καὶ ἐπιστάται, καὶ ἡ ἄλλη ὑπηρεσία εἰς τεσσαράκοντα. Ταῦτα μὲν τὰ ἄνω· τὰ δὲ κατώγεια αὖθις, τεχνουργεῖα, ἀποθῆκαι τροφῶν, ὀψοποιεῖα, ἀρτοκοπεῖα, καὶ οἱ ταῦτ' ἐργαζόμενοι καθ' ἑκάστην· πρὸς δὲ καὶ βιβλίων ἀποθῆκαι δύο ὧν θάτερον μὲν περιέχει τὰ τοῦ μακαρίτου Στεφάνου Κομμητᾶ καὶ ἄλλων· θάτερον δὲ τὰ πέρυσι παρ' ἐμοῦ ἀφοσιωθέντα ἐντάξει Τοιαῦθ' ὑμῖν ταῦτα ὡς ἐν περιλήψει· Τὰ δ' αὖ ὡς ἀπὸ τῶν καιρῶν, τὸ μὲν θέρος εὐκραὲς, αὔρας πνεούσης διηνεκοῦς· ξηρὸν δὲ καὶ ἄνυδρον· ὁ δὲ χειμὼν, ἔαρ ὅλως τὸ παρ' ὑμῖν, οὐ ψύχος, οὐ νιφετός· ἀλλὰ πόα ἐαριζομένη παντοία, καὶ ποικίλως ἐπικυματουμένη ταῖς πνοαῖς τῶν πνευμάτων· καὶ Ἰανουαρίου μεσοῦντος αἱ ἀμυγδαλίδες ἀνθοῦσι· τὸ δὲ μέγιστον, αὐτή τε ἡ νῆσος καὶ πᾶσα ἡ Ἑλλὰς ἐστὶν, ὅσον ἂν εἴπῃς, ἐπιτήδειος φυτουργεῖσθαι. Ἀλλ' ἡ χαλεπὴ μοῖρα τῶν Ἑλλήνων ἀφεῖλεν ἀφ' ἡμῶν τὸν ἀγαθὸν φυτουργὸν τὸν καὶ βουλόμενον καὶ εἰδότα περὶ τὰ τοιαῦτα σπουδάζειν· τὸ δὲ μέλλον Τειρεσίου μάντεως δεῖται· ἀλλ' ὑμεῖς γ' Ἔρρωσθε. ἐγὼ δὲ καθήμενος οὐκ ἀπεικότως ἐκτραγῳδῶ τὸ Σοφόκλειον.

» Ὦ πλοῦτε, καὶ τυραννὶ, καὶ τέχνη, τέχνης
» Ὑπερφέρρυσα τῷ πολυζήλῳ βίῳ,
„ Ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται,
„ Εἰ τῆς δὲ γ' ἀρχῆς ἕνεχ', ἣν ἐμοὶ πόλις
„ Δωρητὸν, οὐκ αἰτητὸν εἰσεχείρισε,
„ Ταύτης Κρέων με ἐκβαλεῖν ἱμείρεται.

*Ἀστερίῳ.* (208.)

Οὐχ ἑκὼν, οὐμενοῦν· πῶς γὰρ ἂν εἴη τοῦτο; μνήμης δὲ ἀποπλάνησίς ἐστι τὸ ἁμάρτημα τὸ μή σε πρῶτον πάντων τιμῆσαι τοῖς γράμμασιν, ὃν καὶ πάντων μᾶλλον τυγχάνω πεφιληκώς· νῦν γὰρ εἰς τοῦτ' ἀθλιότ τος περιέστημεν, ἀπὸ τῶν χρηστῶν καταπεπτωκότες ἐλπίδω , ὥσθ' ἡμῖν

» . . . . . . Οὐδ' ὃς ἂν βλαστῇ, μέ
» Νόος, κακῶς πράττουσιν, ἀλλ' ἐξίσταται.

Ἀκήκοας γὰρ, οἶμαι, ἐξ ὧν ἥτε φήμη, διαφ ήσασα καὶ ὡς ὑμᾶς, ἐτραγῴδησε, καὶ παρ' ἐμοῦ πρὸς πολλοὺς τῶν ἑταίρων αὐτοῦ πρῴην ἐπέσταλται, οἷά ἐστι τὰ ἡμέτερα. Πέπτωκεν ὁ χρηστὸς Περτίναξ, κακούργου χειρὸς καὶ βουλῆς ἀνοσίας γενόμενος παρανάλωμα· καὶ νῦν ἐν σάλῳ πολλῷ τὰ Ἑλληνικὰ ταλαντεύεται. Μένε τοίνυν, ἐν οἷς εἶ, μέχρις ἂν ἡμῖν δῷ θεὸς τὰ βελτίω· δεῖ γὰρ δὴ, ὥσπερ ἐν ταῖς εὐτυχίαις μὴ ἄγαν ἐπαίρεσθαι, οὕτω καὶ τἀνιερὰ μετριώτερον φέρειν, μήδ' ἀποβάλλειν τὴν ἐλπίδα παντάπασιν.

» . . . . ἀνάλγητα γὰρ οὐδ'
» Ὁ πάντα κραίνων βασιλεὺς
» Ἐπέβαλε θνατοῖς Κρονίδης,
» Ἀλλ' ἐπὶ πῆμα καὶ χαρὰ
» Πᾶσι κυκλοῦσιν, οἷον ἀρ-
» κτου στροφάδες κέλευθοι.

Ἔσται δ' οὖν ὅτε καὶ τὰ τῶν Ἑλλήνων, πολλὰ παθόντων ἤδη, καὶ τῆς τύχης δοκούσης κόρον τὸν ἐς αὐτοὺς εἰληφέναι κακῶν, ὀρθωθήσεται πράγματα, Ἡγεμόνος μόνον ἡμῖν παρὰ τῶν συμμάχων ἐπιφανέντος· ὃς τοσοῦτον νῦν ἐστι προσδοκιμώτερος, ὅσον μᾶλλον ἡ τοῦ χρηστοῦ Κυβερνήτου σφαγὴ συνετάραξεν ἅπαντας· καὶ νῦν ἀπὸ πασῶν τῶν πόλεων συνερχό-

μενοι, τοῦτο βούλονται διαπράξασθαι· εἴη δὲ μόνον ἡμῖν τὰ βουλεύματα εὐτυχῆ καὶ ὁμόψηφα· ἄλλως γὰρ

„ Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν
„ Οὐδ' ἐλπίς· ἥτις καὶ θράσος τι προξενεῖ. Ἔῤῥωσο.

*Δημητρίῳ καὶ Ἰωάννῃ.* (209.)

Δεκάτη μάλιστα ἤ[illegible]ε, ἐξ ὅτου φάκελον ὅλον γραμμάτων ἡμῖν ἐπέστειλα, τὰ [illegible]ὲν πρὸς πάντας κοινῇ, τὰ δὲ καὶ ἰδίᾳ πρὸς ἕ[illegible]τον. τάτ[illegible] κατ' ἐμὲ ὅπως ἔχει, δηλοῦντα, καὶ τὰ κ[illegible]ινὰ ἐκ[illegible]οαγωδ[illegible]ῦντα ἐν τίσιν ἐστί· νῦν δ' οὐδὲν ἂν ἔχοιμι προσθεῖναι [illegible]ούτοις, ἢ τοῦτ' αὐτὸ αὖθις, ὅτι ἐν τοῖς αὐτοῖς εἰμὶ, παροικῶν ἐν Αἰγίνῃ, τὰ μὲν ἄλλα εὖ ἔχων, βαρυθυμίᾳ δὲ δεινῇ κατεχόμενος, ὡς ἐκπεπτωκυιῶν πολλῶν καὶ ἀγαθῶν ἐλπίδων, καὶ τοῦ μέλλοντος ἔτι ἐν ἀδήλῳ κειμένου, ποῖ ποθ' ἡμῖν ἀποβήσεται. Οἱ γὰρ Ἕλληνες συναγειρόμενοι ἤδη εἰς Ἄργος, μέλλουσι περὶ τῶν ὅλων βουλεύσασθαι· οὗ καλῶς, ἢ κακῶς ἀποβάντος, οὕτως εἰκὸς καὶ τὰ πράγμαθ' ἡμῖν, ἢ ἀνορθωθήσεσθαι, ἢ καταπεσεῖσθαι· εἴη δ' ἡμῖν τὰ βελτίω. Δὸς ὦ 'γαθὲ, δὸς ὦ σῶτερ! εὐχῆς γὰρ πλέον ἔν γε τῷ παρόντι οὐκ ἂν εἴη ποιεῖν ἡμῖν οὐδέν. Νῦν δὲ βουλοίμην ἂν καὶ περὶ ἡμῶν τι ἀκοῦσαι, ὅπως διεσώθητε ἀπὸ τῆς χολέρας· εἰδὲ καὶ ἀργύριόντι μοι προσπέμψετε, διπλῆ ἡ χάρις. Ἔῤῥωσθε.

*Ἰωάννῃ.* (210.)

Πολλῶν μὲν φίλων αὐτοῦ ὑπαρχόντων μοι, πρὸς οὓς ἔφθην γράψας, πολλῶν δὲ καὶ πραγμάτων συμβάντων παρ' ἡμῖν, ὡς οὐκ ὤφειλε, πρὸς σὲ μόνον, καὶ εἴτινα ἕτερον, οὐκ ἐξήρκησα ἐπιστεῖλαι, οὐχ ὡς ὕστατόν σε ἐν ἐκείνοις τιθέμενος· μὴ γὰρ γένοιτό σοι τοῦθ' ὑπονοῆσαι περὶ ἐμοῦ· ἀλλὰ πρὸς ἐκείνους προσῆν τις καὶ ὄνησις ἐπιταχῦναι τὰ γράμματα· τοῦτ'

οὐν αἴτιον ἦν ὑστερῆσαι πρὸς σέ· Νῦν δ' οὖν ἀπὸ τῶν φροντίδων μικρὸν ἀνασχὼν, ἁψάμενος εὐθὺς τῆς γραφίδος, ἀσπάζομαί σου τὴν φίλην κορυφὴν, καὶ συνεύχομαι τὰ βελτίω. Οἶδα μὲν οὖν, ὥσπερ καὶ ἄλλους, καὶ σὲ τῷ τῶν Ἀθηνῶν καταφλεγόμενον ἔρωτι, ἀλλ' οὔπω καιρὸς θαῤῥῆσαι τὴν κάθοδον· τά τε γὰρ ἄλλα νοσεῖ παρ' ἡμῖν, καὶ οἱ Ὀθωμανοὶ ἔτι κατέχουσι τὴν ἀκρόπολιν· ἐῶ δὲ εἰπεῖν καὶ τὰ πέριξ μηδὲν εἶναι, ἢ ὅλως ἐρείπια, οἷα ἦν καὶ ὅθ' ὁ Ξέρξης, καταλιπὼν τὴν Ἀττικὴν, ἐδραπέτευσε· Γένετε τοίνυν ἐν οἷς ἐστὲ ἀγαπῶντες, ἐκείνου πολλὴν φροντίδα ποιούμενοι, ὅπως ἑαυτοῦ ἕκαστος ἔσται κρείττων, ταῖς ὑπαρχούσαις ἀεί τι καθ' ἑκάστην προστιθέμενοι ἐμπειρίαις· τῶν δ' ἐντεῦθεν ἐμοὶ μελήσει· νῦν γὰρ λόγων λόγος οὐδεὶς, τῶν πραγμάτων σωτηρίας πρῶτόν γε δεομένων· ἐπειδὰν δὲ τάχισθ' ὁ τῶν Ἑλλήνων σύλλογος λάβῃ τέλος, οἷον ὑπομαντεύομαι, καὶ Ἡγεμὼν ἡμῖν ἔλθῃ, γράψω ἡμῖν τὸ πρακτέον· Ἔῤῥωσό μοι, φίλτατε, τοῦτ' αὐτὸ κελεύων παρ' ἐμοῦ καὶ τοὺς ἄλλους.

### Τῷ Μανουήλῳ. (211.)

Ὕδραν μὲν τὴν πάλαι τὸ ἐν μύθοις φημὶ θρυλλούμενον ἑπτακέφαλον τέρας ἐκεῖνο, Ἡρακλῆς ὁ ἡρώων πάντων ἡρωϊκώτατος μόνος μὲν οὐκ ἐξήρκησεν ἀνελεῖν, ἄλλης ἐπ' ἄλλῃ ἀφ' ἑκάστης τομῆς κεφαλῆς ἀναφυομένης· συνεπαγαγόμενος δ' ἔπειτα σύμμαχον καὶ Ἰόλαον, διειργάσατο τελευτῶν τὸν σύμμικτον ἐκεῖνον καὶ ἀποφώλιον θῆρα. Τὴν δὲ νῦν, κἀκείνης οὖσαν ὁμώνυμον, τὴν νῆσόν φημι, ἣν οἱ πάλαι Ὑδραίαν ἐκάλουν, ἧς τὸν ἰὸν ἐκτρέφει νῦν ὡς μάλιστα κακοήθως ἡ μέλαινα τῆς Ἑλλάδος χορδὴ, ἑπτὰ κεφαλὰς καὶ αὐτὴν, τῶν κυκλάδων νήσων τὰς εὐδοκιμωτέρας, προσποιησαμένην, ταύτην ὁ σοφὸς Κυβερνήτης, ὁ νέος ἥρως καὶ

μάρτυς ἤδη, καὶ ἀποθανὼν κατεδάμασεν, οὐ ῥοπάλῳ κατὰ τὸν Ἀλκμήνης χρησάμενος, οὐδὲ πῦρ ἐπενεγκὼν κατ' Ἰόλεων, ἀλλὰ γνώμῃ μάλιστα καὶ ἐπιεικείᾳ καταπαιδαγωγήσας ἐκείνους· ἡ γὰρ ἐκείνου σκιὰ ἔτι καὶ νῦν οἰακοστροφεῖ τῶν πραγμάτων τὴν μεγάλην Ὀλκάδα· αἱ γὰρ συνεπαρθεῖσαι ἔξωθεν κεφαλαὶ, συνειδυῖαι πρῶται τοῦτ' αὐτὸ μὴ ἀποθανόντα, ἀλλ' ἔτι ζῶντ' ἐκεῖνον ἐν ταῖς τῶν πολλῶν διανοίαις, καὶ ποθούμενον μάλιστα παρὰ πάντων, κἀντεῦθεν τὰ πράγματα μὴ μεταβαλλόμενα, ὥσπερ ἤλπιζον, τούτων οἱ μάλιστα σπουδαρχοῦντες, ὑπέκλιναν τὸν αὐχένα, δεξάμενοι ἀναντιλογήτως τὸ προστεταγμένον· τοῦτο δ' αὐτὸ αὐτίκα μάλ' ἀναγκασθήσεται μιμήσασθαι καὶ ἡ τῶν κεφαλῶν μηχανή· εἰ δὲ μὴ, διαῤῥαγήσεται, αὐτὴ ἑαυτὴν τραγικώτερον διασπάσασα· ὁ δ' ἐκεῖθεν ἐκβρασθησόμενος ἰὸς ἔσται κυκεὼν ἐν Ἅδου ἑωθινὸς αὐτῷ μέχρις ἂν Νέμεσις καὶ Ἐριννύες ὑπάρχωσι, καὶ ἡ ἀρὰ ὅλου ἔθνους καταβοᾷ, τὸν ἔκδικον ὀφθαλμὸν τοῦ Διὸς ἐπικαλουμένη.

» Ὕβρις γὰρ ἐξανθοῦσ', ἐκάρπωσε στάχυν
» Ἄτης· ὅθεν πάγκλαυτον ἐξεμᾷ θέρος.

Ἐπὶ τούτοις οὖν ἤδη σύλλογος τῶν προὐχόντων συναγείρεται ἐκ πασῶν τῶν πόλεων εἰς τὸ Ἄργος· ἐν ᾧ αὐτά τε ταῦτα, καὶ ἔτι πλείω τούτων κριθήσεται· τίς δὲ καὶ ὁποία ἡ ψῆφος ἔσται, τοῦτο Τειρεσίου μάντεως δεῖται· εἴη δὲ ἡμῖν ἡ εἰρηνοποιὸς καὶ σωτήριος. Ἔῤῥωσο.

## *Κωνσταντίνῳ.* (212.)

Δεύτερος μὲν οὗτος, ἐξ οὗ ἱερεύς τις Στέφανος τοὔνομα, ἀπῆρεν ἐντεῦθεν ἐς Μεσολόγγιον· ᾧ ἐπέθηκα γράμματα πρὸς Γεώργιον τὸν Γαζῆν (οἶσθα γὰρ τὸν ἄνδρα τῶν ἐμῶν μαθητῶν·

εὐγνωμονέστατον γεγονότα) ἐν οἷς ἦν ἐπιστόλιον παρ' ἐμοῦ καὶ πρὸς σὲ, τὴν ἐμὴν εἰς τὴν Αἴγιναν κάθοδον ἀναγγέλλον, καὶ ὃν ἔχω πόθον πρὸς σὲ καὶ ἰδεῖν καὶ ἀσπάσασθαι· παρὰ δέ σου ἔμοιγ' οὐδὲν, εἰμὴ πρόσρησις ψιλὴ διὰ φίλου ἐκ τοῦ Ναυπλίου· ὥσθ' ὕποπτά μοι γεγένηται, εἴσοι τὰ γράμματ' ἀπεδόθη ἐκεῖνα· νῦν δ' ἀκουσθὲν καὶ Ἀντιπρόσωπόν σε πεμφθῆναι παρὰ τῶν δημοτῶν εἰς τὸ Ἄργος, εὐθὺς ἡψάμην αὖθις γραφίδος, οὐ μᾶλλον διὰ τῶν γραμμάτων σε ἀσπασόμενος, ἢ καὶ εὐξόμενος, ὥστ' ὀρθῇ καὶ δικαίᾳ ψήφῳ τέλος εὐτυχὲς, ὡς ἐν τοιούτῳ καιρῷ, ἐπιθεῖναι ταραττομένοις ἔτι τοῖς πράγμασι· τοῦτο γὰρ καὶ ἄλλως κοινῇ πᾶσι τοῖς Ἕλλησι σωτήριον γίγνεται, κἀμοὶ ἰδίᾳ πολὺ διαφέρει· βούλομαι γὰρ ἐλθὼν ὡς ὑμᾶς, προτεῖναί τι τῷ κοινῷ συνεδρίῳ περὶ τῶν κοινῇ συμφερόντων μετὰ σοῦ βουλευσάμενος· ὃ καὶ πρὸς τὸν ἱερὸν Κυβερνήτην περιόντα ἦν μεμελετηκώς. Ἔσται δὲ τὸ πρόβλημα οὐκ ἀπαίτησις ἀπολαύσεως, ὃ ἔθος ἐςὶ τοῖς πολλοῖς, ὥστε τὶ καὶ ἐνοχλεῖν· οὐδενὸς γάρ μοι δεῖ· ἀλλ' εὕρεσις πόρου ἔξωθεν πρὸς τὴν τῶν σχολείων ἀνέγερσιν ἐν ἁπάσαις ταῖς πόλεσιν, ὡς μὴ ἐπαρκοῦντος τοῦ ἐθνικοῦ ταμείου πρὸς τοσαύτην ἐπίδειξιν· τοῦτο πρῶτον. Δεύτερον δὲ αἰτήσασθαι χάριν τινά μοι γενέσθαι ἐν μέρει ἀπὸ τοῦ τυπογραφείου, ὡς μὴ ἐξαρκέσοντός μοι ἐς τέλος τοῦ ἀργυρίου, ὃ κέκτημαι πρὸς τὴν ὅλην τῶν ἐκδοθησομένων μοι πονημάτων ποσότητα· καὶ τοῦθ' ὁμοίως οὐκ ἐπιζήμιον· ἀλλὰ μάλιστ' ἐπικερδές· ὑπισχνοῦμαι γὰρ ἐν τριετίᾳ ἐγκαταθήσειν τῷ ἐθνικῷ βιβλιοπωλείῳ πλέον ἢ πεντήκοντα μυριάδων γροσίων βίβλους, συγκαταλεγομένων ταυταισὶ, καὶ ἃς φθὰς ἀνέθηκα πέρυσι τῷ κοινῷ. Τούτων οὖν πωλουμένων ἑξῆς, καὶ ἑτέρων αὖθις ἐκδιδομένων, σκέψαι, ποῖ ποτε βήσεται εὐτυχίας. Ἀλλὰ περὶ τούτου εὐθυνομένων μὲν τῶν πραγμάτων, διστάζειν

οὐδεῖ· κακῶς δ' ὑμῖν ἐν τῷ παρόντι συλλόγῳ βουλευθέντων ἐκ φιλονεικίας, καὶ τῆς στάσεως κρατούσης ἐκ φιλαρχίας, αὐτά τε ταῦτα φροῦδα ἔσται, καὶ τἄλλα πάντα οἰχήσεται. Ἀλλ' εἴη ἡμῖν ἄνωθεν εὐμενῆ καὶ σωτήρια. Ἔῤῥωσο.

Ἰωάννῃ. (213.)

Αἰτίας τῶν ἀνὰ χεῖράς σοι γραμμάτων διττὰς συνέπεσεν εἶναι, τό,τε μειράκιον τοῦτο, παρ' οὗ τυγχάνεις ταῦτα δεξάμενος, συστῆσαι σοι, ὡς εἰκός· δημότης γὰρ ἐμὸς, Σουδενίτης [illegible] τυγχάνει ὢν, οὐκ οἶδ' ὁπόθεν καὶ αὐτὸς εἰς Αἴγιναν κατιὼν, καταλιπὼν τὴν ἐνεγκαμένην· ἐγὼ δὲ οἶσθ' ὅτι καὶ πάντας μὲν τοὺς Ζαγορίτας φιλῶ, τοῖς δὲ Σουδενίταις, παρ' οἷς γεννηθεὶς ἀνετράφην, καὶ πλέον τι εὐνοίας προσαπονέμω· τούτῳ δὲ καὶ τούτων πλέον τί προσαπέδωκα, ὡς καὶ πλειόνων με τῶν ἐκεῖ ἀναμνήσαντι· τήν τε γὰρ πατρῴαν οἰκίαν μοι, καί τοι μὴ φίλως, ἐρείπιον οὖσάν μοι ἐξηγήσατο, καὶ τῶν πέριξ πολλὰ, ἐν οἷς τὰ ἐμὰ πάλαι ποτὲ ἦσαν γυμνάσματα, ἃ πεντηκοστὸν ἤδη ἔτος τυγχάνω καταλιπὼν, ὡς παρόντα παρέστησεν· ἐγὼ δὲ ὡς ἡδέως καθήμην αὐτοῦ διηγουμένου ἀκούων· ὧν γάρ τις διὰ πολλοῦ ἀπολελαυκὼς διετέλεσε, τούτων πόθ' ὕστερον στερηθεὶς, ἥδεται, ταῦτα τῇ ἀκοῇ εἰς τὴν μνήμην ἀνακαλῶν. Ταῦτα δὴ ἡ πρώτη τῶν πραγμάτων αἰτία· ἡ δὲ δευτέρα (δευτέρα μὲν τῇ τάξει, τῇ δὲ φύσει πρώτη καὶ μάλιστα) ἥκω γὰρ νῦν καὶ τὰ κατ' ἐμαυτὸν προσανακλαυσόμενος· ἔοικε γὰρ ἡ τύχη σφόδρα πολεμεῖν τὰ ἡμέτερα, λίαν φθονερῶς τὸν μόνον ἀξιόχρεων ἀνασῶσαι τὰ πράγματα ἀναρπάσασα· καὶ νῦν οὐδὲν, ἐφ' οἷς τοσαύτην διῆλθον ξηρὰν, καὶ τοσοῦτον διέβαλον πέλαγος, γέρων ὢν, προχωρεῖ μοι κατὰ θυμὸν, τῶν πραγμάτων ἔτι τεταραγμένων· οὔτε γὰρ χάρτης πάρεστιν, οὔτε

τυπογραφεῖον, οἷον ἄξιον καὶ εἰπεῖν. Ἀλλ' ἔσται, εἴποις ἄν, ὅτε ταῦτα βελτιωθήσεται· καὶ τί ποθ' οὕτω πρὸς ταῦτά σε κατεπείγει; τί; αὐτὸς ὁ Χάρων πρῶτος, ἀμφιλαφῶς τὰ σκέλη ὑποδακών, καὶ ἡ εἱμαρμένη ἕν τι καθ' ἑκάστην προαφαιρουμένη, ἀκοήν, ὅρασιν, τοὺς ὀδόντας, ἃ δεδανεικέναι ποτέ φησιν, οὐ μὴν δὲ καὶ δεδωκέναι, νῦν δοκεῖ προσαπαιτεῖν καὶ αὐτὸ τὸ κεφάλαιον. Εἰ οὖν τοιοῦτό τί μοι συμβαίη, δέομαι ὑμῶν, ὦ τέκνον, σοῦ τε καὶ τῶν ἄλλων εὐγνωμόνων μοι μαθητῶν, μὴ ἐᾶσαι τοὺς ἐμοὺς πόνους ματαίους γενέσθαι· τοῦτο γὰρ οὔτε δίκαιον, οὔτ' ἄλλως ἄξιον ὑμῶν, ὅσοι πλεῖσθ' ὅσα ἀπηλαύσατε τούτων· ἀλλ' ἐκδοῦναι, ὅπως ἂν ᾖ τὰ πράγματα ἔχοντα· αὐτά τε γὰρ ταῦτα πολλὰ τῇ ...λαίᾳ πρὸς εὐμάθειαν συμβαλεῖται, κἀμοὶ ἡ μνήμη οὐ πάμπαν ἀπολεσθήσεται· ὅσον δὲ εἰς τὸ τοῦ τύπου ἀνάλωμα, καὶ πρὸς τοῦτό μοι πεπρομύθευται ἀργύριον ἱκανόν· οἱ γὰρ προηγησάμενοι πόνοι οὐκ ἀχάριστοί μοι γεγένηνται· εἰ δέ τι καὶ προσδεήσειεν, ἀναπληρούσθω ἀπὸ τοῦ κοινοῦ, ὅπου τὰ βιβλία τά τε πρῶτα καὶ τὰ ἔσχατα ταῦτ' ἀφιέρωνται. Ἔρρωσο.

Τῷ αὐτῷ. (214.)

Δευτέραν φύσιν τὸ ἔθος εἶναί φατε ὑμεῖς οἱ τὰ τοῦ Ἀσκληπιοῦ ὄργια μυηθέντες· ὃ γὰρ ἄν τις ἀσκήσῃ διὰ πολλοῦ, τούτῳ ἥδεται μάλιστα· καὶ ἀφαιρεθείς, δυσθυμεῖ, χαλεπῶς φέρων τὴν μεταβολήν· ἦν μὲν γὰρ κἀμοὶ ποτὲ τὸ ἐνδελεχῶς ἐν τακτῷ χρόνῳ περὶ τοὺς λόγους ἐργάζεσθαι ἥδιστον, νῦν δ' ἐλθὼν ἐνταῦθα, τὰ ἐμαυτοῦ καλὰ ἐμψυχώσων παιδικά, ὡς ἂν εἴποι τις ὁ τῶν τοιούτων ἔρωτι κατεχόμενος, ἀλύω καθήμενος, ἐκπεπτωκὼς τῶν, ἐφ' αἷς ἥκων ἐλπίσιν· ἀπάγχει δέ μοι πρὸς τοῖς ἄλλοις καὶ ἡ ἐρημία· ἐρημία γὰρ ἀληθῶς ἡ τῶν φίλων ἐστὶν ἀποστέρησις· Κωνσταντᾶς γὰρ

καὶ Γεννάδιος, οὓς φιλῶ καὶ φιλοῦμαι ὑπ' αὐτῶν ἐν τοῖς μάλιστα, καὶ οὓς ὀψόμενος ἔσπευδον, ὁ μὲν γήρᾳ ἤδη καμφθεὶς, καὶ τὴν τῶν Ὀρφανῶν προμήθειαν ἐν πᾶσιν ἐμπιστευθεὶς, σπανίως εἰς ἡδονὴν ἐθέλει ἀνίεσθαι. Γεννάδιος δὲ, γυναῖκα γήμας, καὶ ταῖς τοῦ βίου ἐμπλακεὶς πραγματείαις, σκοπεῖ μᾶλλον, ὅπως τὸ καθ' ἑαυτὸν εὖ θέμενος, ἐπαρκέσει τὰ εἰκότα τῷ οἴκῳ· τῶν δ' ἄλλων εἴτις καὶ τῶν πολιτικῶν εὖ φρονῶν, ἀναστρέφεται, καὶ τούτων ἐν μὲν τοῖς σπουδαίοις ἄλλος ἄλλῳ ἐνασχολούμενος, ἐκείνου προσίσχεται· ἐν δὲ ταῖς ἀνέσεσιν αὖθις προϊὼν, ζητεῖ τὸν ὅμοιον ἑαυτῷ· ἐμοὶ δὲ Αἴγινα, καί τοι τἆλλα τερπνὸν τὸ χωρίον, καὶ ἄξιον τῆς δόξης τοῦ Αἰακοῦ, ἀλλ' οὖν ἀνθρώπῳ γεγηρακότι, καὶ ἀέργως διάγοντι, τετάρτῳ μηνὶ ἤδη, γεγένηται πρόσκορος. Πότε οὖν, καὶ ὅπως ὄψομαι τὰς Ἀθήνας, ἃς ἔτι ἀνοσίως κατέχουσι Ὀθωμανοί; αὐτοῦ γὰρ ὡς πολλῶν τῇ ὄψει ἔκτε τῆς ἀρχαιολογίας καὶ ἱστορίας παρισταμένων, οὐκ ἂν ὥς ἔγωγε οἶμαι, γένοιτο κόρος, οὐδ' ὄχλησις· εἰ δὲ εὐπορήσαιμεν καὶ τυπογραφείου αὐτόθι, οὐδαμοῦ ἔμοιγε προτιμότερον, οὔτε ζῆν, οὔτε τέλος ὁσιώτερον ἐπιθεῖναι τῷ βίῳ. Ἔῤῥωσο.

*Ἰωάννῃ.* (215.)

Ἐρωτᾷς ἴσως πῶς ἔχει μοι νῦν τὰ πράγματα; καὶ λίαν γε ὀχληρῶς· τά τε γὰρ ἄλλα, καὶ οἱ ὀδόντες διαφθαρέντες, οὐ πιστῶς τὸ ἑαυτῶν ἀπεργάζονται· χθὲς τοίνυν ἀνακυκήσας ἄλφιτα ὕδατι ζέοντι, καὶ ἑψήσας σὺν βουτύρῳ καὶ μέλιτι, συνεσκεύακα ἕψημα ἔμοιγε ἥδιστον· ὃ μάζαν συνήθως ἐν Δακίᾳ κατὰ τὸ ἐγχώριον ἐκαλοῦμεν· ᾧ καὶ χρήσομαι συχνότερον τοῦ λοιποῦ, κἂν λέγωσιν οἱ ἰατροὶ τὸ βρῶμα δύσπεπτον εἶναι· ἔγωγε γὰρ οὐδὲν οἶδα τοιοῦτον, μεταλαμβανόμενον μέτρῳ. Ἐν Κορίνθῳ τοίνυν φασὶ πολλὰ καὶ ἄξια εἶναι ἄλφιτα, ταῦτα δὴ τὰ ἐκ σίτου Αραβικοῦ· εἰ οὖν ταῦθ'

οὕτως ἔχοι, πέμψον μοι ὅσον μέδιμνον· τὴν δ' ὠνὴν ἀποτίσωμεν πάντως, ᾧ ἄν ποτε, καὶ ὅπως κελεύσῃς. Ἔῤῥωσο.

*Ἀναστασίῳ.* (216.)

Ἐλευθερίαν μὲν τιμῶ καὶ πολλὰ δοκῶμοι καὶ λέγων καὶ γράφων εἰς αὐτὴν συμβαλέσθαι· ἀλλὰ τὴν σεμνήν τε καὶ ἔμφρονα· ἣν δ' ὑμεῖς, ταύτην δὴ τὴν βακχικὴν, οἱ νεώτεροι λαρυγγίζετε γαυριῶντες, εἰς αὐτὴν ἔγωγ' ὑμῖν οὐ ξυντίθεμαι, ἀναρχίαν καὶ σπουδαρχίαν εἰδὼς αὐτὴν μᾶλλον οὖσαν· ἢ οὖν ἕπεσθέ μοι, τιμῶντες τοὺς ἄρχοντας, οὓς τὸ γένος σύμπαν ἐπέστησε τοῖς πράγμασιν ἀγαγόν· ἢ νέων ἔργον πράττοντες, ἄφετε ἡμᾶς φρονεῖν ὅ,τι ποθ' ἡ τῶν πραγμάτων διὰ πολλοῦ ἐξεδίδαξε πεῖρα. Ἔῤῥωσο

Τῷ αὐτῷ. (217.)

Νεώτερος ἐγενόμην, καὶ ἦν ὅτε κἀγὼ, ἢ τοιοῦτος, ἐδούλευον πάθεσι μάλιστα· ἀλλὰ νῦν γε πείρᾳ μεμάθηκα, ὁποῖον θηρίον νεότης ἐστὶν, ἄστομος οὖσα λόγῳ· φύσις γὰρ καὶ λόγος ὀρθὸς οὐ ταὐτὰ, οὐδὲ πρὸς ταὐτὰ χειραγωγοῦσιν ἀμφότερα· ὁ μὲν γὰρ ἑνωθεὶς συνειδότι, τούτῳ δὴ τῷ ἀδεκάστῳ καὶ ἀπαραβιάστῳ μάρτυρι τῶν ἐν τῷ ἀδύτῳ τῆς ἑκάστου ψυχῆς βουλευμάτων, ἄγει ἀπλανῶς πρὸς τἀληθὲς ἀγαθόν· ἡ δὲ φύσις, ἅτε δὴ βάσιν ἔχουσα αὐτὴν τὴν καρδίαν, ἐν ᾗ ἡ θέλησις, ἐξ ἧς παντοῖαι ἀναφύονται ἐπιθυμίαι, ὥσπερ ἐξ ἄλλης ὕδρας, δηλητήρια πάθη, ἐξ ὧν ἠθικῶς τε καὶ πολιτικῶς οἱ τάλανες ἀπολλύμεθα, πρὸς τὸ δοκοῦν ἐξορμῶσα, ἐξετραχήλισε μᾶλλον, ἢ ἔσωσεν. Εἰ οὖν αὐτὸς ἐθέλεις εἶναι, ἀλλὰ μὴ δοκεῖν χρηστὸς εἶναι πολίτης, ὑπόταξον τὸ φύσει τῷ ἤθει, ἐν ᾧ ἡ μακαριότης ὑφίσταται· κἀνταῦθα τό,τε

φιλόπατρι, ὃ πολλοὶ προσποιούμενοι, ἐκταράττουσι τῶν ἐπιεικεστέρων καὶ μετριωτέρων τὸν βίον, καὶ τὴν ἄλλην εὑρήσεις ἀρετὴν ἀπλανῶς· τοὐναντίον δὲ, τὸ ἦθος ὑποτάττων τῷ φύσει, καὶ τοῖς πάθεσι τὸν χαλινὸν ἀνιεὶς, ἴσθι οὐ πολίτης χρηστὸς, οὐδ' ἄνθρωπος ὅλως, ἀλλὰ θηρίον γεγεννημένος αὐτόχρημα· τὶς γὰρ οὐκ οἶδεν, ὅτι οὗτοι οἱ σεμνοὶ οἱ τὸ τῆς ἐλευθερίας σεμνὸν προϊσχόμενοι ὄνομα, ἰδιοτελεῖς καὶ πλεονέκται πείρᾳ γεγενημένοι, οὐκ ἐλευθερίαν τιμῶντες, ἐκείνης προσίσχονται· ἀλλ' εὐπροσώπως, ὧν ἔφθησαν κακουργήσαντες, βουλόμενοι συγκαλύψαι, πράττουσιν ἤδη θαρυβοῦντες, ὅπως ἐμφύλιος γενόμενος πόλεμος, διαλύσει αὐτοῖς, ἃ ἐξήμαρτον; ποῦ γάρ ἐστι τοσοῦτον ἀργύριον, ὃ τὸ μὲν γένος πεποίητο δάνειον, αὐτοὶ δὲ οἱ λαβόντες κεκλόφασι; ποῦ δ' ὁ στόλος, ὃν ἐν Καλαβρίᾳ τετολμήκασι κατακαῦσαι, ἵν' ἐλεύθεροι ὦσι ποιεῖν ὅ,τι βούλοιντο; εἶτ' ἀνελόντες δόλῳ καὶ τὸν Κυβερνήτην, ζητοῦσι νῦν ἀκοῦσαι τὸ πάλαι ποτὲ ἐκεῖνο σωτήριον κήρυγμα, ἀμνηστεία τῶν πρὸ Εὐκλείδου· ἀλλ' ἐκεῖνο μὲν ἦν ποθ' ὅτε τῷ ὄντι τοιοῦτον ἦν Ἀθηναίοις αὐτόχθοσιν οὖσιν, οἷς πόθος πατρίδος ἦν φύσει, οὐ Φαναρίταις ἀκτήμοσι καὶ σπουδάρχαις· νῦν δὲ εἰ τοῦτο γένοιτο, ὁδὸς ἐσαῦθις καὶ ἐνδόσιμον ἔσται τὰ τοιαῦτα τολμᾶσθαι· κακία γὰρ θριαμβεύουσα, διαδόσιμος, καθάπερ μόλυσμα, γίγνεται. Ἔρρωσο.

*Εἰρηναίῳ.* (218.)

Τριακοστὸν καὶ πέμπτον, ὡς εἰκάζω, ἔτος τουτὶ, ἐξ οὗ λόγος τὶς, ἔργον ἐλλογίμου φρενὸς κατά τινος Μακαρίου ἧκεν ἐκ Βυζαντίου εἰς Βουκουρέστιον· ἦν δὲ τοῦ λόγου πατὴρ Ἰωάννης, ὡς ἐλέγετο τότε· τὸ δ' ἐπώνυμον οὐκέτι μέμνημαι, ὁποῖόν ποτ' ἦν· Ὁ δ' οὖν λόγος ἅμα φανεὶς, ἐθαυμάσθη παρὰ

τε τῶν ἄλλων λογίων, καὶ αὐτοῦ Λάμπρου τοῦ Φωτιάδου· καὶ τοσοῦτόν γε, ὥστε καὶ ὑπόνοιά τις ἦν, εἴτις Ἰωάννης ἐςὶν ἐν Βυζαντίῳ οὕτως ἐς κάλλος γράφων· καί πως τινὲς ἀμφιῤῥεπεῖς ἐγένοντο, ὥστ' ἀποδοῦναι τὰ μὲν κατὰ γραμματικὴν ἀναιρετικὰ αὐτῷ τούτῳ τῷ Ἰωάννῃ· τὰ δὲ ἐκ τῆς τοῦ Ἑρμογένους ῥητορικῆς, οἱ μὲν, Σεργίῳ τῷ Μακραίῳ· οἱ δὲ, Ἀθανασίῳ τῷ Παρίῳ, ἀμφοῖν τηνικαῦτα περιοῦσι. Ταύτην τοίνυν τὴν ἀμφιβαλλομένην ἰδέαν λαβὼν ἐγὼ, ἐκοίνωσα Ἱλαρίωνι τῷ ποτὲ μὲν ἐν Βουκουρεστίῳ τὰς διατριβὰς ποιουμένῳ, νῦν δ' ἀρχιερατεύοντι ἐν τῷ μεγάλῳ Τορνόβῳ· ὁ δὲ ἀδικεῖται, ἔφη μοι, ὁ χρυσοῦς Ἰωάννης· ὁ γὰρ λόγος ἐστὶν ἔργον γνήσιον τῆς ἐκείνου γραφίδος· καὶ ταῦτα μὲν οὕτως ἔσχεν ἐς δεῦρο. Νῦν δ' ἥκω ἐρῶν τὰ κατ' ἐμαυτόν· ὁ γὰρ λόγος τότε, θρυλληθεὶς, ὡς εἰκὸς, παρὰ πάντων, τοῖς μὲν ἄλλοις ἦν ἡδονή· ἐμοὶ δὲ παραδόξως καὶ πάθος τι ἐνῆκεν, οἷον ἂν πάθοι τις, ἐρωτικῶς διακείμενος πρὸς τοὺς λόγους· ὥσπερ γὰρ κέντρῳ, οὐκ οἶδ' ὅπως, τρωθεὶς τῷ ζήλῳ, οὐκέτ' ἄλλῳ τῶν ἐν τῷ βίῳ οὔτ' ηὐχόμην, οὔτ' ἐβουλόμην οὐδὲν, εἰμὴ ὡς ἐγγυτάτω τῶν τῆς Μούσης ταύτης κόλπων γενέσθαι, ὥσθ' ἱκανῶς ἀπολαύσαντα τῶν ἐκεῖθεν χαρίτων, τοιούτου λόγου κἀμὲ πατέρα γενέσθαι· κἀν τούτῳ τὸ πλεῖστον τοῦ χρόνου κατέτριβον· κἀπειδὴ πού ὕστερον ἔδοξά τι κατορθῶσαι τῷ πόνῳ, φιλοτιμηθεὶς καὶ εἰς τὸ κοινὸν τὴν ἐμαυτοῦ ἐπιδείξασθαι τέκνωσιν, ἀπῆλθον εἰς Βιένναν, ὅπου ἀλληλογραφίας αὖθίς μοι οὔσης πρὸς Ἱλαρίωνα, συνήθως προσηγόρευον ἐν τοῖς γράμμασι καὶ τὸν ἐλλόγιμον Ἰωάννην ἐκεῖνον, ὡς νυμφαγωγόν μοι ἤδη γεγενημένον, τοῦτ' αὐτὸ θηρεύων φίλον ποιήσασθαι· ὁ δὲ ἀπεκρίνατό μοι, ὅτι Ἰωάννης ὁ ἀστεῖος ἐκεῖνος, πριάμενος τὴν τῶν Ἀθηνῶν τελωνείαν, ἀπῆρεν ἐκεῖσε· κἀγὼ τοῦτ' ἀκούσας, ἀπέγνων· τί γὰρ ἠδυνάμην

ποιεῖν, τῆς θήρας διαφυγούσης με; Ἐκ δὲ τούτου, χρόνου ἤδη διαῤῥυέντος πολλοῦ μεταξὺ, ἐφέτος αὖθις, ἔκτος μὴν οὑτοσὶν, ἐντυχὼν καθ' ὁδὸν τῷ σοφῷ Ἱλαρίωνι, καὶ πυθόμενος αὐτοῦ μεταξὺ λόγων περὶ τοῦ αὐτοῦ Ἰωάννου, ἤκουσα ἀπευκταῖόν τι παρ' αὐτοῦ, ὅτι ἐκεῖνος τέθνηκε δυστυχήσας· κἀντεῦθεν εἰπὼν ἐγὼ τὸ κοινὸν, γαῖαν ἔχοι ἐλαφρὰν, ἀπέγνωκ' αὖθις τὴν πρὸς τοῦτον φιλίαν. Ἀλλ' ἅμα ἐλθὼν εἰς Αἴγιναν, καὶ λόγου περὶ σοῦ γενομένου, ἠρώτησα τὸν γηραιὸν Κωνσταντᾶν, μήτι οὗτός ἐστιν ὁ κατὰ Μακαρίου τινὸς ποτὲ ἐν Βυζαντίῳ γράψας, ἐπειπὼν ἔτ' αὐτῷ καὶ ἕτερ' ἄττα γνωρίσματα, ἐξ ὧν ὑπῆν ἀθροῖσαι τὴν τοῦ προσώπου μνήμην· ὁ δὲ, ἔοικέ τι, φησὶν, ἀλλ' ὅ,τι ποτὲ γέγραφεν, ἔγωγε, φησὶν, οὐ γινώσκω. Οὐκοῦν λείπεται ἡμῖν εἰπεῖν τὸ τοῦ Σοφοκλέους

» Ἄρ' ἔστιν; ἆρ' οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ.
» Καί φημι, κἀπόφημι, κοὐκ ἔχω τί φῶ.

Πυνθάνομαι τοίνυν, εἰ αὐτὸς ἐκεῖνος τυγχάνεις ὤν· εἰ μὲν γὰρ ἐκεῖνος, ἴσθι πολλῶν μοι ἐτῶν πόθον πεπληρωκώς· εἰδὲ ἕτερος, ἀλλά γε δι' ἐκεῖνον νῦν μοι φίλος γεγενημένος. Ἔῤῥωσο.

## *Δημητρίῳ.* (219)

Παρ' ἐμοῦ μὲν διττὰ πρὸς ἕκαστον τῶν ἑταίρων προσαπέσταλται γράμματα, παρ' ἐκείνων δὲ πρὸς ἐμὲ παρ' οὐδενὸς οὐδὲ ἓν, οὐκ οἶδ' ὅπως ποτὲ, παραμεληθέντος παρ' ὑμῶν τουτουῒ τοῦ καθήκοντος· Ἦν δ' οὖν ἔμοιγ' ἐκεῖ ἡ γραφὶς ταχίων πως καὶ ἀδόλεσχος· νῦν δὲ βραδυτέρα ἑαυτῆς δοκεῖ γενέσθαι καὶ σοβαρὰ, Λακωνικὴν ἀντὶ τῶν Αττικῶν ἀμοργίδων μετεμφιεσμένη σεμνότητα· καὶ εἰμὴ καὶ νῦν κομι-

σαίμην τὶ παρ' ὑμῶν, ἐπαπειλεῖ δυστρόπῳ σιωπῇ ὅλως ἑαυτὴν παραδοῦναι· ἀφ' ἧς οὐκέτ' ἂν ῥᾳδίως δυνήσεσθε διεγείραί με. Ἴστε τοίνυν ἐμὲ ὑγιαίνοντα μὲν, ἀργὸν δὲ καθήμενον, καὶ τὰ παρόντα δεινὰ θρηνοῦντα· οἱ γὰρ Ἕλληνες, ἀπολωλότος τοῦ Κυβερνήτου, ὑπὸ τῶν ἰδίων παθῶν ἀγόμενοι καὶ φερόμενοι, διασχισθέντες, διοικοῦσιν (ἵνα μὴ εἴπω, σπαράττουσιν) οἱ μὲν, τὰ ἐντὸς τοῦ Ἰσθμοῦ· οἱ δὲ, τὰ ἐκτός· καὶ τὸ στρατιωτικὸν ἑκατέρωθεν ἕτοιμόν ἐστιν ὡς εἰς πόλεμον· οἱ μὲν, ἀπὸ Κορίνθου· οἱ δὲ ὡς ἐκ Μεγάρων ὁρμώμενοι· παρ' οἷς δὲ δοκοῦσιν ἔξωθεν προστασίαν εὑρέσθαι πρὸς σωτηρίαν, οὗτοι ψευδόμενοι τοὔνομα, ὑποσκάπτουσιν ἡμῖν τὸν λάκκον, εἰς ὃν ἐμπέσειεν αὐτοί· καὶ νῦν τὸ παροιμιῶδες, δρυὸς πεσούσης, πᾶς ἀνὴρ ξυλεύεται· τοῦ γὰρ μεγάλου Κυνὸς, ὃς ἀπεσόβει γενναίως τοὺς Λύκους ἀπὸ τοῦ ποιμνίου, ἀπολωλότος, τίς ἀντιστήσεται πρὸς τοσαῦτα καὶ τηλικαῦτα ἐξωτερικά τε καὶ ἐσωτερικὰ ἐπιόντα θηρία; τὰ κυνάρια πέριξ ὑλάζοντα; ἀλλὰ καὶ τούτων τὰ μὲν σωτηρίας, τὰ δὲ καὶ τῆς θήρας γλιχόμενα μετασχεῖν, ὑποσαίνουσι προσιόντα, οἷς ἅπαν καταρᾶται τὸ ἔθνος. Ἀλλ' ἰδέτωσαν νῦν οἱ Ἕλληνες, οἷον ἀπωλέσαμεν ἄνδρα, ὥσπερ ἄλλον Ζαχαρίαν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου φονεύσαντες· ὃς τὰς μὲν ἡμέρας διῴκει τὰ καθ' ἡμᾶς πατρικῶς, τὰς δὲ νύκτας διενυκτέρευεν, ὡς ἄγρυπνος φύλαξ, παρὰ τὰς θύρας ἰὼν τῶν κατὰ τὴν Εὐρώπην προὐχόντων ὑπὲρ τῆς Ἑλλάδος· Μὴ στήσει Κύριος ἡμῖν τὴν ἁμαρτίαν ταύτην, ἀποτρέπων τὸ αἷμα αὐτοῦ ἐπὶ τὰς κεφαλὰς τῶν αἱμοβόρων πλεονεκτῶν, οἳ ἀπετόλμησαν τοιοῦτον φόνον αὐτῷ τολυπεῦσαι, ἵν' ἀδείας τυχόντες, ἔχοιεν ἄγειν καὶ φέρειν τὰ πράγματα, ὡς αὐτοῖς ἰδίᾳ συμφέρει. Ἔρρωσο·

*Γεωργίῳ.* (220.)

Ἰσχυρὸν δήπου γε τὸ ἔθος ἐστί· καὶ μάλιστ' ἐπειδὰν τῷ χρόνῳ ἀντλούμενον, μεταβάλῃ εἰς ἦθος· ἦν γὰρ ἡμῖν ποθ' ἡδίστη καὶ πολυετὴς πρὸς ἀλλήλους διατριβὴ, ὥσθ' αἱ συνεχεῖς συνουσίαι, οἷον εἰς φυσικὸν τῷ χρόνῳ μεταπεποιημέναι νόμον, οὐκ εἴων τοὺς ἐρωμένους οὐδεμίαν γοῦν ἡμέραν ἀπ' ἀλλήλων ἀφίστασθαι· τὸ γὰρ ἡδέως εἰς πεῖραν ἐρχόμενον ἀνιαρόν ἐστιν ἀφαιρούμενον. Ἐπεὶ τοίνυν δυσαπόσπαστος εἱμαρμένη, τὸν ἐν ἡμῖν εἱρμὸν διασπάσασα, διέστησεν ἡμᾶς ἀπ' ἀλλήλων, ἕτερον ἑτέρωσε ἀπαγαγοῦσα τῇ βίᾳ, ἀνακλητέον, ὅσον οἷόν τε, τοῖς γε γράμμασι τῆς ψυχῆς τὸ ἡδόμενον· οὐ γὰρ μικρὸν καὶ ταῦτ' οἶδε θεραπεύειν τοὺς ἔρωτας. Ἦν μὲν οὖν πρὸς σὲ τὰ πρῶτα μοι γράμματα, τήν τ' ἐμὴν εἰς Αἴγιναν μηνύοντα κάθοδον, καὶ τὴν τῶν πραγμάτων ἐκ τῆς δολοφονίας τοῦ μεγάλου ἀνδρὸς ταραχήν· ἣν ὡς ἐκ τῶν ἀβύσσων τοῦ ᾄδου τὰ Βυζαντινὰ μάλισ' ἐτύρευσαν ἀρχέκακα κνώδαλα, οἳ ἔτι καὶ νῦν ἐν ἀγῶνι εἰσὶν, ὅπως ἐς ἐμφύλιον ἡμᾶς ἐμπλέξαντες πόλεμον, τὰ ἑαυτῶν συγκαλύψειεν κακουργήματα, ὑπό τινων ἔξωθεν, λόγῳ μὲν φίλων, ἔργῳ δ' ἐχθρῶν ἡμῖν ὄντων, θεραπευόμενοι, καὶ πωλοῦντες ἑαυτοὺς ἐκείνοις λάθρα, ὅπως καὶ ἣν ἐπὶ πολλῷ τυγχάνομεν ἀνειληφότες ἐλευθερίαν, αἰσχρῶς ἀπολέσωμεν· ὃ οὐδὲν δυσχερὲς αὐτοῖς κατορθῶσαι, τοῦ μὲν πολυομμάτου Ἄργου ἀποθανόντος· τῶν δ' ἀπολειπομένων ἀνοήτων ὄντων· Νῦν δ' ἐπισυναπτέον κἀκεῖνα τοῖς εἰρημένοις· λυπηρὰ μὲν, ἀληθῆ δέ· τὸ γὰρ Ἑλληνικὸν δίχα διαιρεθὲν, στασιάζει οὕτως, ὥστε τὸ στρατιωτικὸν διασχισθὲν καὶ αὐτὸ, παρασκευάζεται ὡς εἰς μάχην, τὸ μὲν, ἐκ τῆς Κορίνθου· τὸ δὲ, ὡς ἐκ τῶν Μεγάρων ὁρμώμενον· πει

ρῶνται δ' οὖν, φησὶν, οἱ προστατεύοντες πρόξενοι διαλῦσαι αὐτοῖς πειθοῖ τὰ διάφορα· ἀλλὰ τοῦτ' αὐτὸ ἔγωγε δέδοικα μάλιστα, τὰς ἐκ τῆς δολίου πολιτικῆς αὐτῶν ὑπαισθόμενος διαδύσεις· λέγοντες γὰρ, ἃ μὴ φρονοῦσι, πράττουσι δὲ τοῦθ' ὅπερ αὐτοῖς ὁρῶσι συνοῖσον· δοκοῦντες γὰρ τὰ δέοντα παραινεῖν ἀμφοτέροις, ἕτερα ἑκατέροις παρενείρουσι δίκαια, ἵν' ἀπὸ διαφόρων ἐπιχειροῦντες ἀρχῶν, ἔχοιεν εὐπρεπῶς διασπᾷν εἰς διχόνοιαν τὰ μάλισθ' ὁμονοίας δεόμενα, τὸ καθ' ἡδονὴν ἑκατέροις, οὐ τὸ ἀληθὲς ὑποτρέφοντες. Μία τοίνυν ἡμῖν ἐλπὶς, ἡ τῶν Ῥώσσων ἀντίληψις· ἐκεῖθεν γὰρ ἡμῖν ἐφάνη ἔνγε ταῖς νῦν περιστάσεσιν ἀκραιφνὴς καὶ ἄδολος ὑπεράσπισις. Ἀλλ' ἦν ἴσως καὶ τοῦθ' ἡμῖν, ὅτε ἦν, οὐ δι' ἡμᾶς αὐτοὺς μᾶλλον, ἢ διὰ τὸν ἀγαθὸν Κυβερνήτην, τὸν καὶ πρότερον μὲν ἀγαπώμενον παρὰ τοῦ Αὐτοκράτορος Νικολάου, καὶ νῦν δ' οὐχ ἧττον, ὡς ἐγῷμαι, ποθούμενον· νῦν δ' ἐκείνου τε παραδόξως ἀρθέντος, καὶ τῶν Ὑδραίων ἐκ διδαχῆς τῶν ἐκ Βυζαντίου ἀνοσίων τελχίνων, πυροβολησάντων τὴν Ῥωσσικὴν σημαίαν, τίς ἐχέγγυος ἡμῖν ἐστιν εὑρήσεσθαι καὶ τοῦ λοιποῦ ταὐτὰ παρὰ τῆς δυνάμεως ταύτης; Ταῦτα κάθημαι λογιζόμενος· καὶ συνορῶν, οἷ κεχωρήκαμεν ἀθλιότητος, ἀνίσχων θαμὰ τὰς χεῖρας, ἐξαιτοῦμαι πρὸς παραμυθίαν τὴν ἐξ ὕψους βοήθειαν, ὅθεν πᾶν δώρημα τέλειόν ἐστι καταβαῖνον. Ἔῤῥωσο.

Ἰωάννῃ. (221.)

Ὅ μοι καλῶς ποιήσας, πέπομφας πρῴην Ὑμίττειον μέλι, τοῦτό μοι δεδαπάνηται ἤδη· γλύκυσμα γάρ τι ἐξ αὐτοῦ συσκευάσας, ἐμοί τε ἡδὺ, καὶ οἷς τῶν φίλων τούτου μετέδωκα, ἀφθονωτέρῳ, ἢ κατὰ γέροντα τούτῳ κατεχρησάμην. συνετέλεσε δ' οὖν εἰς τοῦτο καὶ οὑμὸς Πυθαγόρας ἐν μέρει,

ὥσπερ μῦς ὑπεισδύων εἰς τὸν ἀμφορίσκον· ἥδιον γὰρ τοῖς παισὶν, ἢ ἡμῖν τοῖς δυσορέκτοις τὸ ἔδεσμα γίγνεται. Εἰ οὖν καὶ αὖθίς μοι τοσοῦτον ἐπιδωρήσῃ, σοί τε διπλῆν τὴν χάριν ἐπιμετρήσω, καὶ τῆς μελισσοτρόφου Ἀττικῆς θερμότερον συνάξω τὸν πόθον· Ἔῤῥωσο.

## Τῷ Μανουήλῳ. (222.)

Χθὲς πρὸ ἀρίστου σχεδὸν ἐτύγχανον καθήμενος οἴκοι· ἐλθὼν δὲ ὁ Κωνσταντᾶς, καὶ κόψας τὴν θύραν, ᾗ βακτρεύεται βακτηρίᾳ, ἀναστὰς, φησὶ, δεῦρο κατίωμεν εἰς τὴν θάλασσαν ὡς ἐπὶ τὸν ἕτερον τῶν λιμένων· ἵν' ἱδρώσαντες πρότερον, ὡς φασὶν οἱ ἰατροὶ, ὀρεκτικώτερον ἐπανήκοντες σιτισώμεθα· ἀπέχει δ' ὁ λιμὴν οὗτος τοῦ Ὀρφανοτροφείου, παρ' ᾧ παροικοῦμεν, ἡμιώριον μάλιστα. Πορευόμενοι τοίνυν ἀνέτως ὑπὸ ἀκραιφνῆ τὴν ἀκτῖνα ἐν μέσῳ χειμῶνι ὡς ἐν σταθερᾷ τοῦ παρ' ὑμῖν ἔαρος μεσημβρίᾳ (παρ' ἡμῖν γὰρ οὐ χειμὼν, οὐ νιφετὸς, οὐδὲ ψύχος καθ' Ὅμηρον γίγνεται.) ἐθεώμεθα μάλ' ἡδέως τά τ' ἄλλα πέριξ καλὰ, καὶ δὴ καὶ τὰ κρίνα τοῦ ἀγροῦ ἤδη τῶν καλύκων ὀργῶντα προκύπτειν. Ὡς δὲ πάντα τὰ κατὰ τὸν λιμένα κύκλῳ ἐπελθόντες τῇ θέᾳ, εἰσήειμεν εἰς κῆπόν τινα, ὃν Περιβόλαν αὐτοῦ οἱ ἐγχώριοι συνήθως καλοῦσιν, ἐμνήσθην τῶν Ἀλκινόου παραδείσων· οὓς, καὶ περὶ ὧν ὁ τοῦ Μέλητος τὸ γλαφυρώτατον τῶν ἐπῶν ἐποίησε, καὶ ἐξύμνησεν. » Ὄχνη ἐπὶ ὄχνῃ γηράσκει, καὶ μῆλον ἐπὶ μήλῳ· σταφυλή τε ἐπὶ σταφυλῇ, καὶ σῦκον ἐπὶ σύκῳ· » Ἔγωγε γοῦν ἐς δεῦρο ἠπίστουν ὅλως δυνατὸν εἶναι τὴν τοιαύτην μεγαληγορίαν κἂν τῇ φύσει ὑπάρχειν· Ἀδικοῦσι τοίνυν τῶν ποιητῶν τὸν θειότατον οἱ φάσκοντες αὐτὸν ψεύδεσθαι τὰ τοιαῦτα· αὐτίκα γὰρ ὁ κῆπος οὗτος, ὡς μικρὸν πρὸς μέγα τὸ τοῦ Ἀλκινόου παραβαλλόμενος, τεκμηριοῖ τἀληθές· ἔστι γὰρ τι

μὲν πέριξ περιβόλῳ κύκλῳ περιτετοιχισμένος εἰς σχῆμα τετράγωνον· τὰ δ' ἐντὸς δένδροις τε παντοίοις· ἡμέροις μὲν τὰ μέσα, κυπαρίσσοις δὲ τἄκρα κατάκομος· καὶ λαχάνοις ἡδίστοις κατὰ τὰ τῶν ὀρχάτων μεταξὺ διαλείμματα ἐν πρασιαῖς πολυγώνοις δι' ἔτους ὅλου κατάφυτος. Καθημένοις οὖν ἡμῖν ὑπὸ τὴν στοὰν κατὰ τὴν γωνίαν, ἣν ὁ ἀοίδιμος Κυβερνήτης ἐδείματο, ἀμύθητος ἡδονὴ ἐκ τῆς θέας εἰσέπιπτε τῇ ψυχῇ· ἡ γὰρ τοῦ ἡλίου ἀκτὶς λοξῶς, ὡς εἰκὸς, ὥρᾳ χειμῶνος προσβάλλουσα τοῖς φυτοῖς, χρυσοειδεῖς ὅλως τοὺς καρποὺς, οἷς ταῦτ' ἐπιβρίθει διηνεκῶς, ἡμῶν τῇ ὄψει παρίστα. Ἐγὼ δ' οὖν ταῦτά τε θεώμενος, καὶ τὴν ἄλλην καλλονὴν συναγαγὼν τῇ θέᾳ ἐξῆς ἀπὸ τῆς χώρας, περὶ ἣν αἱ Χάριτες μάλιστα δοκοῦσιν ἐσπουδακέναι, θρόνον ἴδιον ἑαυταῖς τὴν Αἴγιναν, ὡς ἔοικεν, ἐγνωκυῖαι ποιήσασθαι, εἶπον κατ' ἐμαυτὸν, πῶς ἂν εἴη καὶ πᾶσαν τὴν νῆσον, ἐπιτήδειον οὕτως οὖσαν εἰς φυτουργίαν, οὐ μὴν ἀλλὰ καὶ ἅπασαν τὴν Ἑλλάδα ὁμοίως Περιβόλαν γενέσθαι! ἵν' ᾖ ἀληθῶς, οὐκέτι τὰ Ἀλκινόου κηπίδια, οἷα Φαίαξι μόνοις σεμνύνεσθαι ἄξια, ἀλλ' Εὐρώπης πάσης τὰ θρυλλούμενα ἐν μύθοις ἠλύσια. εἶτ' ἐκ τούτου αἴφνης ἀναμνησθέντι μοι τοῦ θειοτάτου ἐκείνου ἀνδρός· ὃς μόνος ἦν ἱκανὸς αὐτά τε ταῦθ' ἡμῖν παρασχεῖν, καὶ τὴν ἄλλην προσεπαρκέσαι εὐδαιμονίαν, εὐθὺς ἔληξέ μοι ἡ θεωρία πρὸς δάκρυα. Ἔῤῥωσο.

*Γεωργίῳ.* (223.)

Πολλάκις εἴρηταί μοι πρὸς σὲ, ὅτι σπάνιον δῶρον ἡ φρόνησις τοῖς νέοις ἐγγίνεται· ἡ γὰρ ἡλικία σφριγῶσα πρὸς νεωτερισμὸν ῥεῖ, ἐξοκέλλει συνήθως εἰς ἀφροσύνην· καὶ νῦν ὡς ἐν ἀναρχίᾳ οὐδὲν φῶς σωτηρίας ὁρῶμεν· καὶ μαρτυρεῖ μοι τῷ λόγῳ τὰ πρῴην ἐντεῦθα γενόμενα· ἑωρῶμεν γὰρ φατρίαν

τινὰ νέων, Λυκούργους ὅλως καὶ Σόλωνας αὐτοσχεδίους βουλομένους γενέσθαι, τοὺς μήτε τοῦ φρονεῖν πω ἐπιβεβηκότας· ὧν καὶ σὲ αὐτὸν ἕνα λέγεται εἶναι, νέον ἀπονενοημένον, διεφθαρμένοις τισὶ καὶ τὴν συνείδησιν ἠκροτηριασμένοις συμπεριαγόμενον καὶ φερόμενον· λέγεται γάρ σε φάναι, ὡς δεῖ πάνθ' Ἕλληνα, ἐλεύθερον ἤδη ὄντα, ἐλεύθερα δεῖ φρονεῖν· καὶ φρονοῦνθ' οὕτως, καὶ τοῖς ἄλλοις ταὐτὰ διὰ λόγου μεταδιδόναι φρονήματα, ὥςε καὶ ποιεῖν ὅ,τι ποτ' ἂν ᾖ· τοιαῦτα τὰ τῆς μανίας ἔργα, ἀπούσης φρονήσεως· οἱ γὰρ ἐκείνῃ ἐπειλημμένοι τοιαῦτα καὶ φρονοῦσι καὶ πράττουσιν ἐλευθέρως ὅ,τι αὐτοῖς ἐπέλθοι· σὺ δὲ οὐδὲ λογικῆς ἀνήκοος εἶ· καὶ μέμνησαι ἴσως, ὅπως τοὺς ὅρους ἐξετάζομεν πρότερον· εἶθ' οὕτως ἐκρίνομεν, εἰ τὸ κατηγορούμενον συνάπτοιτο, ἢ μὴ τῷ ὑποκειμένῳ, ὥστε ποιεῖν πρότασιν ὑγιᾶ. Ἴδομεν οὖν καὶ νῦν, ὅπως ἔχει τὸ ἐλεύθερος πρὸς τὸν Ἕλληνα· σημαίνει γὰρ μάλιστα μὲν δεσπότην μὴ ἔχειν κύριον σώματος καὶ κτημάτων· οἷός ἐςιν ὁ Σουλτάνος· δεύτερον τὸν αὐτὸν καθ' ἑαυτὸν ζῶντα, μηδὲ μεμισθωμένον· τρίτον, τὸν ὑπὸ μηδενὸς κωλυόμενον εἰς ἀξιώματα προβιβάζεσθαι· τέταρτον, τὸν ἄγαμον· φαμὲν γὰρ καὶ τοῦτον μήπω ὑποδῦναι ζυγῷ τῷ τοῦ γάμου· πέμπτον, τὸν ἀνόητον· ὁ γὰρ ἄφρων κοῦφός ἐστιν, ταῖς τῶν βοριάδων ὅλως πνοαῖς συμφερόμενος. Ἴθι τοίνυν εἰπέ μοι, ποῖον τούτων ποιεῖ ὀρθῶς τὴν πᾶς Ἕλλην ἐλεύθερος πρότασιν; δῆλον, ὅτι τὸ πρῶτον, ἐν ᾧ ἐστι καὶ τὸ τρίτον· τὰ δ' ἄλλα μερικὰ ὄντα, οὐκ ἐθέλει συνάπτεσθαι πρὸς τὸ Πᾶς. Ἐκεῖνα τοίνυν ἔχεις, καὶ μὴ ταράττου, μήτις ἀφέλῃ σε ταῦτα· εἰ δὲ δεῖ φρονεῖν ἁπλῶς ἐλευθέρως, τοῦτ' ἐστὶν ἀνατρέπειν ἐθέλειν τὰ καθεστῶτα· ὃ μόνοις τοῖς μαινομένοις ἀποινὶ συγχωροῦσιν οἱ νόμοι· οἷς καὶ ὑμεῖς, ἐξ ὧν καὶ λέγετε καὶ φρονεῖτε, ὡς κατὰ τοὔσχατον σημαινόμενον

ἐλευθεριάζοντες, ἔνοχοι γίγνεσθε· καὶ ἐν τούτῳ ὄντες, οὐκ ἴστε· ὅπερ ἐστὶν ἀθλιότητος ὅρος ἔσχατος. Ὁρᾶτε τοίνυν μὴ τοιοῦτοι ὄντες, ὑμᾶς τ' αὐτοὺς ἅμα καὶ ἡμᾶς τῇ μανίᾳ ταύτῃ συναπολέσητε· ἴδε γὰρ ἐν Κορίνθῳ, ὅπως ἑκατέρωθεν οἱ ἡμέτεροι παρασκευάζονται, ὥσπερ τὰ θηρία, τοῦτ' αὐτὸ ὑπ' ἀλλήλων ἀναλωθῆναι. Ἐγὼ δ' οὖν ἐλεύθερον τὸν φρόνιμον μόνον οἶδα· οὗτος γὰρ μόνος αὐτὸς ἑαυτοῦ καὶ τῶν ἰδίων παθῶν γενόμενος κύριος, ἐλεύθερός ἐστι καὶ μόνος οἶδεν ἐλεύθερα φρονεῖν· ὑμεῖς δ' ὡς ὑπὸ τῶν ἰδίων παθῶν ἀγόμενοι καὶ φερόμενοι, ταραξίαι ἐστὲ τῆς πολιτικῆς ἁρμονίας καὶ ἀνατροπεῖς, ἵνα μὴ εἴπω καὶ αὐτῆς τῆς ἐλευθερίας, ἣν ἐπὶ πολλῷ τυγχάνομεν ἀνασεσωσμένοι, προδόται· οὐδὲ γὰρ τῷ νόμῳ ὑπείκειν ἐθέλετε· ὃς κελεύει θεὸν σέβειν ὁμοίως καὶ τοῖς ἄρχουσι πείθεσθαι. Ὁρᾶτε τοίνυν, φίλοι νεανίαι, νέοι ἄφρονες ἔτι ὄντες, μὴ τοῦθ' ὃ μάλιστα προσποιεῖσθε σπουδάζειν διατηρῆσαι, τοῦτ' αὐτὸ θᾶττον σπεύδετε ἀπολέσαι· εἰς τοῦτο γὰρ τὸ τέλος οἱ τῆς ἐλευθερίας ἀλάστορες, οἳ καὶ τὸν ἀοίδιμον Κυβερνήτην ἐφόνευσαν, ὑμᾶς ἐξωθοῦσιν. Εὖ φρόνει, καὶ τοὺς ἄλλους αὐτὰ ταῦτα κέλευε. Ἔρρωσο.

### Τῷ αὐτῷ. (224.)

Οὐ τοῦτ' ἐστὶ πατρίδα φιλεῖν πολλὰς βλασφημίας καταχεῖν τῶν ἀρχόντων· τοῦτο γὰρ καὶ οἱ κακοῦργοι καὶ ῥέκται πεποιήκασι καὶ ἔτι ποιοῦσιν, ἐφ' ᾧ ἐς τοῦτο δὴ συνελάσαι τὰ πράγματα, εἰς ὃ νῦν ὁρῶμεν αὐτὰ κεχωρηκότα· πολίτου δὲ χρηστοῦ πειρᾶσθαι ἐπισυνάπτειν τὰ διεστῶτα, οὐ διασπᾶν, λόγῳ σοφῷ τὰ πάθη ἀποσβεννῦντα, ἀλλὰ μὴ συνδαυλίζοντα· εἰ δὲ μή, ἡσυχίαν ἄγειν, τὰ μὲν κοινὰ μακρόθεν θρηνοῦντα, τὰ δ' ἴδια εὖ τιθέμενον, ὅσον οἷόν τε· εἰ γὰρ ἐξ ἀρχῆς, ἐν ᾧ ἕκαστος ἐκλήθη, πάντες διέμενον, οὐδὲν

ἂν νῦν ἡμῖν τῶν κακῶν ἦν· καὶ ἡ Ἑλλὰς ἐπήνθει, ὡς πολύοινος ἀλωή· νῦν δὲ ἀλάστορές τινες τῶν ἰδίων ἕνεκα διαφόρων, εὐπρεπέσιν ὀνόμασιν ἐρεθίσαντες τοὺς ἐς τὸ φρονεῖν μηδέπω καθεστηκότας, τόν τ' ἀμπελουργὸν ἀπέκτειναν, καὶ τὴν ἄμπελον ἀπέκειραν, ὥσπερ χάλαζα ἐπιπεσόντες αὐτῇ· τοιαῦτα δὲ τὰ τῆς ἀφροσύνης ἀποτελέσματα. Ἔῤῥωσο.

Τῷ *Κυριακῷ*. (225.)

Τὰ μὲν πεντήκοντα, ἑνὸς δέοντος (τοῦτο γὰρ ὁ τῆς καταλλαγῆς ὑφεῖλε νόμος) Σουλτανικὰ χρυσᾶ, ἃ ὁ θεῖος πέπομφε τῷ ἐμαυτοῦ Πυθαγόρᾳ, ἐκομισάμην· ὁ δὲ παῖς εὐθυμότερος, ὡς εἰκὸς, ἑαυτοῦ ἐπὶ τούτοις γενόμενος, (οὐκέτι γὰρ αἰδεσθήσεται, παρ' ἐμοῦ σιτιζόμενον τὸ μειράκιον) καὶ ἀναβάσεις ἐπὶ ἀναβάσεσιν ἐν τῇ ἑαυτοῦ ψυχῇ κατὰ τὸν ὑμνῳδὸν ἀεὶ ἐντιθέμενος, ἐπιδαψιλεύεται ταῖς ἐπιμελείαις· ἀκούει δ' ἑκάστης ἡμέρας μαθήματα τέσσαρα, Ἀριθμητικὴν, Ἀνθρωπολογίαν, καὶ τῶν γλωσσῶν τὴν Γαλλικὴν καὶ τὴν Λατινίδα· τὴν γὰρ Ἑλληνικὴν οἷός ἐστι καὶ ἑτέρους διδάξαι· περὶ δὲ τοῦ ἤθους αὐτοῦ (πολλὴ γὰρ ἐνταῦθα ἔν τε πολιτικοῖς καὶ θρησκευτικοῖς ἡ ἐκ τῆς ἀπολύτου ἐλευθερίας τῶν νέων διαφθορὰ) ὡς ἐμοῦ καὶ περὶ τούτου τῷ αὐτῷ καὶ τοῦ λοιποῦ φροντίσοντος τὰ εἰκότα οὕτως ἔχετε γνώμης· ἑκάστης γὰρ ἡμέρας λόγον μοι δίδωσι περὶ πάντων· ἓν δὲ μόνον εὔχεσθε, διανύσαι τὸν βίον αὐτὸν ἐς γῆρας, ἐφ' ᾧ τούς θ' ἑαυτοῦ εὐεργέτας ἀμείψασθαι τὰ εἰκότα, καὶ τῇ πατρίδι ἑαυτὸν ὠφέλιμον ἀναδεῖξαι· διψᾷ γὰρ οἶμαι, τὸ Μέσοβον τῶν ἐκ τῆς αὐτοῦ ἐπιδόσεως ἐλπιζομένων ναμάτων. Ἔῤῥωσο.

Τοῖς *Μαθηταῖς*. (226.)

Κόσμος γυναικὶ μάλιστα μὲν σιγὴ, καὶ σχῆμ' ἀπερίσπαστον σὺν σεμνότητι ἡ εὐπρέπεια· ἀλλὰ καὶ τὸ οἴκοι πε-

ριορίζεσθαι σφόδρα καλὸν, καὶ ὁ τῶν συγγραφέων κορυφαῖος τοῦτο παραινέσας, ἐπῄνεσε· τὸ δ' ἐν μέσοις ἀνδράσιν ἀδολεσχεῖν ἐν συχνῇ τῶν σκελῶν περιστροφῇ μοιχαλίδος δέλεαρ ἄντικρυς· τοιαύτη οὖν ἔοικε καὶ ἡ ἐκ γειτόνων ὑμῖν προσιοῦσα· Φυλάττεσθε τοίνυν, ὦ παῖδες, ὡς καὶ κῆρα μέλαιναν τὰ τῆς Κύρκης μυςήρια, ἵνα μὴ ἐξ ἀνθρώπων αἴφνης εἰς συῶν φύσιν τῇ τῆς ὀλεθρίας ῥάβδου γοητείᾳ μεταβληθέντες, εἰς τὰ ἐκείνων ἐλεεινῶς ἀπὸ μέσων τῶν σεμνῶν Μουσῶν ἀπαχθῆτε σιβώσια· ἀκατάσχετον γὰρ ταῖς γε τοιαύταις τὸ μάχλον, καὶ ταῦτα πρὸς ὑμᾶς τὰ μειράκεια. Ἔῤῥωσθε.

Τοῖς ἑταίροις. (227.)

Ἐλευθερία μὲν πάντως δουλείας τῷ παντὶ αἱρετώτερον, ὅσῳ καὶ παρὰ θεοῦ ἐξ ἀρχῆς ἐλεύθερον ἐπλάσθη ὁ ἄνθρωπος· ἀλλὰ καὶ τοιαύτηγε οὖσα, ἐπειδὰν εἰσέλθῃ εἰς ἀφρόνων καρδίας, οὐκ οἶδ', εἰ ἐλάττω αὕτη γε ἔβλαψεν, ἢ ἐκείνη· ἐῶ δὲ λέγειν νῦν τὰ ἐκ τῆς μανίας ταύτης παρ' ἡμῖν καθ' ἑκάςην ἐκτραγῳδούμενα· ἀλλὰ τήμερον ἅμ' ἡλίῳ ἀνίσχοντι, εἰ μὴ ὑπεξεχώρει φρονίμως ἡ τῆς πόλεως φρουρὰ τῇ τῶν μαινομένων μαθητῶν φορᾷ, τί ἂν τῶν κακῶν παρ' ὑμῖν οὐκ ἐγένετο· Ἕλληνες γὰρ, φασὶν, ἐσμὲν μαθητεύοντες, ἵνα μαθόντες διοικήσωμεν ἐν μέρει ποθ' ὕστερον τὰ πράγματα ἐλευθέρως· καὶ διὰ ταῦθ' ἕτερον προστάττειν ἡμῖν παρὰ τὸν διδάσκαλον οὐκ ἂν ἀνασχοίμεθα, οἷον προνομείαν τοῦ μὴ τοῖς ἄρχουσι πείθεσθαι τὸ μαθητεύειν εὑράμενοι· καὶ νῦν περιΐασι μανικῶς, τὰ καθεστῶτα ἐπιβαλόμενοι καθελεῖν. Βαβαὶ τῆς ἐλευθερίας! εἰς οἵων ἀνδραπόδων στόματα ἠχεῖ τὸ σεμνὸν τοῦτο ὄνομα καὶ ταῦθ' ὁπόθ' ὁ νόμος ὡς ἐν δειναῖς περιστάσεσιν οὐκ ἰσχύνει κρατύναι αὐτὴν βραχίονι ἰσχυρῷ· ὁρῶ γὰρ ἤδη καὶ πᾶν τὸ Ἑλληνικὸν ἄνω καὶ κάτω ὑπ' ὀλι-

γων σπουδαρχῶν ἀγόμενον καὶ φερόμενον, τοῦ νόμου ἀργοῦντος παντάπασι διὰ στᾶσιν ἀνόητον· καὶ νῦν ἐπαλείφονται ἀγωνίσασθαι· ἐξ οὗ ἡ μήτηρ Ἑλλὰς οὐ χαιρήσει, κοτίνῳ ἐςεφανομένη ἐπὶ τῇ νίκῃ· ἀλλὰ θρηνήσειγε μάλιστα, ἐλεεινῶς τὰ ἑαυτῆς δάκρυα, ὡς ἄλλη Ἰοκάστη ἐπ᾽ ἀπωλείᾳ τῶν τέκνων, ἀπομοργνυμένη τοῖς ῥάκεσιν· ὁρᾷ γὰρ, ὡς ἐκείνη, οὐκ ἀστενακτεὶ τοὺς ἑαυτῆς ἑκατέρωθεν ἐρεθιζομένους κυρίξαι ἀλλήλους, καθάπερ ταῦροι, κοὐδὲν περὶ πλείονος ποιουμένους, ἢ πότερος τὸν ἕτερον καταβάλῃ φιλονεικίας ἕνεκα τῆς αὐτίκα.

» Ποῦ ποτε στήσῃ πρὸ πύργων;
» Ὡς τίμ᾽ ἱστορεῖς τόδε;
» Ἀντιτάξομαι κτενῶνσε·
» Κἀμὲ τοῦδ᾽ ἔρος ἔχει·
» Ὦ τάλαιν᾽ ἐγώ! τί δράσετ᾽ ὦ τέκνα; . . . .

Τοιαῦθ᾽ ἡμῖν ἐτεκτήναντο οἱ τὸν μέγαν ἐκεῖνον ἄνδρα, ὃς ἦν μόνος ἱκανώτατος τὰ τῆς πατρίδος τραύματα θεραπεῦσαι, φονεύσαντες· οὓς κακοὺς κακῶς ὁ ἐξ οὐρανοῦ σκηπτὸς ἀπολέσειεν· εἰς οἵας ὑφάλους τὸ τῆς πολιτείας σκάφος παρεβιάσαντο οἱ ἀλάστορες ἐξοκεῖλαι. Ἔῤῥωσθε, ἐξαιτούμενοι ἡμῖν θεόθεν τῶν πραγμάτων ἀνόρθωσιν.

*Μανουήλῳ.* (228.)

Τί ποτ᾽ ἆρ᾽ ἡμῖν Μανουῆλος, τὸ μέλημα τῶν Μουσῶν κατὰ Πίνδαρον, τοὐμὸν γλυκερὸν φάος, ἡ εὔλαλος ἀηδὼν οὕτω μακρὸν πρὸς ἡμᾶς σεσίγηκε χρόνον; μακρὸν γὰρ ἔμοιγε ὡς κομίσασθαί τι παρ᾽ αὐτοῦ καὶ τοὐλάχιστον· ἆρ᾽ ἐπελάθετο ὅλως τῆς μετ᾽ ἀλλήλων ἡδίστης διατριβῆς, ἢ ἄλλως ἰλιγγιᾷ, πρὸς τὸ μῆκος τῆς ὁδοῦ ἀφορῶν; ἔστι γὰρ καὶ τοῦτ᾽ ἔχον δεινὴν τὴν προσποίησιν· πολλὰ γὰρ μεταξὺ ἀμφοτέρους ἡμᾶς ἀπείργει, ὄρη σκιόεντα, θάλασσά τε ἠχήεσσα· ἀλλὰ καὶ τούτου δοθέντος, ἡ τελεία αὖθις, φησὶν, ἀγάπη

ἔξω βάλλει τὸν φόβον, καὶ εἴτι τοιοῦτό τις ὑποκρίνεσθαι βούλεται· ἕτερον ἄρ' ἐστὶ τὸ κωλύον, τὸ πολύμοχθον, οἶμαι, νέον ἀξίωμα· ὃ καὶ αὐτός πως λίαν σεμνῶς πρῴην ποτὲ μόλις ὑπὸ μετριότητος ὑπηνίξατο πρός με, οὐκ ἀξιώσας φανερῶς ἐπιδείξασθαι, ἐφ' οἷς πρὸ πάντων καὶ ὑπὸ πάντων ὑπὲρ ἁπάντων φροντίζειν προτέτακται· ὥστε νῦν ἐν τῇ καινοτρόπῳ τῶν τῆς Δακίας πραγμάτων μεταῤῥυθμήσει αὐτὸν μόνον τὴν κοινὴν τῶν χρημάτων διαῤῥυθμίσαι καὶ διαιτῆσαι οἰκονομίαν· τὶς γὰρ ἂν εἴη τῶν ἄλλων ἀξιόχρεως οὕτως, ὥστε πολλῶν αἰώνων ἔθος δυσέκπλυτον καὶ δευσοποιὸν εἰς ἀλλοίαν κατὰ τρόπον μορφὴν καὶ κατάστασιν μεθαρμόσαι; ἢ ὅς τις ἐμπειρίᾳ πραγμάτων, καὶ συνέσει νοὸς τό,τε παρὸν ἄμεινον συνορᾷ, καὶ τὸ μέλλον εἰκάζει ἔτι ἐν τῷ ἀφανεῖ κατακείμενον. Ζώῃς μοι τοίνυν, ὦ φίλος, καὶ ἐς βαθὺ γῆρας ἵκοιο, τιμῶν, οἷς ποιεῖς, τὴν πατρίδα, καὶ ἄλλοτ' ἐν ἄλλοις ἄλλων ἀεὶ προτιμώμενος, καὶ τιμώμενος παρ' αὐτοῖς, κἂν ἐγὼ μὴ ἔχω παρὰ σοῦ γραμμάτων συνέχειαν· εἰδέ ποθ' ὑποκλέψας καιρὸν, ὅσος ἱκανὸς πρὸς μέτρον ἐπιςολῆς, ἐπιςελεῖς ἡμῖν, τοῦτ' αὐτὸ δηλῶν ὅπως ἔχεις, καὶ περὶ οἷα τυγχάνεις ἐνασχολούμενος, διπλᾶ εὐφρανεῖς. Ἔῤῥωσο.

## *Τῷ αὐτῷ.* (229.)

Βίος ἀεργὴς πνῖγος ὅλως ἐστὶν ὀχληρόν· ἐμοὶ δέ καὶ μάλιστα· διὰ γὰρ βίου παντὸς ἐξ ἀρχῆς διατρίψας ἐν ἔργοις, οὐδέ γε νῦν γεγηρακὼς δυναίμην ἂν ἀπομαθεῖν ῥᾳδίως τὸ ἔθος· σύνοισθα δ' ὃ φημι, ἐξ ὧν καὶ αὐτὸς πράττεις, ἀεί τι φιλοκάλως ἐπεξεργαζόμενος, κεκυφὼς ἐπὶ τῆς τραπέζης. Μὴ θαυμάσῃς τοίνυν, ὅπως ἀνὴρ γέρων συνεχέστερον τιμᾷσε τοῖς γράμμασι· διττὸν γὰρ πρὸς τοῦτ' ἔσχηκε τὸ ἐν-

δόσιμον, αὐτὸ τοῦτο τὴν ἀπὸ τῆς ἀργίας ἀπορίαν διασκεδάσαι, καὶ μάλιστα τὸ μάλιστά σε φιλεῖν· οὐ γὰρ οἶδα, εἴτις πώποτε τηλικαύτην ἀγάπην ἠγάπηκεν ἕτερον· Ἀνέχου τοίνυν τοῖς ἐμοῖς εἴτε λόγοις, εἴτε ὕθλοις, ὡς ἂν εἴποις, βαλλόμενος· ἄλλως γὰρ οὐκ ἂν βουλοίμεθα ἐνοχλεῖν· οὐδὲ γὰρ ἂν πρὸς πάνθ᾽ ἑξῆς κατὰ χρέος ἀπαντῆσαι ἡμῖν ἀξιοῦμεν, εἰδότες, ἐν οἷς εἶ, καὶ περὶ οἷα, καὶ ὅσα τυγχάνεις καθ᾽ ἑκάστην ἐνασχολούμενος· ὥστ᾽ εἴποτε καὶ καιροῦ λαβόμενος γράψειας, πρὸς ἡμᾶς ἀπὸ τοσούτων φροντίδων ἑαυτὸν ὑφαρπάσας, τοῦτ᾽ οὐ χάριτος ἀνταπόδοσις ἡμῖν λογισθήσεται, οὐδὲ χρέος τι, ἐξ ὀφειλῆς προηγουμένης πληρούμενον, μετρηθήσεται· ἀλλ᾽ ὡς χάρις ἐξυπαρχῆς, ἑτέρων ἐκκαλουμένη γραμμάτων ἀπότισιν, παρ᾽ ἡμῖν ἀποκείσεται. Ἔρρωσο.

*Νικολάῳ.* (230.)

Ὥσπερ καὶ ἄλλου τινὸς τῶν τε κατὰ φύσιν καὶ ἦθος ἔστιν εὑρεῖν τέλος τὶ, εἰς ὃ ἕκαστον ἀφορῶν, κινεῖται· οὐδὲν γὰρ τῶν ἁπάντων οὔθ᾽ ἡ φύσις δεδημιούργηκεν, οὔθ᾽ ὁ ἄνθρωπος ἐξεργάζεται ἄσκοπον· οὕτω καὶ τῆς ἐλευθερίας αὐτῆς, ἣν αὐτὸς μάλα σεμνῶς περισοβεῖς διὰ τῆς ἀγορᾶς ὡς πλατὺ λαρυγγίζων, ἔστι τὶ τέλος εἰπεῖν τῷ μάλιστα ταύτης προσισχομένῳ. Ἴθι τοίνυν εἰπὲ ἡμῖν, ὦ γενναῖε, πρὸς τὶ ἀφορῶν, οὕτως ἀπόλυτον ἀπαιτεῖς τὸ ἐλεύθερον, ὥστ᾽ ἀγανακτῶν, ἀπαξιοῖς καὶ αὐτοῖς τοῖς ἄρχουσι πείθεσθαι; τὴν εὐδαιμονίαν φής· καλὸν μὲν τοὔνομα, ἀλλ᾽ ἀκαίρως εἰς κακὴν κακῶς εἰσιὸν κεφαλὴν, μᾶλλον ἔβλαψεν, ἢ ὠφέλησε· διὸ εἰ μέλλοιμέν τι κατορθώσειν, δεῖ πρῶτον σοῦ τὸν τύφον ἐκπνευματῶσαι· εἶθ᾽ οὕτως ἐπαγαγεῖν, εἴτι χρήσιμον εἴη πρὸς τὴν θεραπείαν· ἄλλως γὰρ μάτην ἂν πονοῦμεν. Ἑρμηνευτέον

τοίνυν ἡμῖν πρῶτον τὰ μεγαλώνυμα ταῦτα ὀνόματα, ὑφ' ὧν ὁ σὸς ἀσκὸς ἐμπεφύσηται, Εὐδαιμονίαν καὶ Μακαριότητα, τίποτ' ἀλλήλων διεννόχασι, καὶ οἷόν ποθ' ἑκάτερον τούτων τὸν ἄνθρωπον κρατοῦν ἀπεργάζεται· κἀκ τούτων ἡμῖν ἔσται σαφὲς τὸ ζητούμενον, εἴγ' ἐκ τῆς ὀρθῆς ἑρμηνείας τῶν ὀνομάτων ἡ τῶν πραγμάτων προκύπτει ἀλήθεια. Ἔστι τοίνυν εὐδαιμονία μὲν τὸ φυσικῶς τὰς ἐπιθυμίας ἐπαναπαύειν πειρᾶσθαι, τὸ ἠθικὸν τῷ φυσικῷ ὑποτάττοντας· ἐξ οὗ οὐδέποθ' ὁ εὐδαίμων λεγόμενος ἡσυχίαν ἄξει· ὅσῳ γὰρ ἂν μᾶλλον θεραπεύῃ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς πρὸς ἀνάπαυσιν, τοσούτῳ γ' εὑρήσει αὐτὸ ἑαυτῷ προσβάλλον σφοδρότερον, τῆς φύσεως αὐτῆς στασιαζούσης πρὸς ἑαυτὴν, καὶ κόρον τῶν ἐπιθυμιῶν ἀγνοούσης τὸ σύνολον. Κατὰ τοῦτο τοίνυν καλοῦμεν τοὺς πλησίους εὐδαίμονας, κακοδαίμονας ἄλλως ὄντας. Μακαριότης δ' αὖ ἐστὶ τὸ ἀνάπαλιν, τὸ φύσει ὑποττάτειν τῷ ἤθει· τούτων γὰρ ἀμφοῖν συναρμολογουμένων πρὸς ἄλληλα τοῦ μὲν ἄρχοντος καὶ προστάττοντος, τοῦ δὲ ὑπακούοντος καὶ ὑπηρετοῦντος, εὕροι τὶς ἂν, ὅσον δυνατὸν ἀνθρώπῳ τῶν ἑαυτοῦ πράξεων ἁρμονίαν ἡτιναοῦν, ἐν ᾗ ἡ ψυχὴ ἀναπαύεται, ὡς μηκέτι δυναμένης τῆς φύσεως πρὸς ἑαυτὴν στασιάζειν. Εἰ τοίνυν καὶ αὐτὸς ὄντως ἐλεύθερος ἐθέλεις εἶναι, κἀντεῦθεν εὐδαίμων μὲν οὒ, ὅς ἐστι καθ' ἡμᾶς κακοδαίμων· μακάριος δὲ, τοῦτο δὴ τὸ ἥμερον καὶ γλυκερὸν καὶ πρᾶγμα καὶ ὄνομα, καθάρισον πρῶτον σεαυτὸν τῶν παθῶν, τὰς ἐκ τῆς φύσεως ἐπιθυμίας τῷ ἐκ τῆς ἱερᾶς ἠθικῆς ἐκτριψάμενος σμήγματι· εἶθ' οὕτω πρόσιθι εἰς τὸν τῆς ἀληθοῦς ἐλευθερίας ναὸν, ἀπεχόμενος μὲν πάμπαν τῆς πρώτης ἐκείνης ἰδέας ὡς ἐπισφαλοῦς· ἐχόμενος δὲ ταύτης ἀπρὶξ ὡς μάλιστα ἀσφαλοῦς καὶ σωτηριώδους· Ἀλλ' ἐγὼ ἔοικα νόμον ἰατρῶν καλῶς ἔχοντα παραβαίνειν, τὸ μὴ δεῖν ἐπιχει-

ζύθου διεφθορότος ἀπόζων ὀξύγαρον; τί ταῦτα σμικροψύχως ἀνέχῃ, ἐξὸν ἐξαργυρωσάμενον πᾶσαν τὴν οὐσίαν, κατελθεῖν εἰς τὴν νῆσον τοῦ Αἰακοῦ, ἔνθ' αἱ Χάριτες, ἱστᾶσαι χορὸν, μέλπουσι τῶν γεγηρακότων τὰ μελήματα καὶ τοὺς ἔρωτας, Διονύσου μετὰ τῶν Βακχῶν τοῦ χοροῦ προεξάρχοντος; ἐπὶ γὰρ τοῦ ἡμετέρου λιμένος πολλῶν λέμβων καταγομένων καὶ ἀναγομένων καθ' ἑκάστην ἄλλοθεν ἄλλων, οὐδέν τις ἀκούει συχνότερον τῶν πωλούντων τὰ ὤνια, ἢ τὸ, οἶνος εὔωνος παρ' ἐμοὶ, τίς ὠνήσεται; οἶνος ἥδιστος παρ' ἐμοὶ, τίς μικρὸν κέρμα δοὺς, κερδήσει μείζω; οἶνος Σκοπελίτης, Τήνιος, Σάμιος, Κύπριος, Σαντορinαῖος, Κεῖος, Νάξιος, Σέρφιος, Σύριος, Θάσιος, ἀνθοσμίας, οὗτος δὴ ὁ παρ' Ὁμήρου γερούσιος· πλούσιον γὰρ τὸ δῶρον αὐτὸ παρ' ἡμῖν, καὶ ὁ Βάκχος μεγαλόδωρος φύσει. Ἀλλ' οὐδὲ οἱ ἔμποροι ἄγροικοι· οὐ γὰρ ἀμούσως, οὐδ' ἁπλῶς ἄνευ μέτρου, ἀλλὰ σὺν ᾠδῇ καὶ ῥυθμῷ τοὺς τοῦ θεοῦ ὀργιαστὰς ἐφέλκουσι πρὸς τὰ ἔργα, καὶ ἔσθ' οὕτω παρ' ἡμῖν καθ' ἑκάστην ἡμέραν τοῦτ' αὐτὸ θεοῦ τοῦ μελισταγοῦς κατὰ πάντα τὸν αἰγιαλὸν ἑορτὴ πανεφρόσυνος, τῶν μὲν ᾀδόντων τῶν δὲ ὀρχουμένων· ἐγὼ δέ σοι τούτων πάντων τὸν Τήνιον, Μονεμβασίαν καλούμενον, ὡς σοὶ ἄξιον προτετίμηκα· οὗτος γὰρ ῥαγδαιότερος καὶ παπαπὰξ τῇ κύλικι ἐμπεσὼν, ἥδιστόν τι ἀναδίδωσι πνεῦμα, καὶ ζωρότερον διακανάξας τὸν φάρυγγα, παραχρῆμα ἐς ἄκρους τοὺς ὄνυχας κατὰ τὸν Εὐριπίδειον Σάτυρον διεχώρησεν· ὥστε κἂν γέρων ᾖς, νέον σε ἐξυπαρχῆς ἐξεργάζεται, καὶ ὑφ' ἡδονῆς ποιεῖ χορεύειν τὸν κόρδακα· ὥσθ' οἱ μάλιστα τῷ πόματι τούτῳ καὶ τῷ δώρῳ χαίροντες τοῦ θεοῦ, ἔνθους ἐκ τούτου πολλάκις γενόμενοι, καὶ τὰ μυστήρια τελέσαντες βακχικώτερον, εἰς Ἀσκληπιάδας παραδόξως μετέβαλον, θύρσον ἀντὶ τοῦ διπλώματος παρὰ τοῦ θεοῦ τὸ τῆς τέχνης

διὰ τῆς σκολιᾶς καὶ πολυπλανήτου, πρὸς τὸ τέρμα σοὶ τρέχοντι, τὰ πράγματα γένοιντο. Ἔῤῥωσο.

Ἐπισκόπῳ. (233.)

Ἐν μὲν δουλείᾳ, κοινῇ δι' αἰώνων σχούσῃ συνέχειαν, οὐδὲν θαυμαστὸν συμφθαρῆναι τοῖς πολλοῖς καὶ τὸν κλῆρον· ὧν γὰρ ἅπαξ ἀφῃρέθη ἡ ἐλευθερία, τούτων οὐκέτ' ἦν μὴ συναφαιρεθῆναι καὶ τὸ ἥμισυ τοῦ νοὸς, ᾗ φησι τῶν ποιητῶν ὁ ἀκρότατος· νῦν δὲ κρεῖττόν τι τοῦ Θεοῦ περὶ ἡμῶν προνενοηκότος, καὶ τῆς ἐλευθερίας οὐρανόθεν ἡμῖν πρυτανευθείσης, βάρβαρα ἔτι φρονεῖν τοὺς τοῦ θεοῦ ὑπηρέτας, καὶ σκότου ἔργα ποιεῖν τοὺς λαμπτῆρας τῆς Ἐκκλησίας, τίς λόγος ταῦθ' αἱρεῖ; καὶ ὅπως ἂν ἐφαρμόζοιτο, οἷς ὑπέσχου; Εὐλογεῖν σε ἀλλ' οὐ καταρᾶσθαι τοῖς ἄλλοις ἥτε θεία χάρις, καὶ ἡ παρὰ πάντων ψῆφός σε προὐχειρίσατο. Συνάγειν τὸ συντετριμμένον, καὶ συνουλοῦν τὸ πεπονημένον· ἀλλ' οὐ συντρίβειν καὶ τὸ ὑγιαῖνον, καὶ ταῦθ' ἐν τῷ θυσιαστηρίῳ, μυρίων παρόντων καὶ συλλειτουργούντων ἀγγέλων, ἱερέα συλλειτουργόν· οὐ χάριτι μὲν οὐδὲν διενήνοχας· τάξει δὲ τὸ πρῶτος εἶναι καὶ τοῖς ἄλλοις εἴληχας ἐπιτάττειν. Ἐγὼ δ' οὖν ταῦθ' ὅταν ἐπιβάλω τῇ διανοίᾳ, κατανοήσω δὲ καὶ τὴν ἡμῖν πρὸς ἀλλήλους ἐνυπάρχουσαν οἰκειότητα, αἰσχύνομαι ἐξιστάμενος ὅλως, ὅπως βαρεῖα χεὶρ καὶ καθῃμαγμένη, ἀπετόλμησε προσενεγκεῖν τὴν ἀναίμικτον καὶ ἀμόλυντον θυσίαν ἐξῆς θεῷ τῷ ὑπὲρ ἡμῶν τὸ ἑαυτοῦ ζωοποιὸν αἷμα ἐπὶ τοῦ σταυροῦ ἐκκενώσαντος· οὗ τῆς πρᾳότητος καὶ ἐπιεικείας οἱ Ἐπίσκοποι πρώτως καὶ μάλιστα μιμηταὶ γενέσθαι ὀφείλουσιν, ἵν' οὕτως ἐν τάξει καὶ τοῖς ἄλλοις παράδειγμα τῆς κατὰ Χριστὸν Ἰησοῦν γένωνται πολιτείας. Οἶσθ' οὖν, ὃ δράσεις, ἵνα κἀμοὶ τὰ εἰκότα χαρίσῃ; μεταπεμψάμενος τὸν ἐξυβρισθέντα, ἀνα-

διακεῖσθαι. Τούτων δ' οὕτως ἐχόντων, συνελθὼν ποτὲ, καὶ συνεὶς, εἰς οἷον ἐμπέπτωκα ἀγνοίας βυθὸν, τίποτ', ἔφην πρὸς ἐμαυτὸν,

• Θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις,

τὸ δὴ Σοφόκλειον, καί τοι συνεωρακὼς ἐξ ἀρχῆς τὰ ἀνθρώπινα, ἄλλως ἄλλο τε, ὥσπερ κύβοι, ἐν παντοίαις μορφαῖς μεταπίπτοντα; ταῦτ' εἰπὼν, μετεβαλλόμην εὐθὺς ἀναπνεύσας· καὶ ἥτις ἦν μοι πρότερον ἐλπὶς περὶ τῶν κοινῶν, καὶ ταύτην ἀναλαβὼν ἐξ ἀρχῆς ἔς γε τὸ ὀρθὸν καὶ τὰ ἡμέτερά ποτε καταστήσεσθαι, μόλις οὕτως εὐθυμότερος ἐμαυτοῦ ἐγενόμην, καὶ πρὸς τὸ γράφειν ταῦτα, ἃ πρότερον ἄλλως ἀνεκοπτόμην, ἐξώρμηκα. Ἀξιῶ τοίνυν καὶ κομίσασθαί τι παρὰ σοῦ, τοῦτ' αὐτὸ δηλοῦντος, ὅπως ἔχεις, καὶ ἐν οἷς διατρίβεις· φιλεῖ γὰρ ἄμφω τά τε πράγματα καὶ τὰ γράμματα, ἀμοιβαίαις ἀρδευόμενα ἐνεργείαις, συντονώτερον τὴν πρὸς ἀλλήλους συνδεῖν οἰκειότητα· καὶ γένοιτό μοι, ἦρος φανέντος, τά τε Θέρμια ἰδεῖν, ἐν οἷς διατρίβεις, καὶ τὴν Κείω αὐτὴν τὴν τεκοῦσαν καὶ θρέψασαν τὸν φίλτατόν μοι Σερούϊον. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (235.)

Ἃ μὲν οὔπω πάνυ πρῴην ἐπέσειλά σοι, οὐδὲν ἀλλ' ἢ τοῦτ' αὐτὸ ἦν δηλῶσαί σοι, ὅτι φιλῶ σε καὶ τιμῶ ἐν τοῖς μάλιστα, ἀξιῶν ἅμα καὶ αὐτόν σε οὕτω πρός με διατεθῆναι, οἵως ἐγὼ πρὸς σέ· νῦν δ' οὖν ἕτερόν τι οὐκ οἶδ' ὅπως ἐπῆλθέ μοι φιλικώτερον πάντως, ἢ περιεργότερον μαθεῖν παρὰ σοῦ, τίποτε παθὼν περὶ τὸ σεαυτοῦ ἐκαινοτόμησας ὄνομα, παραμορφώσας τὸ μεμορφωμένον Σέρβιος εἰς τὸ Σερούϊος τὰ ἀξύμφυλον, ἀντὶ τοῦ Ἑλληνικοῦ καὶ ἀῤῥενωποῦ χαρακτῆρος τὸν θηλύτερον Ἰταλικὸν προελόμενος οὐ καλῶς; ὁ γὰρ Ἑλληνικὸς,

τινὲς τὸ Βέσβυον οὐ μόνον Βεζούβιον καὶ Οὐεσούϊον ἔγραψαν, ἀλλ' ἐπιπλέον χωρήσαντες παραλλαγῆς, Οὐέσύβιον προσηγόρευσαν· τὸ δὲ ἐκ πολλῶν αἰώνων παρὰ πάντων ἀναλελυμένως ἐπικρατῆσαν προφέρεσθαι, Λουσρία, ὡς δῆθεν καλῶς ποιήσαντες, εἰς τὸ Αὐσρίαν ἐξένωσαν παλινάγρετον, οὐ παλιναγρέπους καὶ παλιμβούλους τὰς ἑαυτῶν φρένας ἔχοντες· οὐ γὰρ ἂν οἱ αὐτοὶ τὰ αὐτὰ ἐν τῷ αὐτῷ ἀντικαθίσασαν χρόνῳ, τὸ Αὐγοῦσαν Λουγοῦσαν (τυχὸν δὲ καὶ τὸν Αὔγουσον Λούγουσον) πρόϊέμενοι· ταῦτα γὰρ πάντα ἄλογα, καὶ ἄτοπα προσπίπτει τῇ τε ὄψει καὶ τῇ ἀκοῇ, ὡς μὴ προσιεμένης τῆς γλώσσης φθόγγον ἀλλόκοτον· καὶ τοῦτ' οὐ μόνον ἐπὶ τῶν ξένων, ἀλλὰ κἀπὶ τῶν οἰκείων ἀποστρέφεται τὸ κακόμουσον· αὐτίκα γὰρ ὁ Κοραῆς (ῥητέον γὰρ καὶ τοῦτο) καί τοι περὶ εὐφωνίας τῶν ὀνομάτων τὸν λόγον ποιούμενος, ἔλαθεν, οἷς γράφει, τἀναντία ποιήσας· καίτοι γὰρ εἰδὼς, ὅτι ἐκ δύο τελείων ὀνομάτων λέξιν συντίθεσθαι ἄνευ μεταβολῆς τινος κατὰ τὴν ἐσχάτην ἤτοι, περὶ τὸ γένος, ἢ περὶ τὴν προσῳδίαν ὁτιοῦν, πλὴν ὀλίγων βραχυσυλλάβων, ἐστὶν ἀναφρόδιτον· ἀλλ' οὖν αὐτός τε ἔγραψε, καὶ ἄλλοις παρῄνεσε μεταφράζειν τὸ παρὰ τοῖς ἐμπόροις μάλιστα προφερόμενον Βαλάνσον εἰς τὸ ἰσολογισμὸς, Γερμανικὴν ἀηδῶς εἰς τὸν Ἕλληνα λόγον εἰσαγαγὼν ὀνομάτων τελείων συνάφειαν· ἔδει γὰρ εἰπεῖν (εἰ ἐξῆν καὶ τοῦτο) κατά τινα κανόνα, Ἰσολόγισμον· ἢ ἄμεινον, Ἀντιλογισμὸς (ἐφεῖται γὰρ ταῖς Προθέσεσι μόνοις) ἢ ἰσοζύγιον, ἢ ἰσόῤῥεπὲς ἢ ἰσόῤῥοπον· εἴτις γὰρ ὑπεροχή ἐστιν ἐν τῇ ἡμετέρᾳ πρὸς τὰς τῶν ξένων γλώσσας, τοῦτ' ἐκ τῆς κατὰ τὴν συνθήκην τῶν ὀνομάτων ποικιλότητος ἐν τῷ παραλλάττειν πολλῷ τὸ συντεθὲν τῶν, ἐξ ὧν τυγχάνει συγκείμενον, εἴληχε μάλιστα· οἷον, πολλὰ λέγω, πολυλογῶ· μεῖον ἔχω, μειονεκτῶ· ἴση ῥοπὴ, ἰσόῤῥοπὲς, ἀντίῤῥοπον· ἴσος ζυγὸς, ἰσοζύγιον· οὕτω

καίων στερούμενοι βίβλων, οὐδ' ἡ ἐν λόγοις αὐτῶν ἐπίδοσις ὁμοίως ἔσται βραδίπους, εἰ μόνον ἐπίστανται πονεῖν. Ἔῤῥωσο.

Τῷ *Κωνσταντᾷ*. (237.)

Ἡμέραν ἀπόκρεων ἄγομεν σήμερον, καὶ ὁ παῖς ἡμῖν κρέας οὐκ ἠδυνήθη ὠνήσασθαι, τὸ ἐν τῷ μακελλείῳ πωλούμενον, ἄλλου ἄλλοθεν οὐκ ἄνευ πληγῶν συχνῶν ἑλκόντων καὶ ἀνθελκόντων· εἴτις γὰρ κατὰ ταύτην τὴν ἡμέραν μὴ γεύσαιτο κρέατος, θρησκευτικὸν τοῦθ' ἁμάρτημα ἄντικρυς ὁ πολὺς λογίζεται ἄνθρωπος· ὁ σὸς τοίνυν Στέφανος θερμουργότερός τι, ἢ κατὰ τὸν ἐμὸν παῖδα ἔοικεν εἶναι, ὥστε καὶ πρὸς ὀργὴν ἀντισπᾶν τοὺς ἀνθέλκοντας, καὶ δεῖξαι τοῖς γυμνόπουσιν Αἰγινήταις, ὅτι πάταλοι πατάλοις ἐκκρούονται· ἵν' οὖν μὴ δόξωμεν καὶ ἡμεῖς συναμαρτάνειν τῷ ὄχλῳ, ἐν μόνοις πεμματίοις τὴν σεπτὴν τήνδε τῶν ἡμερῶν παραπέμποντες, ὠνείσθω χ' ἡμῖν ὁτιοῦν, ὅσον ἀποκλῖναι τὸν τῆς συνειδήσεως ἔλεγχον· τοῦτο δ' οὕτω γενόμενον οὐδὲ σοίγε τῷ συντελέσαντι ἀβράβευτον παρὰ τῷ θεῷ ἐν ἡμέρᾳ κρίσεως ἀποκείσεται. Ἔῤῥωσο.

Ἰωάννῃ. (238.)

Καὶ πρῴην σοὶ γέγραφα, καὶ τοῦ λοιποῦ, ὥσπερ καὶ νῦν, οὐκ ἄν σου ἐπιλαθοίμην· παρὰ σοῦ δὲ, ὥσπερ οὐδὲ παρὰ τῶν ἄλλων ἐκομισάμην οὐδέν· ἀπροσδόκητον μὲν ἔμοιγε τοῦτο, αἰσχρὸν δ' ἴσως ὑμῖν, παρ' ὧν πολλαπλάσια λόγῳ σχέσεως ἤλπιζον λήψεσθαι γράμματα· ὁ γὰρ λόγος μᾶλλον τοὺς μαθητὰς ὑπαγορεύει θεραπεύειν τοὺς διδασκάλους, ἢ διδάσκαλον μαθητάς· εἶεν. Τὰ δ' οὖν καθ' ἡμᾶς ἄλως νῦν ἔχει, ἢ πρῴην γέγραφα· οἱ γὰρ μαθηταὶ τοῦ σχολείου, ἄνδρες ὡσεὶ

ἓν ἐκείνων ἠξίωσας ἀπαντῆσαι; γένοιτο γὰρ καὶ τοῦτο εἴ γε φιλότιμον ζῶον μάλισθ' ὁ ἄνθρωπος ὢν, παντοίως ἐθέλει τιμᾶσθαι· εἰδ' ἀποτύχοι πη τούτου, κἂν πρόληψις· ἢ ἀλλ' οἴεται, ὑφ' ὧν ἥκιστ' ἔδει, περιφρονεῖσθαι· καὶ τοσούτῳ νῦν μᾶλλον, ὅσῳ ἡμεῖς γ' ἐν Ἀττικῇ φωνῇ τὸ πλεῖστον εἰώθαμεν ἐπιστέλλειν τοῖς φίλοις, τοῦτό γε ἀπαιτοῦσιν. Εἰ οὖν τοῦτό σοι τοσαύτης σιωπῆς ἐγένετο αἴτιον, ἀδικεῖς ὁ μαθητὴς τὸν διδάσκαλον, εἰς τοιαύτην ἐμπεπτωκὼς περὶ ἡμῶν ὑποψίαν, ὡς καταφρονούντων, οὓς μάλιστα παρὰ πάντας διατελοῦμεν φιλοῦντες καὶ τὰ βέλτιστα συνευχόμενοι· εἰ γὰρ οἶσθ' ἀκριβῶς ἐν οἵοις ἦν τὰ ἡμέτερα, ἡνίκ' ἐκεῖνα ἔγραφον, οὐκ ἂν ταὐτοσχέδια ταῦτα περιφρονήσεώς σοι παρέσχεν ὑπόνοιαν, ἢ λύπην καὶ ἔλεος μάλισθ' ὑπὲρ ἡμῶν, ὡς ἀπὸ τῶν μεγίστων ἐλπίδων, δι' ἃς τοσούτους ἀνεδεξάμεθα πόνους, οἱονεὶ καταράσσοντι ῥεύματι, ἢ πνεύματι ῥαγδαίως ἐμπεσόντι ἀπροσδοκήτοις συγκατασπωμένων, καὶ συνανατρεπομένων τῶν καθ' ἡμᾶς καλῶν ἀποκτανθέντι τῷ Κυβερνήτῃ. Ἀλλὰ νῦν γε τάχ' ἂν ἡμῖν ἀνεκτότερα ἔσοιτο, ὅσον οὔπω· ἐλπίζω γὰρ λήψεσθαι τὸ τυπογραφεῖον· οὗ μοι μάλιστα μέλει· τὰ δ' ἄλλα, καί τοι λυπεῖ με λίαν· ἀλλ' ἔγνων (τί γὰρ ἂν καὶ πάθοι τις, τῶν πάντων κατά γε τὸ μᾶλλον καὶ ἧττον πάθεσι δουλευόντων,) ἀδιαφόρως ὁρᾶν πόῤῥωθεν τὰ γιγνόμενα, καὶ οὐκ ἄλλως ἢ οὕτως, ὡς γίγνεται, κατ' Ἐπίκτητον· ἐῶ γὰρ τὸ στρατιωτικὸν, ὅπως διεστηκὸς ἐφ' ἑαυτὸ ἐκ στάσεως τῶν φιλάρχων τε καὶ σπουδάρχων, μάχονται ἀλλήλοις, ὡς τὰ θηρία· ἀλλ' ἔτι καὶ τῶν μαθητῶν ἐνταῦθα στασιασάντων πρὸς τὰς ἀρχὰς παραβόλως, κατηργήσθη τὸ ἀνώτερον τῶν σχολείων· καὶ νῦν οὐκ οἶδ' ὅτι ποτ' ἐκ τούτου γενήσεται, τῶν πρότερον διδασκάλων παραλυθέντων· τῶν δ' ἀξιούντων διαδόχων γενέσθαι οὐ δοκούντων ἱκανῶν, οὔτε λόγῳ, οὔτε ἤθει

τῆς ἡμέρας φῶς ἐποίησεν ἀποστρέφεσθαι· διὸ καὶ ἐγνώκειν λανθάνων βιῶναι τὸ πλεῖστον. Νῦν δ᾿ οὖν κατελθούσης τῆς τῶν πραγμάτων διαδοχῆς ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ ἐς τὸν ἀδελφὸν ἀνεσωσάμην αὖ τὴν ἐλπίδα, χάριν παρ᾿ αὐτοῦ ἀνευράμενος τὸ τυπογραφεῖον· ἐφ᾿ ᾧ καί σοι ὡς συνεργῷ χάριν οἶδα· ἵν᾿ οὖν καὶ πλέον τὶ ἐντεῦθεν γένηται τῷ κοινῷ, δεῖ μοι τῆς σῆς φιλίας καὶ ἀρωγῆς πρὸς ὁτιοῦν τοὐμὸν ἐπάγγελμα ἔξωθεν ἀπαιτεῖ πρὸς βελτίωσιν τῶν κοινῶν· οἶσθα γὰρ ἀκηκοώς, ἃ ἐκδοῦναι παρεσκεύασμαι αὖθις, ὡς καὶ πολλὰ καὶ ἀξιόχρεα πάντως ἐξᾶραι τὰ δυνατὰ τὴν νεολαίαν πρὸς τὰς ἐπιςήμας. Ἀλλὰ μέχρις ἂν μοι προχωρήσῃ ὁρμηθῆναι ἀπὸ πλείονος παρασκευῆς ἐκ τῆς Ἰταλίας, ἵνα μή μοι ῥέῃ ὁ χρόνος εἰκῇ μεταξὺ, ἔγνων ὠνήσασθαι ἐνταῦθα τοῦ χάρτου, ὅσον ἱκανὸς πρός γε μίαν τῶν βίβλων· πρὸς τοῦτ᾿ οὖν πέπομφα Ἀναστάσιον τὸν Φιλέταιρον τῶν ποτέ μοι μαθητῶν καὶ φίλτατον καὶ πιστότατον· ὃν συνιστὰς τῇ σῇ καλοκἀγαθίᾳ, δέομαι προσίεσθαι προσηνῶς, καὶ πρὸς ὃ ἀφῖκται, διδάξαι τὸν τρόπον ἐπικερδέστερον· Ἔῤῥωσο.

### *Ἀνδρέᾳ.* (241.)

Παρὰ μὲν τοῦ Κόμητος καὶ Προέδρου τὸ εὐεργέτημα κρεῖττον, ἢ ὥστε χάριν ἐκείνῳ ὁμολογεῖν, μὴ ἐξικνουμένου τοῦ λόγου χήτει φωνῶν πρὸς τὰ πράγματα· ἀλλ᾿ οὐχ ἧττον καὶ πρὸς σέ μοι ὡς συντετελεκότι τὶ προσοφείλεται· οὐκοῦν ἰτέον, ἐφ᾿ ἃ ἐσμὲν παρεσκευασμένοι· ἀλλ᾿ ἵνα μὴ μάτην μεταξὺ ὁ χρόνος, μέχρις ἂν ἀπὸ πλείονος ὕλης ὁρμηθῶμεν ἐξ Ἰταλίας, καταναλίσκηται, πέπομφα Ἀναστάσιον τὸν Φιλέταιρον, ἐμὸν ἀρχαῖον ὁμιλητὴν, κἂν πολλοῖς πιστόν μοι γεγενημένον, ὠνησόμενον χαρτίον, ἢ δανεισόμενον ἄλλως

ἔνθα δὲ, τῇ τῆς Ἑλλάδος εἰκόνι, ἐν εἴδει γυναικὸς ὀλοφυρομένης ἐπὶ τοῦ τάφου ἐκείνου· καὶ ταῦτα διαχωρεῖν ἐν τοῖς συμβολαίοις. Οὕτως ἡ φίλη Ἑλλὰς οἶδε τὴν ἀρετὴν ἀνταμείβειν. Τοὺς δ' αὖ φονέας καὶ κοινῇ πᾶσα, καὶ κατὰ πόλεις ἰδίᾳ παρέδωκεν εἰς ἀνάθεμα, αὐτούς τε καὶ τοὺς ἐξ αὐτῶν ἀπὸ δεκαπενταετοῦς καὶ ἀνωτέρω, πλὴν τῶν ἐν τῷ πολέμῳ προαπολωλότων ὑπὲρ τῆς πατρίδος. Ταῦτ' οὖν τά τε γέρα καὶ τὰ ἐπιτίμια οἶδ' ὅτι πολλοὶ, ὀμφακίαι τινὲς καὶ αὐθέκαστοι, ἀηδίας φήσουσιν ἴσως ἀπόζειν, ὡς δῆθεν δι' ὑπερβολήν· τοιαῦτα γὰρ ὁ φθόνος φλεγμαίνων, ἐρυγκάνειν ἐκείνους βιάζεται· ὃς μέγιστος ὢν ἀνταγωνιστὴς τῶν καλῶν, πάντα λίθον κινεῖ ἀνατρέψαι τοὺς δι' ἀρετὴν τιμουμένους. Τέως δ' οὖν καὶ εἰ δοῖμεν τοῖς δυστρόποις τούτοις κριταῖς ἀμφότερα ταῦτα καθ' ὑπερβολὴν τοῖς Ἀντιπροσώποις πεπρᾶχθαι, ἀλλ' εὐγνωμονέστερον ἂν εἴη τῇ πατρίδι τοῦτο δοκεῖν παθεῖν, ἢ γλίσχρον τι φειδοῖ πεπραχέναι περὶ τὸν εὐεργέτην· δυσκαταμαθήτου γὰρ τῆς τῶν πραγμάτων ἀκμῆς τυγχάνειν ὄντος, ἄμεινον ἔν γε τοῖς τοιούτοις ὑπερβάλλειν γε, ἢ ἐλλείπειν. Ἔρρωσο.

## *Τῷ αὐτῷ* (243.)

Ἰδού σοι καὶ ἕτερον, καινοφανὲς καὶ τοῦτ' ἀπὸ τοῦ ἡμετέρου ὁρίζοντος, καὶ ὅμοιόν γ', οἷς οὔπω πάνυ πρῴην σοι γέγραφα· πέρυσι γὰρ διάλογός τις ἐκ Παρισίων ἐλθὼν, ἐπιγραφὴν μὲν ἔχων, Πανταζίδου· τὸ δ' ἀληθὲς τοῦ Κόρακος ὢν κακὸν ᾠόν· τοῦτο δὴ τὸ βιβλίον ἐλθὸν, πολὺ διερέθισε τὴν τῶν κακοβούλων θρασύτητα, τὸ τοῦ Ζαχαρίου δρέπανον φέρον ἐπὶ τὸν ἀγαθὸν Κυβερνήτην διηκονημένον· ὃ καὶ πλεῖστον εἰς τὴν ἐκείνου ἀναίρεσιν συνετέλεσε· πρὸς τί δὲ τὸ δράμα τοῦτο τῷ σοφῷ ἐκείνῳ πρεσβύτῃ τετόλμηται, ἔγωγε μὲν οὐκ οἶδα· δοκεῖ-

τὸ παράδειγμα· ὃς γὰρ γέρας τὶ ἤλπιζεν; ἐφ' οἷς ἐπόνησε, λήψεσθαι, οὗτος νῦν δημοσίᾳ παραδέδοται παρὰ πάντων τῷ ἀναθέματι· τὸ δὲ χεῖρον, ὅτι καὶ ὁ χρόνος ἐξῆς τὴν ἀρὰν αὐτῷ ἐπειδὰν νεκρωθῶσι τὰ πάθη, ἐπιμαρτυρήσει. Ἀλλ Ἵλεώς μοι εἴη θεὸς, μήδ' ἐξέλοι μου οὕτω τὰς φρένας. Ἔῤῥωσο.

*Ἰωάννῃ.* (244.)

Δυοῖν θάτερον, ἢ οὐ δόλως ἐκομίσω τὰ γράμματα τά τε τοῦ σαυτοῦ πατρὸς καὶ τἀμά· ἢ κομισάμενος, παρημέλησας ἀπαντῆσαι. Εἰ μὲν οὖν τοῦτο, οὐ καλῶς, οὐδὲ προσηκόντως ποιεῖς, οὕτως ἀπρονοήτως ἔχων τοῦ σαυτοῦ ἀδελφοῦ· εἰ δὲ ἐκεῖνο, νῦν γοῦν λαβὼν τὸ παιδίον, ἐλθὲ ὡς ἡμᾶς τὴν ταχίστην, ὅπως συσκεψάμενοι περὶ τῆς ἐλευθέρας ἀγωγῆς αὐτοῦ, γνῶμεν ὅ,τι ἂν ἡμῖν δόξῃ βέλτιον εἶναι· εἶθ' οὕτως ἐπανιὼν, εὑρήσεις τὴν Κόρινθον· εἰδ' ἄλλως χρεία τις καταναγκάζει σε μὴ ἀποστῆναι, ὧν ἀνὰ χεῖρας ἔχεις ἐξ ἐπαγγέλματος, τοῦτ' αὐτὸ γράψον μοι καὶ ἀρκεῖ· διαφέρει γάρ μοι πολὺ μαθεῖν, εἰ ἐκομίσω, ἅ σοι ὁ σὸς πατὴρ γέγραφε περὶ τοῦ παιδίου. Ἔῤῥωσο.

*Δημητρίῳ.* (245.)

Γεωργός τις ἀφορίαν δεδιὼς ἐς τὸ μέλλον, ἠθύμει, ὅτι πολλὰ καταβαλὼν σπέρματα ταῖς ἀρούραις, οὐδὲ τὰ ἡμίση δι' ἀνομβρίαν ἤλπιζεν ἀπολήψεσθαι· ὡς δὲ, πολλῶν ἐν ἦρι ὑετῶν ἐπιγενομένων, ἀπέδωκαν ἐν ἀμητῷ ἐκεῖνα τὸ ἓν τεσσαράκοντα, μεταμεμέληται, ὅτι μὴ καὶ ἄλλα προσκατέβαλε πολλαπλάσια. Μὴ οὖν ἀθύμει καὶ αὐτὸς, ὅτι σοι πολλὰ δαπανᾶται εἰς τὴν τοῦ παιδὸς ἀγωγὴν καὶ παιδείαν· ἔσται γὰρ ὅτε δρέψῃ παρ' αὐτοῦ δράγματα ἀεὶ ζωοτροφίας· ὁ γὰρ ἐπ' εὐλογίαις, ὡς φησιν ὁ Ἀπόστολος, σπείρων ἐπ' εὐλογίαις καὶ θερίσει. Ζῴη δέ μοι μόνον ὁ παῖς, κἀγὼ αὐτῷ· ἐγὼ μὲν πρὸς

*Ἀνδρέᾳ.* (248.)

Νενίκηκεν ἄρα ἡ τῆς Ἑλλάδος τύχη, ἀπονεκρωθέντος ἤδη τοῦ φθόνου, καὶ Νεμέσεως βέλος μηκέτι βάλοι. Ταῦτ' εἶπον κατ' ἐμαυτὸν, ὅτ' ἔμαθον καὶ πρώην μὲν τὸν σεβαστὸν Πρόεδρον τὸν ἀείμνηστον διαδεξάμενον ἀδελφὸν, ὡς τὰ αὐτὰ ἐκείνῳ τῇ πατρίδι συμφέροντα καὶ προαιρούμενον καὶ δυνάμενον πράττειν· καὶ νῦν αὖθις τὸν ἐν τοῖς μάλιστα συμπάρεδρον ἐκείνῳ γενόμενον ἐν τοῖς πράγμασιν· ἐντεῦθεν γὰρ προσκτησάμενος καὶ τὴν δύναμιν τῇ βουλήσει, ἐκπέμψει τὰς εὐεργεσίας πανταχοῦ εἰς τοὺς Ἕλληνας, ὡς ἀπὸ τοῦ κέντρου πρὸς πᾶσαν τὴν περιφέρειαν. Συγχαίρω μὲν τοίνυν τοῖς Ἕλλησιν ὡς εὑροῦσι τῶν ἐλπίδων τὸν ἄξιον· συγχαίρω δὲ καί σοι αὐτῷ, ὡς καταλαβόντι ὅρον, ἀφ' οὗ ἐπιθήσεις τῶν ἐλπιζομένων ἐκείνοις τὴν πρᾶξιν πρὸς τὸ κοινῇ συνοῖσον· οὗ ὅ,τε φυσικὸς νόμος καὶ ὁ ἠθικὸς ὑπαγορεύει τοὺς ἀρετῇ συζῶντας κατασοχάζεσθαι. Ἀλλ' εἴης μοι ὑγιαίνων, ἐπιβαίνων ἀεὶ ἀσπίδος καὶ δράκοντος.

*Τῷ γραμματεῖ.* (249.)

Διττόν τι χρέος σύνοιδα ἐμαυτῷ ἅψασθαι τῆς γραφίδος, ἡνίκα ἀκήκοά σε προβιβασθῆναι εἰς τὸ τῆς γραμματείας ταύτης ἀξίωμα· ὅ,τε γὰρ τῆς φιλίας νόμος ὑπαγορεύει με συγχαρῆναι, ἐφ' οἷς προὐχειρίσθης ἀξίως τῶν, οὓς προὐπέστης, ἀγώνων ὑπὲρ τῆς κοινῆς βελτιώσεως· καὶ τοὐπάγγελμα τοὐμὸν, ὑπὸ σοὶ προστάτῃ ὑπὸ τοῦ νόμου κατατάττόμενον. Συγχαίρω σοι τοίνυν ἐπὶ τῷ ἀξιώματι συνευχόμενος ἅμα καὶ βελτίω καὶ μείζω, ἵν' ἔχῃς καὶ πλείω ἐκτελεῖν ἐπ' εὐεργεσίᾳ τῆς νεολαίας· ἧς μέγιςος ἀγὼν νῦν τοῖς τῶν καλῶν κατεχομένοις τῷ ἔρωτι πρόκειται· διὸ καὶ ἀξιῶ μνείαν κἀμοῦ ποιεῖσ-

συχίας, περὶ ἃ τὸ περιὸν αὐτῷ τῆς φρονήσεως καὶ συνέσεως ὑπηγόρευε, πολλαχῶς ἀντιπερισπῶντες ταῖς σκευωρίαις· ὡς δὲ καὶ ταύτας ἤμελλε τελευτῶν καταπαύσειν αὐτίκα μάλα, τοῦτο προϊδόντες οἱ συνωμόται, ἀπετόλμησαν τόλμημα παραβολώτερον πάντων καὶ ἀνοσιώτατον, τὸν ἑαυτῶν πατέρα καὶ σωτῆρα δόλῳ φονεύσαντες. Ἐκ δὴ τούτου, ἵνα μὴ καὶ χεῖρόν τι γένηται, ὡς ἐν ἀναρχίᾳ, ἐπειδὴ ψήφῳ τῆς Γερουσίας ἐνεχείρησε τὴν τῶν πραγμάτων διοίκησιν Αὐγουστῖνος ὁ ἐκείνου ἀδελφὸς μέχρις ἂν χειροτονηθῇ ἡμῖν παρὰ τῶν συμμάχων Ἡγεμὼν, ἀφηνιάσαντες αὖθις οὗτοί τε αὐτοὶ, καὶ τοὺς ἄλλους τοὺς ἔξω τοῦ Ἰσθμοῦ ἐρεθίσαντες, ὡς ἐπὶ αὐθαίρετον τύραννον, εἰσέβαλον πολλῇ χειρὶ διὰ τῶν Γερανίων εἰς τὸν Ἰσθμὸν τῆς Κορίνθου: κἀντεῦθεν εἰς Ἄργος· ὅπου ἀθετήσαντες τὰ ὑπὸ τοῦ κοινοῦ συλλόγου πεπραγμένα αὐτόθι, συγκαλοῦσι νῦν τοὺς ἀπὸ τῶν πόλεων παραστάτας, σκεψομένους ἐξ ὑπαρχῆς περὶ τῶν πρακτέων· ὁ δὲ Αὐγουστῖνος, ὑπεξελθὼν νυκτὸς, κατέφυγεν εἰς πλοῖόν τι Ῥωσσικόν. Ἐν τούτῳ τοίνυν τὰ πράγμαθ' ἡμῖν ταλαντεύεται ἤδη, ἐν ᾧ καὶ Ἡγεμὼν ἡμῖν ἡ φήμη τὸν τοῦ Βασιλέως τῆς Βαυαρίας δευτερότοκον διεσάλπισεν· οὗ καὶ ἐπίτροπον ἤδη περιμένομεν ἄσμενοι· ἄλλως γὰρ οὐκ ἂν ἀπαλλαγείημεν τῶν παρόντων δεινῶν. Ἀλλ' ὅ,τι γε ἀποβήσεται ἐπὶ τούτοις, οὐκ ἂν ἀποκνήσαιμι καί σοι τοῦτο μηνῦσαι. τῶν γὰρ ἐμῶν παιδικῶν τοῦτο μόνον ἐνεργόν μοι μεμένηκεν, δαίμονός τινος δυσμενοῦς ἀφελόντος τὰ ἄλλα. Ἔῤῥωσο.

*Ἀλεξάνδρῳ.* (251.)

Οὐ παντὸς, ἡ παροιμία φησὶ πλεῖν εἰς Κόρινθον, οὐδέ γε σὸν ἱστορίαν συγγράψαι, καὶ ταῦτ' ἀνδρὸς τοιούτου, οὗ ὁ βίος ἅπας ἐστὶ μεστὸς θεωρίας καὶ πράξεως, καὶ ᾧ σύμπας ὁ χορὸς

ἀνθρώπων, πολλῷ μᾶλλον ἡ γραφὶς τὴν τοῦ γράψαντος δημοσιεύει διάθεσιν· καὶ ταῦτ' ἐπειδὰν οὐκ ἀλήθεια, οὐ ζῆλος, οὐδ' ἄλλοτι τῶν ἐπιεικεστέρων εἰς τοῦτον προκαλῆταί σε τὸν ἀγῶνα. Ἔῤῥωσο.

Μανουήλῳ. (252.)

Ανεγνώσθη δήμοι καὶ ὁ δημοσίᾳ ὑπὸ τῶν ἐν Ἄργει συλλεγέντων πυρποληθεὶς διάλογος τοῦ σοφοῦ Κοραῆ· ἐν ᾧ ἀσυνειδήτως καὶ βαρβαρικῶς καθάπτεται τοῦ ἀγαθοῦ Κυβερνήτου, τὸ τῶν Χίων ἐκεῖνο περιαδόμενον, Ἤθελές τα καὶ παθές τα, εὐθὺς ἐξεμέσας ἐν προοιμίοις κατὰ τοῦ Μάρτυρος τῆς πατρίδος· ὑποκρίνεται μὲν γεγραφέναι, περιόντος ἐκείνου· τὸ δ' ἀληθές ἐστιν, ὅτι ἀποθανόντος· οὐ γὰρ ἐς τοσοῦτον ἀναισχύντως ἀπετόλμησεν ἐπεμβῆναι ἀνδρί· οὗ τὴν ἀρετὴν καὶ πολέμιος οἶδε θαυμάζειν· οὐδ' ἂν τοσαύτας καὶ τοιαύτας συκοφαντίας ἐκ περιούσης μοχθηρίας περιῆψε τῷ πᾶσαν ἀρετὴν ἀπότε τῆς πολιτικῆς καὶ ἠθικῆς ἀναλεξαμένῳ συλλήβδην ἐν ἑαυτῷ, ἐξαπατηθείς, ὡς ἔοικε, παρὰ τῶν ἐπιστελλόντων αὐτῷ, οὐχ ἃ ἐπράττετο παρ' ἐκείνου πρὸς βελτίωσιν τῶν κοινῶν· ἀλλ' ἃ ἐβούλοντο πράττειν αὐτὸν, ἵν' ἔχοιεν ὅ,τι καὶ λοιδοροῖεν, ἴδια κέρδη ἐπιδιώκοντες· ἃ εἴπερ ὁ σοφὸς γηραιὸς καταμάθῃ ποτὲ ψευδῆ εἶναι, ὥσπερ καὶ εἰσὶν, οὐκ ἂν οἶμαι, ἐπισχοίη ἑαυτὸν τοῦ μὴ καταπηδῆσαι ἐπὶ κεφαλὴν εἰς τὸν Σένναν, ἵνα μηκέτι βλέπῃ τὸ φῶς, ἐφ' οἷς τοσαῦτα κατεψεύσατο τεθνεῶτος ἀνδρὸς, ᾧ ἡ Ἑλλὰς ὀφείλει τὰ σῶστρα· τὸ δὲ θαυμαστότερον, ὅτι κἀκεῖνο λέληθε τὸ γερόντιον, εἴγε, ὃν νομίζει θρίαμβον τῆς δολοφονίας, οὗτος ἀνήκει μᾶλλον τοῖς ἐκ Φαναρίου, οὓς αὐτὸς παντοίως καταδιώκει· οὗτοι γὰρ εὑράμενοι τὸ παρ' αὐτοῦ ἱκανῶς ἠκονημένον Ζαχαριακὸν δρέπανον, καὶ χρησάμενοι κατεχρήσαντο, τὸν μὲν τῆς δικαιοσύνης καὶ ἰσότητος πρόμαχον ἀνελόντες, αὐτοὶ δ' ὡς ἄριστοι μη-

καὶ λόγῳ καὶ ἔργῳ τὰ πρῶτα φέρων ἐν τούτοις· τῷ μὲν ὡς ἐξ ἀρχῆς ἀξίως θεραπεύσας τὰς Μούσας· τῷ δὲ, ὡς καὶ ἐν συγγράμμασι τὸ πρὸς τὴν πατρίδα φιλογενὲς καὶ φιλόκαλον ἐπιδείξας· διὸ καὶ δικαίως ἂν ἀποδοῖμεν καὶ τοῦτο τῇ τοῦ θεοῦ ἀγαθότητι, ἐξ οὗ τὰ δωρήματα μάλιστα ταῖς πιστοῖς καταβαίνουσιν, ὡς κρεῖττόν τι περὶ ἡμῶν προβλεψαμένου. Ἐπὶ τούτοις οὖν καὶ μᾶλλόν τι πτερούμενον τοῖς ἐλπίσι, συγχαίρομεν τῇ πατρίδι συνευχόμενοι ἀεὶ τὰ βελτίω καὶ μείζω. Ὡς οὖν ἀγῶνός σοι προκεισομένου ἑξῆς ἀρετῆς, κἀμοῦ ἀδεκάστου κριτοῦ τῶν πραγμάτων διά τε ἡλικίαν καὶ ἀλήθειαν καθημένου, οὕτω δὴ παρέξεις μοι συνεχέστερον ἀληθεῖς ὑποθέσεις τῶν κατὰ σαυτοῦ ἐγκωμίων. Ἀλλ' ἴτε, ὦ ἄνδρες, ἐγκονεῖτε, ἀνύτετε σπουδαιότερον πρὸς τὰ πατρῷα καλὰ ἀξίως τῆς τῶν πραγμάτων μεταβολῆς, ἐπιτάττοντες χ' ἡμῖν καὶ γεγηρακόσι συνεισφέρειν ὅ,τι ποτ' ἂν δυνώμεθα· κρεῖττον γὰρ ἀποθανεῖν ἐνεργοὺς, κἂν τὸ ζῆν ἡμῖν παραβλάπτηται, ἤδη ἐξησθενηκόσιν, ἢ πειρᾶσθαι διαμηκύνειν τὸν βίον, μηδὲν πράττοντας τῶν κοινῇ συμφερόντων. Ἔρρωσο.

### Ἰγνατίῳ. (255.)

Χθὲς περὶ δείλην ὀψίαν παρασκευαζομένου μου ἐξιέναι ἐς περίπατον, κρούει τὶς τὴν θύραν, κἀμοῦ προκύψαντος τῆς θυρίδος μικρὸν, καὶ πυθομένου ὅ,τι ποτὲ βούλοιτο, ὁ Ἔκτακτος, φησὶ, τῶν διοικητῶν, ἥκει ἐπισκεψόμενός σε· ὡς δὲ προκύψας ἔτι μικρὸν, ὁρῶ ἐκεῖνον αὐτὸν σὺν πομπῇ ὡς ἐμὲ κατατείνοντα, σπεῖραν ὅλην ὡς πεντήκοντα στρατιωτῶν ἐπαγόμενον. Ἐκπηδήσας τοίνυν κατὰ τῆς κλίμακος, καὶ ἀνοίξας τὴν θύραν, ὑπεδεξάμην τὸν ἄνδρα εὐπροσηγόρως μοι προσφερόμενον· ὡς δὲ πολλὰ ἡμῖν περὶ πολλῶν ἐπιτηδείως

Μανουήλῳ. (257.)

Πέμπτη αὕτη, ἀφ' οὗ ἄκουσμα ἀκουσμάτων ἁπάντων χαλεπώτατον ταῖς ἐμαῖς προσέβαλεν ἀκοαῖς, ἀποβιῶναι τὸν ἐν ἀξιώμασιν μέγιστον, καὶ ἐν εὐγενείᾳ προὔχονθ' ἁπάντων τῶν ἐν Δακίᾳ Γρηγόριον Βραγκοβάνον. Ἤλγησα μὲν οὖν, ἀλλ' οὐκ ἐπ' αὐτῷ· ὃς πλήρης ἡμερῶν γενόμενος, ἐπεσφράγισε τελευταῖον τὴν ἑαυτοῦ ἀρετὴν τῷ θανάτῳ, ἅτε δὴ μηδὲν ἐν ὅλῳ τῷ βίῳ δόξας ἄτοπον πεπραχέναι, καὶ ταῦτ' ἐν Δακίᾳ, ἔνθ' ἡ ἀσωτεία καὶ πλεονεξία μάλιστα δοκοῦσι τὴν ἕδραν ἔχειν· ἀλλ' ἐπὶ τοῖς ὑπολειπομένοις, καὶ τούτων οὐχὶ τοῖς ζῶσι τῶν συγγενῶν· καὶ γὰρ καὶ οὗτοι, ὥσπερ καὶ μέχρι δεῦρο, οὕτω καὶ τοῦ λοιποῦ ἔσονται παρὰ πᾶσι μακαριστοὶ καὶ εὐδαίμονες· ἀλλ' ἐπ' αὐτῇ τῇ πατρίδι· ἣ περιόντος ἐκείνου, ἦν ὁπωσοῦν ὡς ὑπό τινι σκιᾷ αἰδοῦς καὶ σεμνότητος, καθάπερ ἡ Ἑλλὰς, περιόντος τοῦ ἀγαθοῦ Κυβερνήτου· νῦν δὲ, ἀρθέντος αὐτῇ τοῦ σεμνώματος, γέγονεν ὅλως λεία Μυσῶν, ἁρπαγὴ πλεονέκταις· Ἀλλὰ μὴ γένοιθ' ὑμῖν παθεῖν τὸ αὐτό· μέλει μοι μὲν γὰρ περὶ τῆς Ἑλλάδος, ὑπὲρ ἧς πολλὰ τυγχάνω πεπονηκὼς, ὡς μητρὸς καὶ τροφοῦ· μέλει δέ μοι καὶ περὶ τῆς Δακίας, ὡς ἐπιχορηγησάσης μοι καὶ αὐτῆς οὐχ ἧττον ἐν μέρει τὸ εὖ ζῆν. Ἀλλ' ὡς ἔοικε τὸ εὐτυχεῖν καὶ δυστυχεῖν εἰσὶν ἐν τῷ βίῳ, καθάπερ ἐν τῇ φύσει ἕλξις καὶ ὦσις· ἢ μᾶλλον, ὥσπερ ἐν χρόνῳ ἡμέρα καὶ νὺξ, ἕτερον τὸ ἕτερον ἐκκρουόμενα καὶ ἀνθέλκοντα· καὶ τοῦτ' οὐχ ὅπως τοῖς κατὰ μέρος, ἀλλὰ καὶ πόλεσι καὶ ἔθνεσιν ὅλως· καί τοι τοῦτ' ἄλλως ἔοικεν εἶναι Προνοίας ἔργον· εὐτυχία γὰρ κακότητος ἀμιγὴς, καθάπερ καὶ ὑγεία, νόσου μὴ ὑπαρχούσης, ὅλως ἐστὶν ἀνεπαίσθητος, τῶν ἐναντίων μὴ οὔσης πείρας· ἔπειτα τὰ τοιαῦθ' οὕτως ἀστάτως μεταβαλλόμενα, δοκεῖ ἕλκειν τόν γε

καθημένοις ἡ σωτηρία πρυτανευθήσεται. Ταῦθ' ἡμᾶς εὐφραίνει, ταῦτα νῦν ἑστιᾷ ταῖς ἐλπίσι, καὶ μετὰ τὰς ἐλπίδας αὐτά γε τὰ ἐλπιζόμενα. Ἀλλ' ἴδοιμέν Σε, καὶ ἀπολαύσαιμεν καὶ παραχρῆμα τὰ χείρω ὑποχωρήσει τοῖς κρείττουσι. Δεῖξον ἡμῖν, ἔλεγον οἱ μαθηταὶ πρὸς τὸν Σωτῆρα, δεῖξον ἡμῖν, Κύριε, τὸν πατέρα, καὶ ἀρκεῖ· δεῖξον ἡμῖν, φαμὲν καὶ ἡμεῖς, δεῖξον τοῖς ὑπηκόοις σου σεαυτὸν, ἵν' ἔχοιμεν εἰπεῖν καὶ ἡμεῖς, ὦ

Ἀκτὶς ἡελίου τὸ κάλ-
Λιστον ἑπταπύλῳ φανὲν
Θήβᾳ τῶν πρότερων φάος,
Ἐφάνθης ποτ', ὦ χρυσέας
Ἡμέρας βλέφαρον χρυσαυγές.

Μέγα γὰρ τῷ ὄντι μετὰ τοσούτους αἰῶνας ἀνόμους νόμον εὑρέσθαι, ἰσηγορίας διδάσκαλον, ἐλευθερίας παιδαγωγὸν, ἄριστον ἀρετῆς τροφὸν, δικαιοσύνης πρύτανιν, σωφροσύνης κανόνα, ἰσότητος πλάστιγμα, θρησκείας μύστην, φιλοσοφίας ἐπίδειξιν, τὸ κάλλιστον πρὸς εὐδαιμονίαν σέμνωμα τῶν ἐθνῶν. Ἀλλ' εἴης ἡμῖν Ἡγεμόνων ἐπιεικέστατε, ἐπιβαίνων ἀσπίδος καὶ δράκοντος, γιγνόμενος ἐν πᾶσιν.

» Ἀμφότερόν τ' ἀγαθὸς βασιλεὺς, κρατερὸς αἰχμητής.

καὶ ἔλθοις ποθοῦσιν λαοῖς ὑγιαίνων καὶ ὀλβιώτατος.

### *Τῷ Ἐπάρχῳ.* (259.)

Πολυτελὲς δεῖπνον καὶ ποτὸν, οἷα δὴ συμβαίνει ἐν ἑορταῖς βασιλικαῖς, νέοις μὲν εὐθυμίαν τίκτει, γέρουσι δὲ ὄχλησιν· οἷς γὰρ τὸ φρονεῖν καὶ νήφουσιν ἔτι ἀσθενὲς καὶ ἀβληχρὸν διὰ γῆρας, τούτοις ἐν πότῳ ἀποσβεννύμενον ἐς τὸ παν-

Τοῖς χρηστίδαις. (262.)

Δύο ὄντας μιᾷ ὑμᾶς ἀμφοτέρους συνάπτων ἐπιστολῇ, οὐκ ἀδικεῖν μοι δοκῶ· ἄδικον δ' ἂν ἦν τοὐναντίον, εἰ οὓς καὶ φύσις, καὶ βίος, καὶ ἐπιτήδευμα σφοδρῶς συνῆψε, τούτους διεῖλον τοῖς γράμμασιν. Ὡς ἀπέχω τοίνυν τὴν χάριν, ὧν ποθ' ὑμᾶς εὖ ἐποίησα, εἴτι παρ' ἐμοῦ τοιοῦτό τι τυγχάνοιτε πεπονθότες· ἀνὴρ γάρ τις ἱερεὺς ἐκ τῆς πρεσβυτέρας Πωγωνιανῆς, αὐτόθεν ἐλθὼν ὡς ἡμᾶς, πολλὰ παρ' ὑμῶν ἐκόμισέ μοι εὐγνωμοσύνης τεκμήρια· καὶ τοῦτο δὴ τὸ τοῦ Εὐαγγελίου ἓν μὲν τριάκοντα, ἓν δ' ἑξήκοντα, ἓν δὲ πλῆρες ὅλως τὸ μέτρον, καίπου τι καὶ ὑπερχειλές. Ταῦτ' οὖν ἡμᾶς εὐφραίνει ἤδη ἐν γήρως οὐδῷ· τὸ γὰρ φιλότιμον ἀγήρων μόνον κατὰ Θουκυδίδην, κἂν τῷ τῆς ἡλικίας ἀχρείῳ οὐδὲν ἂν τέρποι, πλὴν τὸ τιμᾶσθαι. Ταῦτα μὲν οὖν εὖ ἔχει, καὶ μάλιστα παρ' ὑμῶν· τὰ δ' ἄλλα καιρίως πλήττει τὴν ψυχὴν σπαραττόμενα· ἓν γὰρ οὐδὲν τῶν κοινῶν, ὃ μὴ ἀπόλωλεν ὅλως, εἰς παντελῆ ἀναρχίαν τῶν πραγμάτων μεθεστηκότων· καὶ γεγόναμεν Μυσῶν λεία τὸ τῆς παροιμίας· ὧν γὰρ ὁ σοφὸς Κυβερνήτης μεγάλων τε καὶ πολλῶν ἐν τριετίᾳ ὅλῃ μετὰ πολλῶν καμάτων καὶ προνοίας πολλῆς, ὡς στοιχεῖα τῆς ὅλης οἰκονομίας ἀνήγειρε, τούτων τε καὶ τῶν ἄλλων οὐδὲν ὅ,τι μὴ τῆς τῶν κακούργων ἐλευθέρας φορᾶς παραπήλαυσεν, οὐ σιτοθήκη, οὐχ' ὁπλοθήκη, οὐχ' ἱματοθήκη, οὐ ναύσταθμος, οὐδὲ πόλις ἡτισοῦν μεμένηκε τὸ παράπαν ἀνεπηρέαστος· ἐῶ δ' εἰπεῖν τὰ καθ' ἕκαστα πλείω πεπονθότα τῶν δημοσίων. Ἔμελλεν ἄρα ἡ πολυπαθὴς Ἑλλὰς καὶ ταῦτα πείσεσθαι, ὀλεθρίου δρεπάνου πεμφθέντος αὐτῇ, ὑφ' ὧν ἥκιστα προσεδόκα, δῃουμένη τε καὶ σπαραττομένη νῦν κακουργότερον ὑπὸ τῶν οἰκείων καὶ φίλων, ἢ πρότερον ὑπὸ τῶν ἀλλοτρίων καὶ πολεμίων· τὸ δὲ χείριστον· ἦν

γε, οἶμαι, τοιούτῳ πάθει κατεχομένῳ, ἀζήμιος ἡ σὴ πρὸς τὸ δοῦναι ἀπόκνησις· ἴσμεν γὰρ πολλάκις παρὰ πολλοῖς τῆς σφοδρᾶς καὶ πικρᾶς ἐπιτιμήσεως τὰ σκώμματα δραστικώτερα, ἄλλοτ' ἄλλως ταῖς εἰρωνείαις φαρμάκων δίκην μιγνύμενα, τῆς ψυχῆς θεραπεύειν τὰ πάθη· διὸ καὶ ἡ Κωμῳδία τῷ γελοίῳ χαριέντως χρωμένη, ὅλων ἐθνῶν πολλάκις μοχθηρίαν εἰς ἀρετὴν παραδόξως μετέβαλε. Ἔῤῥωσο.

*Γεωργίῳ.* (265.)

Γράμματα παρὰ σοῦ ἡ σὴ κομισαμένη γυνὴ, ἀπήτησε παρ' ἐμοῦ χρυσᾶ τεσσαράκοντα, ἃ πρός με, ὥς φασιν ἐκεῖναι, τυγχάνεις ἀπεσταλκώς· ἀλλ' ἔμοιγ' οὐδὲν οὔτ' ἀργύριον, οὔτ' ἄλλοτι τῶν τοιούτων, οὔτε παρὰ Κωνσταντίνου, οὔτε παρ' οὐδενὸς ὡς παρὰ σοῦ ἀποδέδοται· καὶ ἔοικέ σοι ἡ πρὸς ἐκεῖνον πίστις γνώμης ἁμάρτημα, ἐπιλαθομένῳ τοῦ πάλαι ποτὲ ὀρθῶς εἰρημένου, 'μέμνησ' ἀπιστεῖν ἄρθρα ταῦτα τῶν φρενῶν· ὃ γάρ ποτε Περικλῆς μέχρι βωμοῦ, τὴν φιλίαν ἔλεγε τηρητέον, τοῦτο νῦν καὶ μέχρις ὀβολοῦ, εἴτις εἴποι, οὐκ ἂν ἁμάρτοι, καὶ ταῦτα νῦν παρ' ἡμῖν ὡς ἐν ἀναρχίᾳ καθεστηκόσι, τοῦ ἰσχύοντος καὶ προκαταλαβόντος γιγνομένων ἁπάντων καὶ κοινῶν καὶ ἰδίων, μήτε δικαστῶν, μήτε μὴν διοικητῶν πρὸς ἀναχαίτησιν τῶν κακῶν ἡμῖν ὑπαρχόντων· βαβαὶ τῆς ἀπωλείας! ἡ μὲν κακία θριαμβεύει, ἡ δὲ ἀρετὴ καταδύεται· τὸ πάθος ἀκμάζει, τὸ φιλόπατρι ἀπεσβέσθη, ἡ σκευωρία κρίνεται ὀξυνοίας λαμπρὸν ἀποτέλεσμα, ἡ ἁπλότης μεταβαλοῦσα, ὀνομάσθη εὐήθεια· ἦθος δὲ χρηστὸν καὶ σεμνότης γελοῖα κατέστη· ἐξ ὧν ἀπιστία, καὶ νωθρότης, καὶ ἀπορία ἐν πᾶσιν, ὥσθ' ὥρμηνται πολλοὶ ζῆν, τὸ δὴ λεγόμενον ἀπὸ ὁρμιᾶς καὶ καλάμου. Ταῦτά σοι τῶν πέρυσιν ἀνδραγαθημάτων τἀποτελέσματα. Πατάξωμεν, ἔφησαν,

καὶ ταῦθ' οὕτω μέχρι δεῦρο, ὁπόθ' ἡ γραφὶς ἡ Ἑλληνικὴ προεδρεύει· τοῦ δὲ λοιποῦ, ὁπόθ' ὁ κρατῶν ἡμῖν ἑτερόγλωσσος ἔσαι, καὶ πᾶν δόγμα τὸ παρ' αὐτοῦ ἐν τῇ ἑαυτοῦ φωνῇ, ὡς εἰκὸς, συνταχθήσεται τίνες γενώμεθα αὐτοσχεδίους μεταφράσεις ἀναγινώσκοντες;] χάρις ἐν μέρει τῷ γήρᾳ, ὅτι με ἐν τούτοις ἐγγὺς κατέχει θανάτου, ἵνα μὴ βλέπων βλέπω, ᾧ μόνῳ τῶν ἄλλων ἐθνῶν δοκοῦμεν προὔχειν, καὶ ἐφ' ᾧ διὰ βίου πεπόνηκα, τοῦτο νῦν πολλαχῶς σπαραττόμενον. Ἔρρωσο. Ἃ δὲ ἐπέθηκάς μοι γράμματα, ταῦτ' ἀπέστειλα εὐθὺς πρὸς τὸν Πολυζωΐδην· ὃν ὤφειλεν ἡ μήτηρ βραχυζωΐδην τεκεῖν· ἦν γὰρ ἂν αὐτῇ τε ταύτῃ καὶ πάσῃ τῇ Ἑλλάδι οὐ σμικρὸν κέρδος· ἐῶ δὲ λέγειν καὶ αὐτῷ τούτῳ μάλιςα· διὰ τί; ἀναγνοὺς τὸν τοῦ Ἀπόλλωνος αὐτοῦ ἐπίλογον, εἴσῃ· αὐχεῖ γὰρ ὡνὴρ ἑαυτοῦ τὴν πᾶσαν ἀνδραγαθίαν γενέσθαι· ὥστ' εἴτ' ἀγαθὸν, εἴτε κακὸν ἐκ τούτου ἐγένετο, ἀνατίθεται ὡς οἰκεῖον τἀγώνισμα.

### *Τῷ Γραμματεῖ.* (267.)

Εἴρηται χαίρειν μὲν μετὰ χαιρόντων, κλάειν δὲ μετὰ κλαόντων· ἀλλ' ἤδη δακρύων μὲν ἡμῖν γ' ἀφορμὴ ὕπεστιν οὐδεμία, παρελθόντος τοῦ τῶν θλίψεων χρόνου· τὸ γὰρ νέον ἔτος τουτὶ, ἀνάπαυσιν ἡμῶν ἀπὸ τῶν κακῶν παρασχὸν, ὑπισχνεῖται τὰ βέλτια πρὸς τὰς μελλούσας ἐλπίδας, τοῦ Ἡγεμόνος ὅσον οὔπω ἐπιπαρόντος· συγχαίρειν ἄρα δεῖ τῶν φίλων τοῖς χαίρουσι καὶ συνεύχεσθαι αὐτοῖς τὰ βελτίω τά τε πρὸς θεοῦ τά τε πρὸς τοῦ εὐτυχοῦς βασιλέως· καὶ δὴ τοῦτο ποιῶ, ὡς εἰκὸς, δεόμενος ἅμα σοῦ, ὃν ἥτε τύχη, ἥτε ἀξία, καλῶς ποιοῦσα, κατατάττει τῷ θρόνῳ συμπάρεδρον, πρόνοιαν ποιεῖσθαι σὺν τοῖς ἄλλοις καὶ τῶν Ὀρφανῶν τῶν εὐθυνουμένων μὲν πρότερον, ζῶντος αὐτοῖς τοῦ πατρὸς, ταλαιπωρουμένων δὲ νῦν,

γῆς, διευθύνει τὸ τῆς πολιτείας σκάφος πρὸς λιμένα σωτήριον· καὶ οὐκέτ' οὔτε τὸ ἀσθενές πῃ χειμαζόμενόν τε καὶ καταπονούμενον ὑπὸ τοῦ κρείττονος ἔσται, οὔτε τὸ ἰσχυρὸν καὶ βίαιον καταθρασυνθήσεται· τοῦ γε λοιποῦ καταθλίβειν καὶ καταπιέζειν πανταχῇ τὸ ἔλαττον ἔχον· πλείστην γὰρ ὅσην πεποίηται πρόνοιαν εἰς ἓν συναγαγεῖν τὰ διεστῶτ' ἀμφότερα· τὸ μὲν, λόγῳ ἀνορθώσας, ἐπιεικέσι καὶ ἠπίοις δεδευμένῳ φαρμάκοις· τὸ δὲ, καὶ ἀπειλῇ σωφρονίσας, εἴπῃ παρείκοι, ὡς μηκέτ' ἂν, ὅπως βούλοιτο, τῶν καθηκόντων ἐκτρέποιτο· δεῖ γὰρ δὴ καὶ πειθοῖ χρῆσθαι, ὅπῃ καλὸν, καὶ νόμῳ αὖ πρὸς τὸ μὴ πειθόμενον λόγῳ· ἵν' οὕτως ὡς ἐξ ἀντικειμένων ὅρων εἰς ἓν τὸ μέσον συναγαγὼν τὰ πολλῷ διεστῶτα, παράσχῃ τοῖς ὑφ' αὐτὸν τὴν ἀπὸ τῶν νόμων εὐδαιμονίαν. Τοιοῦτον οὖν Βασιλέα καὶ πρότερον ὑπελαμβάνομεν προσδοκώμενον, καὶ νῦν ἥκοντος ἀπολαύομεν, τοῦ θεοῦ τὴν χάριν ταύτην ἡμῖν παρασχόντος· ὃς δέδωκεν αὐτῷ κατὰ τὸν Προφήτην καὶ κρίμα ὡς Βασιλεῖ, καὶ δικαιοσύνην ὡς υἱῷ τοῦ Βασιλέως.

## *Κωνσταντίνῳ.* (270.)

Πάντα στρέφει χρόνος, καὶ πάλιν ἀποκαθίστησι· καὶ οὐκ ἔσθ' εὑρεῖν οὐδὲν οὔτε τῶν πάλαι εὐδαιμόνων, ὃ μὴ ἐπειράθη τῶν ἀπὸ τῆς τύχης δεινῶν ποθ' ὕστερον· οὔτε τῶν κακῶς ποτε σχόντων, ὃ μὴ εὐδαιμόνησεν ἔπειτα· οὕτω τὸ θεῖον διεξάγει, οἷς οἶδε λόγοις, ὡς βούλεται τὰ ἀνθρώπινα. Ἀλλὰ νῦν γ', ὁπόθ' ἡμῖν Ἡγεμὼν ἀγαθὸς, τῶν τῆς πολιτείας ἡμῶν οἰάκων ἐπιλαβόμενος, διευθύνει τὸ σκάφος πρὸς λιμένα σωτήριον, ὅ,τε χειμὼν ἐς γαλήνην μεταβαλεῖ, καὶ εἴτι ἐκ τοῦ κοινοῦ ναυαγίου τυγχάνομεν ἀπολέσαντες, τοῦτ' οὐκ ἐς μακρὰν ἀνακτήσεσθαι προσδοκῶμεν· καὶ τοῦ γε λοιποῦ οὐδενὸς κακοῦ πειρασόμεθα, εἰ μόνον βουλοίμεθα πείθεσθαι νόμοις καὶ ἄρ-

ποιοῦσα, ἔθηκέ σε παρ' αὐτῷ τῷ θρόνῳ τοῦ Ἡγεμόνος, μεμνημένος καὶ τούτων, δικαιότατον μὲν καὶ συμφερώτατον τῇ πατρίδι, ἄξιον δὲ Γερμανοῦ ἀνδρὸς καὶ τῆς σῆς περὶ τοὺς λόγους δυνάμεως πράξεις ἔργον, εἰ συγκαταλέξειας καὶ τούτους γε τοῖς ἄλλοις. Ἔρρωσο.

Κωνσταντίνῳ. (372.)

Τὰ καλὰ, καλῶς μὲν γιγνόμενα, ἐπαινεῖται· μὴ καλῶς δὲ, ψέγεται ὑπὸ πάντων· οὕτω δ' ἀκούω καὶ παρ' ὑμῖν τῶν σπουδῆς ἀξίων τὶ πράττεσθαι· τιμῆσαι γὰρ σπεύδετε τὸν ἀοίδιμον Κοραῆν· τοῦτο μὲν καὶ τοῖς Ἕλλησι καλὸν, κἀκείνῳ μάλιστα ὀφειλόμενον· ἄξια γὰρ, ὧν εὖ πεποίηκε, παρ' αὐτῶν ἀπολήψεται· ἀλλ' ὅσῳ τοιοῦτον, τοσούτῳ ἔμοιγε δοκεῖ μὴ κατὰ τρόπον σπουδάζεσθαι· γλίσχρον γὰρ τοὖργον, καὶ οὐκ εὐκλεὲς, ἐξ ἐράνου οὕτω γιγνόμενον, καὶ ἐλέῳ προσεοικός· εἴγε τὰς τῶν φίλων ἐνδείας οὕτω τοῖς προγόνοις ἡμῶν σύνηθες ἦν θεραπεύειν· τοὺς δ' εὐεργέτας σιτήσει ἐν Πρυτανείῳ καὶ ἀτελείαις, εἰκόσι τε, καὶ ἀνδριᾶσι, καὶ τοῖς τοιούτοις δημοσίᾳ ἐτίμων· νῦν δ' ὡς ἔχει ταῦθ' ὑμῖν, δοκῶ μοι ὁρᾷν τὸν ἄνδρα προτιθέμενον νεκρὸν, καὶ οἷον προσαιτοῦντα παρ' ἑκάστου τῶν παριόντων ἀργύριον πρὸς κηδείαν. Ὁ Κοραῆς ἐξ ἐράνου; μήτι ἐργῶδές ἐστι τοῦθ' οὕτω γενέσθαι παρὰ φίλων καὶ αὐτοῖς τοῖς κακούργοις; μῶν δυσχερὲς καὶ τῇ Ἀρτεμισίᾳ αὐτῇ, ἀπὸ πλείστης ὅσης ὁρμωμένῃ περιουσίας, ἀνεγεῖραι τῷ ποθουμένῳ τυράννῳ Μαυσώλιον, οὗ τὴν μεγαλουργίαν οὐδ' ὁ πᾶς αἰὼν ἀφελέσθαι δυνήσεται; ἀλλὰ τὸ μερικῶς σπουδαζόμενον, ἢ πλούτῳ μεγαλουργούμενον, τοῦτο τοιαύτην ἂν προϋποτιθείη καὶ τὴν αἰτίαν, ἤτοι σμικράν τινα ἀρετὴν ἢ πλούτου ἐπίδειξιν· κἀντεῦθεν ἴσον ἕξει πρὸς τὴν ἀρχὴν καὶ τὸ τέλος· ἢ ὅλως γενικὴν καταφρόνησιν, ἢ ἐλαχίστην τιμήν. Τί οὖν σπεύ-

χρόνω, καὶ αἱ μεγαλοῤῥήμονες γνῶμαι ἀπὸ τῶν κοινῶν συμβουλίων καὶ σεμνῶν Γερουσιῶν, καὶ τὰ ἀπὸ τοῦ βήματος τοῦ Πανελληνίου ψηφίσματα τὰ σοβαρὰ καὶ ὑπέρκομπα μετέβαλον ἤδη εἰς βαθεῖαν κατήφειαν, καὶ πρὸς ἁπλῆν σπουδαρχίαν, τίς τίνα φθὰς, καὶ τίς τὸν πλησίον ὑποσκελίσας, διαπρέψῃ αὐτὸς ἐν τοῖς πράγμασι, γενόμενος χρυσοτράχηλος, καὶ ὅλως ταὼς χρυσοκέντητος ἐκ τῶν κινδύνων ἑτέρων· ὁ δ' ἐθνικὸς χαρακτὴρ ἀπόλωλεν ὅλως, τὸ ἦθος τὸ γενναῖον παντάπασι κεκιβδήλωται, τὸ εὔγνωμον ἀπεσβέσθη. Ἐκ δὲ τοῦ Κλήρου αὖθις εἰ θεωροῖμεν, ἵνα ἐσμὲν, κἀνταῦθα εὑρίσκομεν τὴν ἀλήθειαν ὀκνηρὰν καὶ ἰσχνόφωνον πάντῃ· τὸ γὰρ Εὐαγγέλιον, οὗτος ὁ γνώμων τῶν ἠθῶν, δουλεύει ἤδη τοῖς πάθεσι, καὶ ἡ θρησκεία ἐκπίπτει κατὰ μικρὸν τῆς ὁλκῆς, καθάπερ γραΐδιον τακερὸν ἐπισεσημασμένον συχναῖς ταῖς ῥυτίσι· καὶ ὃ χείριστον, ὅτι οὐδεὶς τούτων οὐχ ὅπως οὐδένα λόγον ποιεῖται. ἀλλὰ καὶ προσγελᾷ, εἴτις ταῦτα προσανακλάοιτο. Ἀλλὰ τί δεῖ ποιεῖν, εἴποις ἄν; τί; μηδὲν παρ' ὃ τῇ πατρίδι συμφέρει· μηδὲν πρὶν τιμῆσαι τοὺς εὐεργέτας, νόμον τοῦτον τῶν προγόνων ἡμῶν καλῶς ἔχοντα μιμουμένους· σκόπει γὰρ, ἡνίκα ἐπὶ τῶν μεγίστων ποτὲ ἐκείνων ἀγώνων ἐπεδαψιλεύονθ' ἡμῖν πανταχόθεν τῶν ἐθνῶν χορηγίαι, τότε ἀνασχόντες ἀμφοτέρας τὰς χεῖρας, ἐζητούμεθα θεόθεν τοῖς διαπράττουσι ταῦτα τὰς ἀμοιβάς· νῦν δ' εἰπέ μοι, ποῦ, πότε ἐγένετο λόγος περὶ τοῦ φιλέλληνος Εϊνάρδου. οὗ τοὔνομα παρ' αὐτὰς τὰς πράξεις ἐνήχει ταῖς τῶν ἁπάντων ἀκοαῖς ἐν ἅπασι μικροῦ δεῖν τοῖς τῶν σοφῶν ἐθνῶν ἐγκυκλίοις συγγράμμασιν; ἀλλ' ἐκεῖνος ἦν φίλος τοῦ Κυβερνήτου· τί δέ; τῶν Ἑλλήνων οὐκ ἔστι φίλος; οὐδ' ὁ Κυβερνήτης αὐτός; ὢ ἤθη βάρβαρα! ἰὼ πάλη θυμοφθόρα, ὅσον ἀποτυφλοῦτε καὶ αὐτοὺς τοὺς ὁρῶντας! Ἔθνος ἀναφυτεύεται ἐξ ὑπαρχῆς, ἔθνος γεωργεῖται πρὸς

ποιοῦντας ἀμείβεται. Τὸν δὲ Γραμματέα τοῦ Κράτους, ἀνενεγκόντα ταῦτα εἰς τὸν Βασιλέα τῶν Ἑλλήνων, ἐξαιτεῖσθαι τὴν ἐπικύρωσιν παρ' αὐτοῦ. Εἶπε τὴν γνώμην Νεόφυτος Δούκας.

Ἐν μηνὶ Ἰουνίῳ. αωλγ'.

*Νικολάῳ.* (274.)

Τί ποτέ σοι τὰ γράμματα βούλεται; αἰνίγμασι γὰρ ἔοικε, καὶ τὸν γράψαντα δειλίᾳ δοκοῦντα γεγραφέναι ὑποσημαίνει, ὡς ὁρμώμενον μὲν εἰπεῖν τι τῶν μὴ κατ' εὐχὴν, ἀνακοπτόμενον δ' εὐθὺς ἀτολμίᾳ τοῦ ἐκφῆναι ὅ,τι ποτ' εἴη τοῦτο· τί οὖν δέδοικας περὶ ἐμοί; μήτι πάθω, ὅτι διδάσκων τοὺς Ὀρφανοὺς, παρευδοκιμῶ τοὺς ὁμοτέχους καὶ ἀντιζήλους; τοῦτο γὰρ αὐτός τι ἔοικας, καὶ ἕτερός τις φθὰς παρήγγειλέ μοι φυλάξασθαι, ἀλλὰ μηκέτι δέδιθι· τῶν γὰρ τριακοσίων καὶ πεντήκοντα Ὀρφανῶν οἱ διακόσιοι ψήφῳ φθονερᾷ, κλάοντες, καὶ κοπτόμενοι, καταλιπόντες ἡμᾶς, ἀπήεσαν ἄλλοι ἄλλοσε κατὰ τάγματα, ἐλεεινῶς, ὅπῃ καὶ ὅπως δύναται ἕκαστος, ἀποζήσοντες· οἱ δὲ καταλειπόμενοι, ἐξαιρουμένων τῶν πεπηρωμένων, ὡσεὶ ἑβδομήκοντα μάλιστα, οὗτοί γε οὔτε τῆς ἐμῆς μούσης εἰσὶν ἔτι ἱκανοὶ, μετασχεῖν, οὔτε γεγενημένους πόθ' ὕστερον ἐπιτρέψουσιν· ἐς τοσοῦτον γὰρ βασκανίας ἐχώρησαν οἱ κατ' ἰδίαν ἀρέσκειαν διεξάγειν βουλόμενοι τὰ ἡμέτερα· διὸ τῆς περὶ ταῦτα σπουδῆς ἀποστὰς, ἰδίᾳ φιλοσοφῶ, ἵνα καὶ τὸ ἐξῳδηκὸς καὶ φλεγμαῖνον τοῖς ἀντιπάλοις ἐκπνευματώσαντες, οὕτως ἐξιασαίμεθα· ἀλλ' οὐχ οὕτως αὖθις ἐσόμεθα ἀεργοὶ, ὡς μηκέτι μηδὲν ποιεῖν, ὡς καὶ ὅσον χρόνον ὅ,τι δυνάμεθα, καὶ τὸ τάλαντον μεταδοῦναι ὀφείλομεν, κἂν αὖθις ἐπὶ κόῤῥης, ὥςποτε, παταγῶμεν, κἂν ὅπῃ εἴπῃς· ἤδη γὰρ ἑβδομηκοντούτῃ γεγενημένῳ, προσίτω μοι ὁ θάνατος, ὅθεν βούλοιτο· τοῦ γὰρ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Ἔῤῥωσο.

λῆσι τοσούτους κηφῆνας ἀπὸ τοσαύτης δαπάνης τρέφεσθαι μάτην· τί γὰρ καλὸν παιδεύεσθαι τούτους, πένητας ὄντας; οὓς ἔδει ἀξίνην καὶ δίκελλαν ἐπ' ὤμων ἀναλαβόντας, ἐπὶ γεωργίαν τραπέσθαι; καὶ ταῦτα λέγων ὑπὲρ Ὀρφανῶν, ὧν οἵ τε πατέρες ἀπέθανον ἐν πολέμῳ ὑπὲρ τῆς κοινῆς σωτηρίας, καὶ αὐτοὶ οὗτοι ἡρπάγησαν ὑπὸ τῶν τυράννων ἐν ἁλύσεσι τῆς αἰχμαλωσίας, οὔτε θεὸν φοβῇ, οὔτε ἀνθρώπους αἰσχύνῃ· ἐξετάσωμεν δὲ καὶ τὴν θαυμαστὴν φιλογένειαν, ἐφ' ᾗ προσποιῇ· πρῶτον μὲν τοῦ κοινοῦ ποιεῖσθαι πρόνοιαν σεμνυνόμενος, τούτῳ αὐτῷ οὐδεμίαν αὐτοῦ πρόνοιαν δεικνύεις ἔχειν· οὐ γὰρ ἡ περὶ τὰ καλὰ δαπάνη τὰ κοινὰ παρέβλαψε πώποτε, ἀλλ' ἡ ἐκ τοῦ μὴ δαπανᾷν σπάνις τῶν πεπαιδευμένων ὄλεθρος τοῖς πράγμασι γίγνεται· ἔπειτα τίς ἡ δαπάνη αὕτη; καὶ πόθεν; καὶ πόση; ἀπὸ τῶν κοινῶν εἰς τὰ κοινὰ, καὶ ἀπὸ τῶν πολλῶν εἰς ἐλάχιστα, ὅσον ἐπαρκέσαι διακοσίοις παισὶν, ὧν τριάκοντα, ἢ εἴκοσιν, ἢ τοὐλάχιστον δέκα, πέντε ἐγὼ τίθημι, ἄνδρες εἰ γένοιντο ἀγαθοὶ, πολλαπλασίως ἀντισήκωσαν τὸ ἀνάλωμα σύνολον· εἷς γάρ τις ἐν ὅλῳ ἔθνει, ἀνὴρ γενόμενος ἀγαθὸς, μυρίων ἂν εἴη ἀντάξιος, ὡς ὅλον ἔθνος καὶ πεπτωκὸς ἀνορθῶσαι δυνάμενος, καὶ σεσωσμένον εὔδαιμον καταστῆσαι" καὶ τοῦτ' ἐξεπαίδευσεν ἡμᾶς ὁ χρόνος αὐτὸς, τὸν Μέγαν ἄνδρα ἐπιστήσας τοῖς πράγμασι τῶν Ἑλλήνων· ἔπειτα καὶ τὰ χρήματα, ἐφ' οἷς δαπανωμένοις ἀγανακτεῖς, διὰ τοῦτο κτῶνται καὶ πόλεις καὶ ἰδιῶται, οὐχ ὅπως ἁπλῶς πλούσιοι λέγωνται, ἀλλ' ἵνα τούτοις, ὧν ἂν δέωνται, ποριζόμενοι, τὴν εὐδαιμονίαν περιποιήσωνται· τίς δὲ καὶ ἡ ζημία, ἣν φὴς ἔσεσθαι τῇ πατρίδι ἐκ τῆς εἰς ἐκείνους δαπάνης; μῶν ἡ μήτηρ οὐκ ὀφείλει τὰ ἑαυτοῖς τέκνα παιδεύειν, φειδομένη χρημάτων; μῶν τὸ ἀργύριον τοῦτ' ἄλλοσέ ποι οἴχεται δαπανηθὲν ἔξω τῶν ὁρίων τοῦ Κράτους;

διαλελύσθαι θρυλλούντων· ἔστι δ' ὧν καὶ παραμυθουμένων ἡμᾶς καὶ τούτων μάλιστα ξένων, ὡς ἄρα καὶ βελτιωθήσεται ἐν τῷ μέλλοντι, κόσμον καὶ σχῆμα παρὰ τῶν κρατούντων νεωςὶ λαβόν· ἐγὼ δ' οὖν ὅ,τι ποτ' ἔςαι ἑξῆς (ἔςαι δ' οὐδὲν, ἢ τοῦτ' αὐτὸ στρατιωτικὸν καταγώγιον, ἢ τοιούτων σκευῶν ἀποθήκη·) τοῦτο μὲν οὐκ οἶδα, οὐδὲ Τειρεσίας εἰμὶ τῶν μελλόντων· τῶν δὲ παρεληλυθότων, ὧν μάλισθ' ὡς κακῶς σχόντων ἐπιλαμβάνονται ἔνιοι, γινώσκω ἐναργέςερον πάντων· διὸ καί σοι κοινῶσαι ταῦτα προήρημαι, ἵν' ἔχῃς, ὡς ἀπὸ βεβαιοτέρας ἀρχῆς παῤῥησιάζεσθαι πρὸς τὴν ἐκείνων ἀναισχυντίαν, ὅπως παύσωνταί ποτε ἐξαπατῶντες σφᾶς τ' αὐτοὺς καὶ τοὺς ἄλλους καὶ ἑκόντες καὶ ἄκοντες. Ἅμα τοίνυν ἀνεγηγερμένου τοῦ Καταγωγίου τούτου ὑπὸ τοῦ ἀειμνήστου Κτίτορος, συνελέγησαν ἐν αὐτῷ πανταχόθεν ἀπὸ τῆς αἰχμαλωσίας, καὶ τῆς ἄλλης ταλαιπωρίας παῖδες ὀρφανοὶ πεντακόσιοι μάλιστα· τούτων δ' οἱ τελευταῖον ἀπελευθερωθέντες ἐκ τῆς Αἰγύπτου, νοσοῦντες ὀφθαλμίαν, ἀνέπλησαν εὐθὺς καὶ τοὺς ἄλλους τῆς νόσου· ὥστ' ἐν τῷ πρώτῳ καὶ δευτέρῳ ἔτει ἔπασχον μικροῦ δεῖν τετρακόσιοι· καὶ τοῦτ' αὐτοῖς πρῶτον πρὸς τὸ μανθάνειν ἐγένετο πρόσκομμα· οἱ δὲ λοιποὶ ἀμφὶ τοὺς ἑκατὸν ἐπαιδεύοντο ὑπὸ γραμματιστῇ τὸ ἀναγινώσκειν, γράφειν, καὶ ἀριθμεῖν· τὸ δὲ τρίτον ἔτος προὐβιβάσθη ἐκ τούτων πρώτη τάξις εἰς τὴν γραμματικὴν, καὶ μετὰ μικρὸν ἑτέρα, ἀνὰ εἴκοσι καὶ πέντε μαθητὰς περιέχουσα ἑκατέρα· οἱ δ' ἄλλοι ἑκατοστύες ὅλαι, ἀνασφήλαντες ἤδη ἀπὸ τῆς νόσου, συνεῤῥύησαν εἰς τὸ Ἀλληλοδιδακτικὸν, ὅπως ἔτυχεν. Ἐκ δὲ τούτου, ἀποθανόντος ἤδη τοῦ Κυβερνήτου, καὶ τῶν πραγμάτων ἄνω καὶ κάτω ὄντων, προσαιρεθεὶς κἀγὼ τρίτος τῶν ἐπιτρόπων, ἀναλεξάμενος ἑβδομήκοντα τῶν παιδαγωγουμένων, καὶ τρίτῳ μηνὶ αὖθις ὕστερον ἑτέρους τοσούτους, κα-

εὐπρεποῦς μὴ εὐποροῦσα προφάσεως; ἐπειδὰν γὰρ τὸ πάθος σχῇ ῥίζαν ἐν αὐτῇ τῇ καρδίᾳ, τηνικαῦτ' ἀρδευόμενον φθόνῳ, οὐκ ἂν ἔχοι μὴ οὐχὶ ἀναδιδόναι μυρίων ἐπιθυμιῶν ἀτόπους παραφυάδας· ὧν ὁ καρπὸς ἡδὺς μὲν δοκεῖ εἰς ἀπόλαυσιν· τόδ' ἀληθὲς ἔστιν ὅμοιος τῷ τοῦ ξύλου τῆς γνώσεως· οὗ τῇ γεύσει κἀκ τοῦ ἑνὸς ἐκείνου, πολλοὶ πολλοὺς αἰῶνας ὕστερον κατείρχθεισαν ἐν τῷ ᾅδῃ· τοιαῦτα γὰρ τἀπιτίμια ἀνταπέδωκε τῷ Γενάρχῃ τὸ τῆς μὴ προσηκούσης ἐπιθυμίας ἀκόλαστον· καίτοι καὶ τούτῳ ὑπῆν τὸ εὐπρεπὲς τῆς προφάσεως. Ἔσεσθαι ὡς θεοί. Τοιαῦτα ἔσται καὶ τῶν γενναίων τούτων τἀποτελέσματα, οἷα ἦν αὐτοῖς καὶ τὰ ἐκ τῆς ἀχαλίνου ἐλευθερίας ἐσχάτως γενόμενα, ὑπόθ' ἡ πατρὶς ὑπέστη τὸν δεύτερον ὄλεθρον, τοσοῦτον τοῦ πρώτου χείρω, ὅσον ἀφαιρεθεῖσα καὶ τὴν ἀπ' ἐκείνου δόξαν, ἐνεπλήσθη αἰσχύνης· λόγῳ μὲν γὰρ τὸ κοινῇ συμφέρον προΐσχονται, ἔργῳ δ' οὐδ' εἴτι κοινόν ἐστιν εἰδέναι ἐθέλουσιν, ἡδονὰς ἰδίας θηρώμενοι· καί μοι πρόσχες τὸν νοῦν, ἵν' εἰδῇς, ὡς ἐκ παραδείγματος τὸ τούτων φιλόπατρι. Ἐστράτευσαν οἱ ἑπτὰ ἐπὶ Θήβας, καὶ ἡ πόλις ἐκινδύνευε γενέσθαι τῇ τῶν πολεμίων ὁρμῇ παρανάλωμα· οἱ δὲ Θηβαῖοι ἐκπεπληγμένοι τῷ δέει, κατέφυγον εἰς τοὺς ναοὺς, ἐξαιτούμενοι σωτηρίαν ἐκεῖθεν· ὁ δὲ Κρέων ἐπικαλεῖται Τειρεσίαν οἰωνισόμενον περὶ τῶν παρόντων· καλῶς μέχρι δεῦρο· ἀλλ' ὁ μάντις ὑπισχνεῖται τὴν νίκην, ἑνὸς τῶν πολιτῶν προσενηνεγμένου σφάγιον τῷ Ἄρει· καλῶς καὶ τοῦτό φησιν ὁ φιλόπατρις Κρέων, ἕνα τινὰ ἀποθανεῖν ἐπὶ σωτηρίᾳ τῶν ἄλλων· ἀλλ' ἡνίχ' ὁ κλῆρος τῶν οἰωνῶν ἧκεν ἐπὶ τὸν παῖδα τούτου, τότ' ᾤχετο τῷ φιλόπατρι παραχρῆμα, καὶ ὁ Σπαρτὸς οὐκέτι συγκατατίθεται, ἀλλ' ἀποτροπιάζεται τὰ μαντεύματα, ἐκεῖν' εἰπὼν πρὸς τὸν μάντιν,

γε πρὸς τοὺς ἀμφ' αὐτὸν, συμφαίρει τοῖς Ἀθηναίοις τὸν ἕτερον αὐτῶν ἀπολέσθαι. Νῦν δ' ὥσπερ ἐπὶ σκηνῆς ἡμῖν τὰ πράγματ' ἔχει· πολλοὶ γὰρ τὸ κοινὸν προϊσχόμενοι, λόγῳ μὲν ἀνδραγαθίζονται· ἢν δ' ἀφέλῃς τὸ προσωπεῖον τοῦ ἥρωος, ὁρᾷς ὡς ἐκ παραλόγου ἀντὶ Ἀγαμέμνονος Θερσίτην ἀκριτόμυθον, ἀνθρωπάριον φολκὸν, χωλὸν, φοξὸν ἑὴν κεφαλὴν, καὶ ὅλως παλλώβητον, καὶ ἀπρόσιτον μορμολύκειον, ἔξωθεν μὲν ἐξαστράπτοντα τὸ ἐλεύθερον, ἔσωθεν δὲ αἴσχιστον ἐπὶ σμώδαξι· καὶ γὰρ ἀδύνατον ἐλεύθερον καὶ φιλόπατριν εἶναι τὸν ὑπὸ μυρίων παθῶν ἐσωτερικῶν ταραττόμενον· διὸ καὶ προτεθένπῃ συνεισφέρειν τῷ κοινῷ, ἄλλος ἄλλο τι προφασίζεται· ὁ μὲν, ἀγρόν· ὁ δὲ, γυναῖκα· ὁ δὲ, ζεύγη βοῶν· καὶ ἄλλος ἄλλο τι προβαλλόμενος, ἀποκλείει ἑαυτὸν εὐπρεπῶς τῆς τραπέζης· τὸ δ' ἀληθὲς, εἴτις ἐθέλει μαθεῖν, κέρδος ἐστὶ καὶ φθόνος, διότι ἄλλος τις ἀπὸ τούτων εὐδοκιμεῖ. Πῶς οὖν οἱ τοιούτοις κατεχόμενοι πάθεσι παῤῥησιασθήσονται εἰλικρινῶς πρὸς τὴν ψῆφον τῶν κοινῇ συνοισόντων; ἀφ' οἵας ψυχῆς ἐλευθέρας, ἥτις διάβροχος παντοίαις ἀπεχθείαις γεγενημένη, κατατείνει συνεχῶς πρὸς ἀνατροπὴν καὶ αὐτῶν τῶν καλῶς ἐχόντων; καὶ τοιαύτην μοι ἴσθι καὶ τὴν τοῦ Ὀρφανοτροφείου νῦν τύχην· ὃ μόνος καὶ πρῶτος καρπὸς τῷ κοινῷ τῆς ἐλευθερίας ἐγένετο· καὶ ὃ πρῶτον ἕνωσεν ἡμᾶς ἠθικῶς πρὸς τὰ εὐνομούμενα ἔθνη. Ἔῤῥωσο.

### *Τῷ Φρασικλεῖ.* (278.)

Ἐμοὶ μὲν ἔῤῥιπται ὁ κύβος· σὸν δ' ἄρ' ἐπικυλίσαι τοῦτον εὐστόχως πρὸς τὸ σκοπούμενον, τοῦ εὖ μὲν εἰδότος τιμᾶν φιλίαν, εὖ δὲ καὶ τοῖς ἀπόροις πόρον πρὸς κτῆσιν μνηστεῦσαι φιλοσοφίας, φιλόσοφον ὄντα καὶ φιλέλληνα ἐς τὰ μάλιστα. Διττὰ οὖν σοι τὰ γράμματα πέπομφα πρὸς ἑκατέρους

καύτας ἐλπίδας ἐνδεῖ ἡμῖν διδασκάλων, καὶ δεῖ παρασκευάσασθαι τούτους. Διὸ τεθαῤῥηκότες πρὸς τὴν σὴν αὖθις προστασίαν καὶ εὔνοιαν καταφεύγοντες, δεόμεθα καταδέξασθαι εὐμενῆ ἡμῖν, ὧν δεησόμεθα, παρασχέσθαι ἀκρόασιν. Δύο μείρακες Ἕλληνες τό,τ' ἦθος πολλῷ πολλῶν διαφέροντες, καὶ φιλομαθείᾳ οὐχ ἧττον, ἄποιροι μὲν χρημάτων, εὔποροι δὲ μαθημάτων τῶν γε παρ' ἡμῖν ὡς ἱκανῶς ἀπό τε τῶν ἐγκυκλίων, καὶ τῆς ἄλλης προπαρεσκευασμένοι φιλοσοφίας, οὗτοι δὴ τελειότητος ἐν τούτοις δεόμενοι, ἐξαιτοῦνται χάριν εὑρέσθαι παρὰ Βασιλέως εὐεργετικοῦ καὶ φιλέλληνος, ὅπως ἐλθόντες αὐτοῦ διακούσαιεν, ὅσων αὐτοῖς προσδεῖ πρὸς ὃ ἀφορῶσι τέλος· τοῦτο δὲ πῶς ἂν ἄλλως θηρῷεν, ἄποροι ὄντες, εἰ μὴ ἀφικόμενοι αὐτοῦ, ἀπὸ τῆς σῆς φιλανθρώπου πηγῆς τὰ πρὸς τὸ ζῆν ἀξιωθεῖεν ἀρύεσθαι; οὐκοῦν σὸν καὶ ταύτην ἡμῖν τὴν ἔνδειαν ἐξιάσασθαι. Οὕτως ὄναιο, εὐεργέτα Βασιλεῦ, καὶ εἴης ἡμῖν κἀνταῦθα ἐπ' εὐκλείαις εὔκλειαν ἐπικτώμενος, ἐφ' οἷς διατελεῖς ἡμᾶς εὖ ποιῶν, καὶ τοὐπὶ τούτοις τὸν ἐν οὐρανῷ κλῆρον καρπούμενος· ὃ καὶ μόνον ἂν εἴη μισθὸς ἀρετῆς Ἡγεμόσιν ἀντάξιος.

*Τῷ Βασιλεῖ Ὄθωνι,* (280.)

(ὡς ἐκ μέρους τῶν Μαθητῶν.)

Ὁ τῆς Ἑλλάδος ὁρίζων, ἀγαθοῦ Βασιλέως ἡγεμονεύοντος, οὕτω φαιδρὸς ἡμῖν πανταχόθεν παρίσταται, ὥσθ' ὡς ἐπὶ μεγίσταις ἐλπίσιν ἐπαίρει τοὺς Ἕλληνας προπαρασκευάζεσθαι, ὧν νῦν διατυποῦνται πραγμάτων τὴν ἀνάῤῥωσιν, ἀξίους ἀναφανῆναι· ἐν οἷς καὶ ἡμεῖς οἱ τῶν σῶν ὑπηκόων πιστότατοι ἐσμὲν ἐναρίθμιοι· οἳ, προπαιδευθέντες ἤδη ἱκανῶς τὴν Ἑλληνικὴν παιδείαν, καὶ τῆς ἄλλης φιλοσοφίας, ὅσην μάλισθ' ὁ σοφὸς Σωκράτης προὔτρεπε τοὺς Ἀθηναίους μανθάνειν, ἐπειδὴ νῦν ἔγνωμεν διδασκάλου ἐπάγγελμα ἀναδέξασθαι,

κυματουμένη, εἰς μυρίας προσοκέλλει ὑφάλους· ὅπου συναισθομένη πόθ' ὕστερον, οἷ τῶν κακῶν τυγχάνει κεχωρηκυῖα, καὶ εἰς ἀνάμνησιν, ὧν πεπλημμέληκεν, ἐλθοῦσα, τίκτει ἐκ τούτων θυγατέρα παράδοξον οἷον διφυᾶ, τὴν Συνείδησιν, τοῦτον δὴ τὸν ἅμα κατήγορον καὶ συνήγορον δαίμονα, τὸν ἐπιτιμῶντα τε καὶ παραμυθούμενον, τὸν πλήττοντα ἀληθείᾳ καὶ ἰώμενον ὑποκρίσει· φύσις γὰρ τῇ παρθένῳ, οἷα δήπου ἔνγε τῷ κρυπτῷ πικρῶς κατηγορεῖν τῆς μητρὸς ἐπὶ σωφροσύνῃ, ὧν πεπλημμέληκεν· ἀλλὰ καὶ συνηγορεῖν προσποιεῖσθαι αὐτῇ ἐν τῷ φανερῷ ἐπὶ σωτηρίᾳ, τὰ πεπλημμελημένα συγκαλύπτουσα] πρὸς τοὺς ἔξω, ἵνα μὴ τυχὸν ἀπογνοῦσα τελέως, ἀπάγξηται· Ἐντεῦθεν ἄρα πλάττουσα λόγους, ἀντιπαρατάττεται πρὸς τὰς ἐπερχομένας Ἐριννύας, καὶ παντοίως μετασχηματιζομένη κατὰ τὸν Πρωτέα, οὕτως ὡς ἐκ πολλῶν ὁρμωμένη μορμολυκείων, πειρᾶται ἀποσοβεῖν τοὺς ἀλάςορας· ἀλλὰ τὰ τοιαῦτα τὰ παιδία πέφυκεν ἐκταράττειν· τῇ γὰρ ψυχῇ τῶν τοιούτων Παλαμναίων ἀπαλλαγὴ μόνη ἂν εἴη ἡ εἰλικρινὴς τῶν τετολμημένων ἐξομολόγησις. Ταῦτα μὲν οὕτως ἔχει.

. . . . . . . . Ὅς δ' ἄλλος λέγει,
« Λόγοισι χαίρει· τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει·

Οὕτως οὖν καὶ σὺ ποίει καὶ ζήσῃ. Ἔῤῥωσο.

Ἰωάννῃ. (282.)

Ὡς ἀφ' ἑνὸς στόματος τοῦ γένους παντὸς φθέγγεσθαι φατὲ ὑμεῖς γε οἱ τὰς ἐφημερίδας συντάττοντες· οὐκοῦν καὶ ἃ φθέγγεσθε, εἴτε χρηςὰ ταῦτ' εἴη, εἴτ' αὖθις φαῦλα, εἰς ἐκεῖνο πάλιν ἢ εὐφήμως, ἢ δυσφήμως ἐκ τοῦ εἰκότως ἀνάγεται, οἷα δοκεῖ πεπονθέναι ποτὲ καὶ ὁ τοῦ Ἀπόλλωνος δυςυχὴς συγγραφεύς.

Τῷ αὐτῷ. (283.)

Ἀνεγνώσθη μοι τὰ ἐν τῇ Ἀθηνᾷ ἀντιῤῥητικὰ οὐκ οἶδ' οὗτινος πρὸς τὰ ἐν τῷ σῷ Χρόνῳ περὶ τοῦ Ὀρφανοτροφείου παρ' ἐμοῦ εἰρημένα· καὶ εἴ μοι ἐφεῖται εἰπεῖν προσφυέστερον, ἀνεγνώσθη μοι λόγος σοφιστικὸς καὶ παραλελογισμένος ὅλως πρὸς λόγον ἁπλοῦν τε καὶ ἔλλογον, καὶ ἁπλῶς ψεῦδος προφανὲς πρὸς ἀλήθειαν ἀναντίῤῥητον· καί μοι σκέψασθε πρὸς θεοῦ, ὅπως ταῦτ' ἔχει. Οἶδε μὲν ὁ θεὸς ἄνωθεν, μαρτυροῦσι δέ μοι καὶ οἱ ἄνθρωποι ἐπὶ γῆς, συμμαρτυρεῖ δὲ καὶ αὐτὸ τὸ συνειδὸς (ἂν ὑγιαίνῃ) αὐτοῦ τούτου τοῦ συμφύραντος τὸν πλατὺν ὕθλον ἐκεῖνον, ὡς ἐγὼ οὔτ' ἀξίωμά τι παρ' οὐδενὸς παρήγγειλα πώποτε, οὔτ' ὄλβιος καὶ ἔνδοξος ἐκ τούτου γενήσεσθαι ἤλπισα· ταῦτα γὰρ ἄπεστι τῆς τῶν Ὀρφανῶν καταστάσεως· ἀλλ' ἀπροσδοκήτως προσκαταταχθεὶς τρίτος αὐτὸς ἐπίτροπος ἐν τῷ Καταγωγίῳ, ᾠήθην οὐ σμικρὰ ἁμαρτάνειν, εἴγ' ἀποποιησαίμην τὴν τῶν ἀρχόντων ἀξίωσιν πρὸς ἔργον φιλανθρωπότατον· διὸ πρὸς ταῖς κοιναῖς τῆς Ἐπιτροπῆς φροντίσιν οὐκ ἀπηξίωσα ἀναδέξασθαι οἴκοθεν καὶ διδάσκειν τοὺς ὑποτρόφους προῖκα, τοῦτο δὴ τὸ ἐπιπονώτατον τοῖς γε γεγηρακόσιν· εὐδοκιμήσας δ' οὕτως ἐν δέκα μησὶ, πῶς ἂν ἐπέσχον ἐμαυτὸν μὴ καυχήσασθαι, ὡς ἐν δυσὶν ἔτεσιν ἑξῆς μέλλοιμι διακοσίους τῶν ὀρφανῶν ἄλλους ἄλλοτε ἐκ διαδοχῆς καθ' ἑξαμηνίαν ἐγκρατεῖς τῶν ἐγκυκλίων μαθημάτων παρέξειν; ἦν δ' ἐλπὶς οὐ σμικρὰ πολλούς γ' αὐτῶν τοιούτους γενήσεσθαι, οἵους καὶ τὸ τῶν ἱερέων καὶ διδασκάλων, ὧν σπάνις ἡμῖν πολλὴ, ἐπάγγελμα δέξασθαι. Ἀλλ' ἐντεῦθεν τὸ πρῶτον ἀνεφύη ὁ φθόνος, τῶν θεωμένων ἐν ταῖς δοκιμασίαις καθ' ἑκάστην Κυριακὴν,

θεῖς τε καὶ φαυλοβίους, ὑφ' ὧν τὸ θεῖον ἐξευτελίζεται, καὶ διδασκάλους ἀθέους καὶ κακοήθεις, ὑφ' ὧν ἡ νεολαία ἐκτραχηλίζεται καὶ ταῦθ' ἡμᾶς ὡσημέραι παιδεύει τὰ πράγματα· ἀλλ' οὐ διὰ τοῦτο οὔτε τοὺς ναοὺς καθαιροῦμεν, οὔτε τὰ τῶν Μουσῶν Καταγώγια καταλύομεν· ἀλλ' ἐπανορθοῦμεν καὶ βελτιοῦμεν αὐτὰ, ἧ δυνάμεως ἔχομεν· αὐτὰ γὰρ καθ' ἑαυτά εἰσιν ἱερά· ὥςε αἱ τῶν δειλῶν βροτῶν ἁμαρτίαι οὐκ ἂν εἶεν ἀξιόχρεῳ δικαιῶσαι τὴν τούτων καθαίρεσιν.

Ἀλλὰ τὸ Καταγώγιον τοῦτο, φησὶν, ἐστὶ μὲν ἀναντιῤῥήτως ἔργον φιλάνθρωπον, ἀλλ' ἔστι κτίσμα τυράννου, καὶ διὰ τοῦτο ἀντεμβάλλει βαρέως τοῖς ὀφθαλμοῖς τῶν ἐκεῖνον μισούντων· καλῶς· ἀλλὰ τὰ τυραννικὰ καὶ φιλάνθρωπα ταῦτα πῶς ἂν ἀποδοῖμεν πρὸς τὸ αὐτὸ ἅμα πρόσωπον; μῶν διφυὴς ἦν ἐκεῖνος, ἵν' ἔχοιμεν οὕτως ἑκάτερον πρὸς ἑκάτερον ἀποδοῦναι; ἀλλὰ γένοιτ' ἂν, εἴποι τις ἂν, καὶ δίβουλος ὁ αὐτός· οὐκοῦν δότε ἡμῖν ἄμας τε καὶ δικέλλας, δότε μοχλοὺς, ἐφ' ᾧ ἐκπεριελθόντας πᾶσαν τὴν Ἑλλάδα διά τε ξηρᾶς καὶ θαλάσσης, ἀνατρέψαι τὰ τοῦ τυράννου ἔργα, καθαιροῦντας ἑξῆς ναοὺς, ἀναμοχλεύοντας σχολεῖα, τυπογραφεῖα, ἐπίνεια, οἴκους δημοσίους, ὁδοὺς δημοσίας, ἀποθήκας παντοίων εἰδῶν ναυτικῶν καὶ στρατιωτικῶν σκευῶν ἐχούσας προμήθειαν, ἀγροκήπια τερπνὰ, καὶ στρατῶνας περιφανεῖς, πλείω ἴσως τῶν ἑκατὸν τοιαῦτα σωτήρια Καταγώγια· ταῦτα γὰρ διασωζόμενα, ἢ τοιαῦτα μαρτυροῦσι τὴν ἐκείνου τυραννίαν, καὶ τὴν δικαίαν τῶν φιλογενῶν αὐτῶν ἀγανάκτησιν· ὅθεν πέρυσιν ἐπιπεσόντες αὐτοῖς οἱ τῆς Ἑλλάδος ἐκ τῶν Μεγάρων σωτῆρες, αὐτά τε ταῦτα τά γε πλεῖστα ἀνέτρεψαν, καὶ τὴν πατρίδα πᾶσαν ἐδῄωσαν, ὡς προσῆκεν ἀνδράσιν ἀτυραννεύτοις. Ἰὼ, ἰὼ πάθη θυμορφόρα, καὶ ἀποτρόπαια, εἰς οἵαν ποτὲ μοχθηρίαν ἐξοκέλλειν ποιεῖτε τὴν ἀνθρώπινον ψύ-

τὰ μὲν, φασὶν, Ἀνατολικῶς· τὰ δὲ ἄῤῥενα, Δυτικῶς κατὰ τὸν πατέρα· εἶτ' ἀπορεῖς, ὅτι ὑστέρῳ ποτὲ χρόνῳ Ἀχαΐδας μὲν ἕξομεν, Ἀχαιοὺς δὲ οὐχ ἕξομεν; σὺ δ', εἰ βούλει, πρόσθες καὶ οὐδετέρους· ἀληθῆ γὰρ ἐρεῖς. Τί οὖν χρὴ ποιεῖν, φαίης ἄν; ἐγὼ μὲν οὔ φημι χρῆναι οὐδαμῶς ἐπίπαν ἀποκοπῆναι τῆς ἀπ' ἀρχῆς Τιθηνοῦ Ἐκκλησίας, ἵν' ᾖ πόθ' ἡμῖν ὕςερον ἀποστροφὴ πρὸς ἐκείνην, τοῦ καιροῦ ποτὲ ἀναγκάσοντος· τοιαῦτα δ' ἡμῖν ἔσονται, ὡς εἰκὸς, οὐκ ὀλίγα· εἰ δὲ μὴ, συνεκκοπῆναι δεῖ καὶ τοὺς ἐν τοῖς νήσοις ἀπὸ τοῦ Πάπα· ἄδικον γὰρ ἄλλως τὸν μὲν πλατύνεσθαι, ἡμᾶς δὲ κατὰ μικρὸν ἀποςενοῦσθαι ἐς τοὔσχατον, μέχρις ἂν ὑφ' ἑνὶ Ποιμένι μία ποίμνη γενώμεθα· ἔνθα συγχωθήσεται ἡμῖν μετὰ τῆς θρησκείας καὶ τὸ τῆς γλώσσης· κἀντεῦθεν ἔσται ποτὲ ἐν ἀδήλῳ τῷ μέλλοντι, ὅτε ἐροῦσιν οἱ ἐπιγιγνόμενοι. Οἱ πατέρες ἡμῶν ἦσαν Ἕλληνες Σχισματικοί. Ἔῤῥωσο.

## *Προκοπίῳ.* (285.)

Ἀνεγνώσθη μοι ἐν Ἐφημερίσιν, ἃ ἠγώνισταί σοι καλῶς πρὸς τὸν Ἄρχοντα· ὁρᾷς ποῦ ποτ' ἐκβήσεται τὰ τῆς Ἐκκλησίας; ὁρᾷς, ὅπως τοὺς μὲν ἀξίους τῆς Συνόδου ἀκρίτους ὑπερορίζειν προῄρηνται· τοὺς δ' ἀναξίους καὶ ἀνατροπέας πρὸ τῆς Συνόδου κεκλήκασι, προδιαθησομένους ἐκ πολλῆς παραγγελίας, ὡς ἂν γένοιτ' αὐτοῖς τὰ πράγματα, ὅπως βούλοιντο οἱ κακῶς ἀπολούμενοι; Ἐγὼ δὲ δέδοικ' ἔτι κἀκεῖνο, μήτι καινοτομησάντων τῶν ἡμετέρων, ἀποκηρύξῃ ὁ Οἰκομενικὸς θρόνος τὴν ἡμετέραν Ἐκκλησίαν, μηκέτ' ἀνεχόμενος δέξασθαι αὐτὴν ἀδελφὴν, ὡς παράνομον· ἀκούω γὰρ πολλὰ βουλομένους τεμεῖν, ὥς τινας τῆς δεισιδαιμονίας παραφυάδας· καί τοι ὁ καιρὸς νῦν οὐ τοῦτο δοκεῖ ἀπαιτεῖν, μεταβαλεῖν

μαθόντες φωνὴν, ἀπὸ τῶν ἀλλοτρίων φιλοτιμοῦνται κομψεύεσθαι· διὸ καὶ αὖθις ἐπέρχεταί μοι μέμψασθαι τὸν ἐν μακαρίᾳ τῇ λήξει γενόμενον σοφὸν Κοραῆν, ὅτι πολλῶν ἀγαθῶν τοῖς Ἕλλησι γενόμενον αἴτιον, τοῦτ᾽ οὐκ ὀρθῶς ἀπεφήνατο, μὴ δεῖν μηδένα γράφειν Ἑλληνιστὶ ὁτιοῦν· ἐνταῦθα δοκεῖ τὸ πρᾶγμα προσκόψαι πρῶτον· εὔωνον γὰρ εὕρημ᾽ εὑράμενοι καὶ μαθηταὶ καὶ διδάσκαλοι, ἀπὸ τῆς Γαλλικῆς πορίζονται τὰ τῶν ἑαυτῶν πλαστουργημάτων κομψεύματα· ὅθεν ἵν᾽ ἐπίσχωμέν τι, ὅσον οἷόν τε, τὸν χείμαῤῥον του..., ᾠήθην ἀνάγκην μοι εἶναι, ἁψάμενον αὖ τῆς γραφίδος, ἐξελέγξαι τὴν πλάνην τούτων, κἂν δόξω προσκρούειν τοῖς ἐπὶ τοιούτοις τραγελάφοις σεμνυνομένοις· ἐντυχὼν γὰρ τῇ τοῦ Πολυζωΐδου ἐκ τοῦ Γαλλικοῦ μεταφράσει, καὶ ἐκπίπτων πανταχοῦ ἐξ αὐτῶν τῶν προοιμίων, ἀνιχνεύων τὴν αἰτίαν, δι᾽ ἣν οὐχ οἷός τε ἦν εἰσδύναι εἰς τὸν νοῦν τοῦ συγγράμματος, εὗρον ταύτην διττὴν, τὴν μὲν ἐξ ἀπειρίας τῆς γλώσσης, τὴν δὲ ἐκ τῆς τῶν Γαλλικῶν ἰδιωμάτων εἰσαγωγῆς· διὸ ἀναπτύξας αὐτὸ τὸ προοίμιον, καὶ ἀντικαταστήσας τὸ ἔκφυλον εἰς τὸ σύμφυλον, ἀποδοὺς ἑκάστῳ τὸν ἀποχρῶντα λόγον, πέπομφά σοι ταῦτα ἐκδοῦναι καὶ κοινὰ ποιῆσαι τοῖς Ἕλλησιν· οὐ γὰρ οἴομαι οὔτ᾽ αὐτὸν τοῦτον τὸν μεταφραστὴν δεινὸν ποιήσασθαι, εἴτις τὰ μὴ καλῶς ἔχοντα, εἰς τὸ ὀρθὸν πειρῷτο μετασκευάσαι· οὔτ᾽ ἄλλον τινὰ τὸν ἐμὸν μέμψασθαι λόγον, ὑπὸ τοῦ λόγου τούτου γε ὠφελούμενον. Ἔῤῥωσο.

*Τῷ αὐτῷ.* (287.)

Ἀνεγνώσθησάν μοι ἐν τῇ Ἀθηνᾷ λόγοι δύο, τὰς ἐμὰς ἁμαρτίας καὶ ἀνομίας ὑπόθεσιν ἐνιστάμενοι. Ἰώ μοι τῷ ἁμαρτωλῷ! Ἀπάντησις τοίνυν ὡς μάλιστα μὲν προσφυὴς, μάλιστα δὲ καὶ ἀληθὴς ταῦτα ἔστω πρὸς ἑκατέρους· πρὸς μὲν τὸν ἀνώνυμον ἡ φερώνυμος ἥδε,

μέγα φρονεῖν, καὶ νόμοις ἐπαίρεσθαι, οὔθ' ὑπὲρ ἀληθείας, οὔθ' ὑπὲρ τῆς Ἐκκλησίας, οὔτ' ἐλευθέρως, οὔτε νομίμως ἐπιτρεπομένοις παῤῥησιάζεσθαι; Ἔμοιγ' οὖν τὸ γεγηρακέναι ἀγαπητὸν, ὡς παραμυθίαν ἐντεῦθεν εὑρισκομένῳ τὴν μετὰ μικρὸν ἀποβίωσιν· ὑμᾶς δ' ἐλεῶ· πολλῶν γὰρ εἰκὸς σὺν χρόνῳ ὑπὸ τῶν Δυτικῶν πειραθήσεσθαι, τέχνῃ καὶ ῥᾳδιουργίᾳ πολλῇ ἐφ' ἡμᾶς τῆς Παπικῆς σαγήνης ἀφανῶς χαλωμένης πρὸς συλαγωγίαν. Ἀγρυπνεῖτε τοίνυν, ἢ [illegible] ἔνεστι, κἂν δέῃ παθεῖν ταὐτὰ Προκοπίῳ, κἂν ἀποθανεῖν· ἵνα μὴ, ὃ ὑπὸ δουλείᾳ ἐν πεντακοσίοις μάλιστα διεσωσάμεθα ἔτεσι, τοῦτ' ἐν ἐλευθερίᾳ νῦν ἀπολέσωμεν λεληθότως. Ἔῤῥωσο.

*Φρασικλεῖ.* (289.)

Ἠλίας ὁ ἐν τῷ Ὀρφανοτροφείῳ ἀλληλοδιδακτικὸς διδάσκαλος, ὁ λόγῳ τε καὶ ἔργῳ πέμπτον ἤδη ἔτος τουτὶ διεπρέψας, ἐφ' ἧς τέτακται ἕδρας, ἥκει παρ' ὑμᾶς, ἀξίωσιν ἔχων παρὰ τοῦ Γραμματέως· ἐδεήθη δέ μου συστῆσαι αὐτὸν τῇ σῇ καλοκἀγαθίᾳ· καὶ δὴ τοῦτ' αὐτὸ ποιῶ, εἰδώς σου τὸ πρὸς τοὺς δεομένους φιλάνθρωπον, καὶ πρὸς τοὺς λόγους ἐρωτικόν· Σύμπραξον τοίνυν αὐτῷ, ἐφ' ᾧ τυχεῖν, ὧν τυγχάνει δεόμενος· τίς δὲ ἡ ἀξίωσις, αὐτὸς διδάξει σε ἐκ τοῦ προσεχοῦς. Ἔῤῥωσο.

Κωνσταντίνῳ. (290.)

Ὡς ἐπὶ Μανδραβούλου ἡμῖν χωροῦσι τὰ πράγματα· σύνοδος γὰρ Ἐπισκόπων γενομένη, καὶ οὐδ' ἐν ὥρᾳ ὅλῃ περὶ τῶν ὅλων συσκεψαμένη, ἀπέκοψε μὲν τὴν ἡμετέραν Ἐκκλησίαν ἀπὸ τοῦ Οἰκουμενικοῦ θρόνου, παρέδωκε δ' αὐτῇ κεφαλὴν τὸν Βασιλέα, τὸν Δυτικὸν τῇ Ἀνατολικῇ. Ἐντεῦθεν ἄρα ἀνοίγεται ὁδὸς τῶν συνήθων ῥᾳδιουργιῶν τῷ Μακαριωτάτῳ Πάπᾳ· νῦν γὰρ μᾶλλον ὑποτυφοῦται ταῖς ἐλπίσι μιᾶς

πόθος εἷλκε· καὶ νῦν οὐχ ἧττον ὁ αὐτὸς ὑποκναίει· ἀλλὰ τὸ γῆρας ἐπιβρῖθον ἀεὶ, ὀκνηρότερόν με πρὸς ταῦτα καθίστησιν. ἠνώχλει δέ μοι καὶ ἡ ἐρημία τῶν φίλων μέχρις οὗ προσγειότερος ἦν· νῦν δὲ κρείττων ἐμαυτοῦ γεγονὼ. (δὸς δέ τι καὶ καυχήσασθαι) ἑτέρῳ τρόπῳ βελτίονι μεμηχάνημαι θεραπεύειν τὸ πάθος. Ὁμήρῳ μὲν γὰρ, καὶ ἄλλῳ τῳ ἴσως θαυμαστὸς Ὀδυσσεὺς, ὅτι πολλῶν οἶδεν ἄστεα καὶ νόον ἔγνω· θεάματα δ' αὐτοῦ Κίκονες ἄγριοι,, Κιμμέριοι ἀνήλιοι, Κύκλωπες ξενοκτόνοι, Γυνὴ φαρμακὶς, Ἀδης, Σκύλλα, Χάρυβδις, τὰ τοιαῦτα, πάντα χολῆς καὶ φόβου μεστά· μόνον δὲ εὔθυμον, μόνον καθ' ἡδονὴν ὁ Ἀλκινόου κῆπος, ὅπῃ ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, καὶ ἐπὶ μήλῳ μῆλον, σταφυλῇ τε ἐπὶ σταφυλῇ φύεται, καὶ σῦκον ἐπὶ σύκῳ· Φιλοσόφῳ δὲ ἡσύχῳ θεάματα κάλλιστα, ἃ ὀνείρῳ ἐναργεῖ ἐοικότα, τῶν Ἀλκινόου ἀνακτόρων καὶ κήπων εἰσὶ πολλῷ κρείττω· ἡ γὰρ ψυχὴ αὐτοῦ πῃ, ἤτοι ἐν Αἰγίνῃ, ἢ καὶ ὅπῃ ποτε τύχῃ, καταλιποῦσα τὸ σῶμα, πᾶσαν γῆν περίεισι καὶ τὴν θάλασσαν· ἐντεῦθεν δ' ἄνεισιν ἐς τὸν οὐρανὸν, πάντα τὸν ἀΐδιον διϊπταμένη αἰθέρα, ἡλίῳ συνθέουσα, συμπεριπολοῦσα σελήνῃ, συγχορεύουσα ἄστροις· κἄπειδὰν τάχιστα τούτων αὐτὴν κόρος λάβῃ, ἐπανελθοῦσα πρὸς τὸν δημιουργὸν, ἀποδίδωσιν αὐτῷ τὴν λατρίαν· οὗπερ οὐδὲν τῶν ἁπάντων, ὃ τοῖς γε γεγηρακόσι πλείω εὐθυμίαν παρέξει. Ἔρρωσο.

Κωνσταντίνῳ. (292.)

Ἀκούω σε πολλὰ ὀδύρεσθαι πρὸς τὴν τύχην, ὅτι μὴ καταλιποῦσα τοὺς ἄλλους, ἐπὶ σὲ εὐμενέστερον βλέπει, ἀθρόον τινά σοι ἐπιδαψιλεύουσα πλοῦτον· ἀλλ' ἀδικεῖς οὐ μᾶλλον ἐκείνην, ἢ καὶ σεαυτόν· ἐκείνην μὲν, ὡς ἱκανῶς εὐνοοῦσαν

Ἔργα δὲ χρηστὰ αὔξει σεμνότης· διὸ οὐχ ὅμοιος τοῦ λοιποῦ ἡμῖν τε κἀκείνοις ὁ πόλεμος· ἀλλ' ἡμῖν μὲν, εὖ ποιεῖν τοῦθ' ὅπερ ἂν δυνώμεθα· ἐκείνοις δὲ, λοιδορεῖν, μέχρις ἂν πᾶσαν ἐκκενώσαντες τὴν φαρέτραν, καὶ αὐτόθεν εἰδότες εἰς οὓς ἐξετόξευσαν, μεταμέλειαν ἄσωσιν· ἔργου γὰρ λόγος σκιὴ κατὰ τὸν Δημόκριτον. Ἔῤῥωσο.

## Τῷ Λογάδῃ. (294)

Οἶδά σε πολλάκις με καταμεμψάμενον τῆς σιγῆς, ἣν τρίτον τοῦτο σεσίγηκα ἔτος· φὴς γὰρ, οἶμαι, κατὰ σεαυτὸν, νῦν ὁ Δούκας, τῆς πάλαι ποθουμένης αὐτῷ ἀπολαύσας ἐλευθερίας, ἐπελάθετο ὅλως τῆς ἀρχαίας φιλίας, χαλκᾶ χρυσέων κατὰ τὸν σκαιὸν Ὁμηρικὸν ἐκεῖνον Γλαῦκον ἀνταλλαξάμενος. Ἐγὼ δ' οὖν φιλίαν μὲν οἶδα τιμᾶν, καὶ νῦν τιμῶ ἐν τοῖς μάλιστα· διὸ καὶ μέλλων ἀπαρεῖν ἐκ Βουκουρεστίου, διὰ τῆς τοῦ Βύζαντος προειλόμην ἐκπεριπλεῦσαι, ὡς τἆτ' ἄλλα αὐτοῦ καὶ τοὺς φίλους ἐπισκεψόμενος· ἀλλ' ἡ χολέρα, ὥσπερ χείμαῤῥός τις, εὐκρυεῖσα πανταχοῦ τηνικαῦτα, καὶ ἄλλῃ ἄλλως κατὰ πολλοὺς ἑλιγμοὺς ὁδῶν διὰ μεσογαίας διαπλανᾶσθαι ποιήσασα, εἰς Αἶνον τελευταῖον ἠνάγκασεν ἡμᾶς κατελθεῖν. Οὕτως οὖν ὑμῶν τε καὶ τῶν παρ' ὑμῖν καλῶν παρὰ γνώμην ἐγενόμην ἀθέατος. Ἐντεῦθεν δ' αὖ πάλιν ἕτερα χείρω τῶν πρώτων ἀπήντηκεν· ἑξηκοστῇ γὰρ ἡμέρᾳ, ἀφ' ἧς τὸ πρῶτον ἀνέζευξα, ἀποκαταστάντος ἐν Αἰγίνῃ, συνέβη ἡ τοῦ ἀγαθοῦ Κυβερνήτου, ὡς μὴ ὤφειλε, δολοφονία, ἐξ ἧς ἄλλ' ἐπ' ἄλλοις ἔπειτα κακὰ χειμάῤῥου δίκην ἐκραγέντα ἐκεῖθεν, οὐχ ὅπως φίλων, ἀλλὰ καὶ ἑαυτῶν, εἴγε ζῶμεν, ἐποίησεν ἀμνηστεῖν. Νῦν δ' οὖν ἀποκαταστάντων αὖ ἡμῖν τῶν πραγμάτων, τίποτε πράττομεν; οὐδὲν, ἀλλ' ἢ μεμνήμεθα τῶν πάλαι, καὶ τιμῶμεν φιλίαν· ὅσον δ' ἕνεκα τῆς ἐλευθερίας, περὶ ἧς

τοσούτων ἀγώνων καὶ κινδύνων ἡ Ἑλλὰς παραπήλαυσε· τὸ γὰρ μέλλον, ἀρχῆς ἐπιλαβόμενον πονηρᾶς, φιληδεῖ ἐνδιατρίβειν καινοτομίαις. Ταῦτά μοι θλιβερὰ, καὶ πολλῆς ἔθ' ὑπονοίας μεστά· καὶ τὸ χείριστον, εἴτις ἐπὶ μακρότερον βλέπων, εἴποι γνώμην, περὶ ὧν ὑπονοεῖ, εὐθὺς ἕτερος ἀντετόξευσε τὸ τοῦ Ἀποστόλου· ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρά σου, τὴν τοῦ Δενδρινοῦ ἐπὶ τούτοις ἀπροσδόκητον φυγὴν αἰνιττόμενον. Ἔῤῥωσο.

Τῷ *Φιλεταίρῳ.* (295.)

Κωνσταντῖνος ὁ Κανάρης (οἶσθα γὰρ τὸν τῶν Ἑλλήνων Ἀντιναύαρχον· ὃς τὴν τοῦ Σουλτάνου ναυαργίδα παρέδωκε τῷ Ἡφαίστῳ αὐτῷ Ναυάρχῳ περὶ τὴν Χίον) ἐδεήθη μου παραδέξασθαι τοὺς ἑαυτοῦ παῖδας ἐπὶ παιδείᾳ· ἀλλ' ἐγὼ οὐδ' ἄλλως ἐπιτηδείως ἔχω νῦν διὰ γῆρας τεχνυδρίοις ἔτι ἐνδιατρίβειν λόγων, καὶ τὸ πλέον, ὅτι μετὰ μῆνας οὐχ ὅλους δύο μέλλω μεταβήσεσθαι εἰς Σύραν, τὰς τῶν ἐμαυτοῦ πόνων ἐκδόσεις αὐτοῦ ποιησόμενος. Σοὶ τοίνυν ἔξεστι ἀναδέξασθαι ἀντ' ἐμοῦ τοὐπάγγελμα τοῦτο· τί γὰρ οὐχί; ὅ,τε γὰρ ἀνὴρ τῶν ἐνδόξων, καὶ οἱ παῖδες εὖ πεφυκότες καὶ μάλιστα εὐπειθεῖς· σὺ δὲ πρόσθες καὶ τὴν σαυτοῦ χρείαν· δι' ἣν χάριν εἴσῃ τῇ τε τύχῃ, κἀμοὶ τῷ συστήσαντι. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (296.)

Τίποθ' οὕτω ταράττει σε τὰ τῶν ἀνοήτων φυσήματα; ὅτι ὁ Φρῦνος προὐπηλάκισέ με, ἄνω καὶ κάτω διασκάψας τὸν Πρόλογον; ἀλλ' ἔσθ' ὅπου ἑώρακας αὐτὸν, οὐχ ὅλον λόγον, ἀλλ' ἐπιστόλιον γοῦν πρός τινα ἐν Ἀττικῇ φωνῇ συντάξάμενον· πόθεν; Πότερον δ' οὖν, τοῖς τὴν Ὄλυνθον μὲν καθελοῦσιν,

*Κωνσταντᾷ.* (298.)

Οἱ μὲν πολλοὶ θεῷ τε καὶ τῇ τύχῃ τὰς τῶν ἐπιθυμιῶν ἀποτυχίας, καὶ τὰς τῶν κακῶν αἰτίας φιλοῦσι ἀποδιδόναι.

„ . . . . Ἐγὼ δ' οὐκ αἴτιός εἰμι·
„ Ἀλλὰ Ζεὺς, καὶ μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννύς.

Τοιαῦτ' ἄττα λέγοντες, μεμψιμοιρεῖν εἰώθασι πρὸς τὴν Πρόνοιαν, πλανωμέναις δόξαις ποιητῶν εἰκῇ καὶ ὡς ἔτυχε παραμυθούμενοι τὸ λυπούμενον· ἀνὴρ δὲ φιλόσοφος, ὃς οἶδεν, ἅτε ἐστὶν ἐφ' ἡμῖν, καὶ ἃ μὴ, πράττων μὲν ἐκείνων τὰ χρηστὰ, ἀποφεύγων δ', ὡς εἰκὸς, τὰ φαῦλα, ἥδεται· ἐπὶ δὲ τὰ, οὐδὲ τὴν ἀρχὴν ἥκειν ἀξιοῖ, ἵνα μὴ ἀποτυγχάνων λυποῖτο· διὸ καὶ εἴπου ὑπερβὰς τὸν φιλόσοφον τοῦτον κανόνα, ἀποτύχοι τινὸς, οὐχ' ἑτέρῳ, ἑαυτῷ δ' ἀποδίδωσι τὴν τούτου αἰτίαν, Ἐπικτήτῳ πειθόμενος· ὃς τάτ' ἀγαθὰ, τάθ' ὡς ἑτέρως ἔχοντα ἰδιώτῃ μὲν ἔξωθεν, φιλοσόφῳ δὲ οἴκοθεν προσγίγνεσθαι ἀπεφήνατο. Τί οὖν μάτην ἀγανακτοῖμεν καὶ ἡμεῖς; εἴτινες ἀφ' ἑτέρας φιλοτιμίας ὁρμηθέντες βασκάνου καὶ ἐμπαθοῦς, ἀνέτρεψαν τὸ τῶν Ὀρφανῶν Καταγώγιον; ὅτι νὴ Δία ἔβλαψαν τὸ κοινὸν τῆς παιδείας ἐκείνους ἀποστερήσαντες; καὶ μὴν τὸ κοινὸν, τοῦτ' ἐστὶ τοῦτο αὐτὸ κοινὸν καὶ οὐκ ἴδιον ἡμῶν αὐτῶν, ἐφ' ᾧ ἂν καὶ μόνοι δικαίως λυποίμεθα· τὰ δ' ἡμέτερα, ὅσ' ἀληθῶς τοιαῦτά ἐστὶ, ταῦτ' ἐστὶν ἀεὶ ἀβλαβῆ, ἀναφαίρετα, κρείττω φθόνου παντός· οὔτε γὰρ εὖ ποιεῖν ἡμᾶς ἂν εὐπροσώπως ἀπείρξειαν, οὔτε θεῷ συγγίνεσθαι, ἅπερ ἡμῶν εἰσιν ἔργα νῦν, κωλύσουσι πώποτε. Ἔῤῥωσο.

*Φιλεταίρῳ.* (299.)

Ἐψεύσαθ' ἡμᾶς ἆρα Καλλίνικος, ὁ παρ' ἡμῶν φιλούμε-

ὅλως τῷ σώματι κεκμηκὼς πρὸς τὴν πάλην. Ἀλλ' ἐπειδὴ δεῖ καὶ ταῦθ' ἔτι προστεθῆναι τοῖς φθάσασιν, ἅτε δὴ οὐ σμικρὰ τῇ νεολαίᾳ ὑπισχνούμενα συντελέσειν, εἴτις σοι πόθος τῶν καλῶν, εἴτις ἔρως πατρίδος ἐγκάθηταί σοι, καὶ λόγος τίς ἐστιν ἐμοῦ παρά σοι, ἕπου ἐμέ τε τῶν πόνων τὸ μέρος ἀνακουφίσων, καὶ σεαυτὸν ἀπαλλάξων ἀκαίρου πλάνης· ἐκεῖσε γὰρ, ἅμα κατασκευασθέντος τυπογραφείου, ἀπαρῶ, τύποις ἐκδώσων, ἃ ἐπεξεργασάμην τὸ δεύτερον. ἀπογνοὺς ὅλως τῆς βασιλικῆς χορηγίας· ἐκεῖθεν γὰρ ῥᾷων ἡ τῶν βίβλων διανομὴ γένοιτ' ἂν, ἐφ' ἃ προσδιώρισται, ὡς ἀπὸ κέντρου πρὸς περιφέρειαν τῶν ἐμπόρων πρὸς τὰ ἔξω ἐφικνουμένων. Ἀλλ' οὐδέ σοι, μέχρις ἂν παραμείνῃς μοι, ἄμισθα ταῦτα ἔσται, κἂν θάψῃς με μεταξύ· σὺ γὰρ ἀντ' ἐμοῦ τὰ λοιπὰ διαιτήσας, παρά τε θεοῦ (ἐῶ γὰρ τἄλλα) ἀντιμισθίαν ἀξίαν λήψῃ, καὶ παρὰ ἀνθρώπων τὸν ὀφειλόμενον ἔρανον. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (302.)

Φρασικλέα τὸν φιλολόγον τὸν ἐπὶ τῶν ἀποῤῥήτων παρὰ τῷ Προέδρῳ γεγενημένον, προδοσίας φασὶν ἁλῶναι· οἱ δὲ οὔ φησι τοῦτο, ἀλλ' ἐπιστολὴν γράψαντα, πολλὰ καταμέμψασθαι τὸν Πρόεδρον πρὸς τὸν τῶν Βαυαρῶν Βασιλέα, ἐφ' οἷς πάσχουσιν δῆθεν οἱ Ἕλληνες ὑπ' αὐτοῦ, τοῖς ἐκ Φαναρίου, μόνοις πρὸς τὰ πράγματα χρησαμένου, τοὺς γὰρ ἄλλους τῶν Ἑλλήνων, ὧν οἱ ἀγῶνες οἱ πολλοὶ καὶ οἱ κίνδυνοι, οἷοι καὶ ὅσοι ἐν τοιούτῳ καὶ τοσούτῳ πολέμῳ συνέβησαν, τούτους ἐρίῳ κατὰ Πλάτωνα στέψας, ἀπέπεμψεν ἀποζήσοντας, ὅπως προχωροίη ἑκάστῳ. Εἰ μὲν οὖν τοῦτ' εἴη μόνον, οὐ δέδοικα περὶ αὐτῷ μή τι πάθῃ. οὐ γὰρ ἂν εἴη ἔγκλημα ὑπὲρ τοῦ υἱοῦ πρὸς τὸν πατέρα γράφειν τὰ δόξαντα, εἴτις καταχρῷτο

τοῦ λοιποῦ, ἄλλοτ' ἄλλης μὲν γαίας ἐρῶν, οὐδεμιᾷ δι' ἀρεσκόμενος ἀραρότως. Ἔγνων τοίνυν μεταβῆναι εἰς Σύραν, φίλους τε αὐτοῦ, εἴγ' εὕροιμι, οἵους καὶ ἀξίους γε εἶναι, νέους ἐπικτησόμενος, καὶ τῶν συνήθων ἔργων, ὧν ἄνευ ὁ βίος ἔμοιγ' ἀβίωτος, ἀντιληψόμενος αὖθις ἐξ ὑπαρχῆς· τούτων δὲ περαιωθέντων, ἐλθὼν τὸ τελευταῖον ἐς Ἀθήνας, τεθνήξομαι· καί μοι εἴη τοῦτ, ὦ σῶτερ· εἴη, ὦ πάτερ καὶ εὐεργέτα. Ἔρρωσο.

## Κωσταντᾶ. (305)

Μὴ σφόδρα δάκνου, ἐφ' οἷς οἱ πονηροὶ ἐπηρεάζειν σὲ ἐπεβάλλοντο· νὺξ γὰρ ἡμέραν, καὶ φῶς διαδέχεται σκότος, οὕτω τῶν ἀνθρωπίνων μεταβαλλόντων ἐφ' ἑκάτερα ἐν πολλαῖς τοῦ βίου μεταξὺ περιστάσεσιν· ἐν οἷς ἐλπίς τε καὶ φόβος, ἡδονή τε καὶ λύπη ἐκ διαδοχῆς ἀλλήλοις στρεφόμενα, εὐφραίνουσι καὶ λυποῦσιν ἐν μέρει μέχρις οὗ καρπὸν γῆς ἐσθίομεν, καὶ ὑπὸ τῶν ἐγκειμένων παθῶν ἀγόμεθα καὶ φερόμεθα· ἁλύσει γάρ τις τὸν βίον παρεικάζει μακρᾷ, ἧς οἱ κρίκοι, οὐχ ὅμοιοι ἀλλήλοις εἰσίν· ἀλλ' οἱ μὲν χρυσοῖ, οἱ δὲ σιδηροῖ παραλλὰξ διειρμένοι ἀλλήλων, τήν θ' ἡδονὴν καὶ τὴν λύπην ἀλληλοδιαδόχως ὑπαινιττόμενοι· ὧν ὁ τελευταῖος μείζων τῶν πρὸ αὐτοῦ καὶ χρυσοῦς ὢν, μείζω καὶ τὴν εὐφροσύνην παρέχει· ἔσται δ' οὗτος ὁ θάνατος, ὡς παῦσις πάντων τῶν λυπούντων γιγνόμενος. Οὐκοῦν ἡμεῖς γε ἄμφω, ἐσχατόγηροι ἤδη γεγενημένοι, τοσούτῳ τῶν ἄλλων μακαριώτεροι, ὅσῳ γ' ἐσμὲν ἐκείνων ἐγγυτέρῳ τοῦ μεταστῆναι ἐντεῦθεν πρὸς τὴν ἄκρατον καὶ ἀκήρατον εὐθυμίαν τῶν φιλοσόφων. Μὴ οὖν ἄλυε ἐπὶ τοῖς παροῦσιν, ἀλλ' Ἔρρωσο πρὸς τὰ μέλλοντα.

εἴποι τις ἂν, τίποτε μαθόντες ἐσπεύσαμεν ἐπὶ ταῦτα, καταλιπόντες τὰ συνήθη καὶ φίλα; ἔγωγε μὲν οὐκ ἂν εἴποιμι τὸ τοῦ Ἑρμοῦ,

« Ζεὺς ἐμέγ' ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα,
» Τίς δ' ἑκὼν τοσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ,
» Ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις.

ἑκὼν γὰρ αὐτός γ' ἐλθὼν, οὐ μεταμεμέλημαι· πράττων δὲ τοῦθ', ὅπερ ἔτι ἐπ' ὠφελείᾳ κοινῇ ἔμοιγ' ἐστὶν ἐφικτὸν, ἡσυχίαν ἄγω ἰδιωτεύων καὶ φιλοσοφῶν ἐν τοῖς τῶν πολλῶν ἁμαρτήμασι, κἂν δοκῶ τῳ ἰδιόρρυθμος εἶναι, κἂν κωμῳδῶμαι, ὡς ἐν θεάτρῳ. Ἔρρωσο.

*Φιλιταίρῳ.* (307.)

Ἀκούω σε μέμφεσθαί με τῆς σιωπῆς, πολλὰ πολλῶν μου καταδολεσχούντων ἐν Ἐφημερίσιν· ἀλλ' ἀδικεῖς με, τοῦτό μοι ποιούμενος ἔγκλημα· εἰ μὲν γὰρ ἐπ' ἀγαθῷ καὶ σὺν λόγῳ ἦν διαφέρεσθαι πρὸς ἀνθρώπους λυσσῶντας, ἦν ἄν σοι καὶ λόγος τῆς μέμψεως δίκαιος, ὁρῶντί με, τῶν πατρῴων καλῶν ἀγομένων καὶ φερομένων, ψυχρῶς διακείμενον· νῦν δ' ἐλευθερίας οὔσης τοῖς μαίνεσθαι βουλομένοις, τὸ ἐκ παντὸς τρόπου ζητεῖν μαχομένους νικᾶν, τοῦτ' ἀλεκτρυόνων ἂν εἴη γενναίων, οὐκ ἀνθρώπων σεβομένων τὰ καθεστῶτα. Ἔρρωσο.

Τῷ αὐτῷ. (308.)

Ἐπειδὴ γράψας, οὐκ ἔπεισά σε, ἀνθ' ὅτου χρῆμε σιγὴν ὡς ἐν καιρῷ πονηρῷ προτιμῆσαι πρὸς τοὺς φθόνῳ καταλυσσῶντάς μου, οἶδ' ὅτι μετά τινος ἱστορίας κατασιγάσωσε. Ἀνὴρ Φρὺξ, ἐπ' ὄνου καθήμενος, ἤλαυνεν· ὡς δὲ ἐθεάσατο κορώνην, ἥ ἔμελλε παριέναι, οἰηθεὶς αὐτῷ εἶναι οἰωνὸν, ὑποκαταβὰς λίθῳ βαλὼν, ἔδοξεν ἀποκτεῖναι· νομίσας οὖν τετράφθαι τὸ κακὸν ἐπ' ἐκείνην, ἀνελόμενος, αὖθις ἤλαυνε τοῦ

πρὸς ἑκάτερα, οὕτωσὶν ἐξ ἀρχῆς τὸν ἀπράγμονα προελόμενος βίον· πρᾶξις γὰρ καὶ θεωρία εἴτῳ δοκοῦσι κατὰ τὸ ἄκρον συνελθεῖν, τοῦτο θείᾳ μοίρᾳ δοκεῖ προσγενέσθαι. Τί οὖν βουλοίμην ἄν σε ἀπὸ πάντων ἑλέσθαι; ἢ τοῦτο δὴ, τὸ γ' ἕτερον τοῦ Ξενοφῶντος, γραφικόν σε γενέσθαι καὶ ὠφέλιμον πλείστοις· δυνατὸν γὰρ καὶ ἐν οἷς γ' οὐ πέφυκέ τις τοὺς πεφυκότας καὶ στρατηγοὺς καὶ πολιτικοὺς τελειοῦν, οὑτωσὶν ἀφ' ἁπλῆς ὁρμώμενον θεωρίας· λέγεται γὰρ καὶ Ἰσοκράτης, δειλὸς ὢν αὐτὸς, καὶ πάνυ ἰσχνόφωνος παρελθεῖν εἰς τὸ βῆμα, ἀλλ' οὖν γ' ἀγαθοὺς καὶ δεινοὺς λέγειν ἐν τῷ δήμῳ τοὺς ἑαυτοῦ παρεσκεύαζε μαθητάς· ἀφ' ὧν πολὺς ἔτι καὶ νῦν αὐτῷ ἐστιν ἔπαινος· οὐ γὰρ ἐκ τῆς πράξεως μᾶλλον, ἢ ἐκ τῆς γνώμης τοῖς ἀνθρώποις τὸ ἔνδοξον παραγίνεται· οὐδὲ γὰρ ὁ Γρύλλου, οὗσε μιμητὴν γενέσθαι ἐφίεμαι, ἐξ ὧν ἐστρατήγησε τοσαύτην ἐκτήσατο δόξαν, ἀλλ' ἐξ ὧν στρατηγούς τε καὶ πολιτικοὺς ἐξεπαίδευσε τῶν τε δεόντων καὶ μὴ, ἔχεσθαι καὶ ἀπέχεσθαι, εἴπερ βούλοιντό τινες μνήμης ἀγαθῆς κατορθοῦντες τυγχάνειν, ἐς τοσοῦτον ἤρθη δόξης, ἣν οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν· εἰ γὰρ τὸ περὶ Ἀναβάσεως ἐπισταμένως καὶ ἐπιμελῶς ἐθελήσειέ τις διελθεῖν, εὑρήσει τὴν ἐκείνου δύναμιν γοητείᾳ προσεοικέναι, οὐ γὰρ ἔσθ' ὅ,τι ποτ' εἰπὼν, οὐκ ἂν ἔπεισεν, οὐδ' ὃ ἔπεισε, μὴ θείως πως ἂν ἔδοξεν εἰρηκέναι· ἀλλὰ τῇ αὐτῇ δυνάμει ὁμοίως καὶ στασιάζοντας τοὺς στρατιώτας ἐπὶ τοὺς στρατηγοὺς κατεσίγαζε, καὶ ἐπηρμένους ἀκαίρως ἐπὶ τοὺς πολεμίους ἀνέστελλε, καταστέλλων παντοίως τὸ θρασυνόμενον, καὶ τοὺς καταπεπτωκότας ἀθυμίᾳ φρονήματος ἐνεπίμπλα καὶ προθυμίας· τούς τε στρατηγοὺς αὐτοὺς ἰδίᾳ τε καὶ ἐν συλλόγῳ κοινῇ ἐνίκα γνώμῃ ἐν τῷ αὐτοσχεδιάζειν τὰ δέοντα· ἐξ ὧν δῆλον, οἷος ἂν ἐγένετο ὁ ἀνὴρ, εἰ καὶ πολιτικῶν πραγμάτων Ἀθήνησιν ἥψατο· ταῦτ' οὖν πείθει με συμ-

Τούτους οὖν ἐατέον αὐτοὺς παρ' ἑαυτῶν τὴν δίκην ἔχειν· ἐν γὰρ ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας· ἡμῖν δὲ καλῶς ἔχει ἀναχωρεῖν ἐντεῦθεν· τίνα δ' ἀναχώρησίν φημι, καὶ ποῖ δήποτε; οὐκ ἐκ τῆς Αἰγίνης· ἀλλὰ τὴν βελτίστην τε καὶ φιλόσοφον· βελτίστη δὲ ἡ εἰς ἑαυτὸν ἀναχώρησις καὶ τὸ προσέχειν τινὰ ἑαυτῷ κἂν ἐν Αἰγίνῃ, κἂν ὅπη ᾖ· ὁ γὰρ νῦν καιρὸς μονονουχὶ λέγει φωνὴν ἀφιεὶς, φιλοσόφει κατὰ σεαυτὸν, τὰ τοῦ θεοῦ τῷ θεῷ ἀποδιδοὺς, καὶ τὸν πλησίον ὠφελῶν ὅτι ἂν οἷός τε ᾖς, καὶ τοῦτο λανθάνων, ἵνα μὴ αὖθις τὸν φθόνον ἀνεγείρῃς· οὐ γὰρ ἀνέξονταί γε οἱ πονηροὶ, ὁρῶντες ἡμᾶς καὶ ἐν γήρως οὐδῷ ἐπιδαψιλεύοντας τὰς εὐεργεσίας· διὸ ἔγωγε μὲν ἔγνων ἀπᾶραι εἰς Σύρας, τὰς λοιπάς μοι τῶν βίβλων αὐτοῦ, κατασκευασθέντος τυπογραφείου, μέχρις ὅτου σώζει με ὁ θεὸς, τύποις καὶ ταῦτ' ἐκδώσων. Εἰ οὖν καί σοι τοῦτ' ἀρέσκει (τί δ' οὐχί;) ἕπου, τὴν ἡδίστην ξυναυλίαν μετ' ἐμοῦ ποιησόμενος. Ἔῤῥωσο.

## Τῷ Κύρῳ (311.)

Εὐσέβεια, δικαιοσύνη, καὶ σωφροσύνη ἀρετῆς τρίπλοκον ἐστι σπαρτίον, ἐν ᾧ τὰ τῶν ἀνθρώπων καθήκοντα περιέχονται μάλιστα· ἔστι γὰρ τούτων ἡ μὲν τὰ πρὸς τὸν θεὸν ὀφειλόμενα παρ' ἡμῶν ἀπαιτοῦσα· ἡ δὲ, μετρίους καὶ δικαίους πρὸς πάντας εἶναι· ἡ δὲ τρίτη τὸ καθ' ἑαυτὸν ἕκαστον κατὰ τρόπον διαιτᾷν εἰσηγεῖται, τῷ γνῶθι σαυτὸν ἐπερειδομένη. Τούτων οὖν ἐχόμενος καὶ σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς κατὰ τὸν Ἀπόστολον πορευόμενος, οὐ μόνον χριστιανὸς, ἀλλὰ καὶ πολίτης χρηστὸς ἀποβήσῃ, ὧν ἄλλως θάτερον παρὰ θάτερον ἐστὶν ἀτελές. Χρῶ δ' οὖν πρὸς ταῦτα τῇ φρονήσει τετάρτῃ οἷα δὴ λυχνοφόρῳ· ἄνευ γὰρ ταύτης ὡς

Ἀλλ' ὅτι ἐκ τῆς ἐκείνου πηγῆς, οἷον ῥεύματα προνοίας ἐπὶ πᾶσαν φύσιν θείαν τε καὶ ἀνθρωπίνην ἐκρέουσι. Τούτων οὖν εἴτι καὶ ἡμεῖς θεομιμήτως ῥευμάτιόν τι ἠβουλήθημεν ἐκ ϛοργῆς μετοχετεῦσαι πρὸς τοὺς Ὀρφανούς, καὶ ἀρδεῦσαι τὴν ψυχὴν αὐτῶν εἰς σωτήριον κάρπωσιν, οὐκ ἂν εἴην δίκαιος προπηλακίζεσθαι οὕτω παρὰ σοῦ, ὅτι ἐπεσκεπτόμην καὶ ἤρδευον λόγῳ τὰ, ὡς φὴς αὐτὸς, ψωλαρέα καὶ πειναλέα· ἀλλ' ὤφειλες μάλιστα ἐπαινεῖν, ὅτι τοιαῦτα ὄντα ἐπεβαλόμην ἄνδρας ἀγαθοὺς αὐτοὺς ἀπεργάσασθαι· εἰ δὲ δεῖ καὶ ὑπερβολῇ πρὸς σὲ χρήσασθαι, καὶ δῖον προσαγορεύειν. Ἔῤῥωσο.

*Κύρῳ.* (313.)

Ἧκέ τις ὡς ἐμὲ τούτων δὴ τῶν ἐπὶ κτήσει σοφίας πανταχόθεν συῤῥεόντων ἐνταῦθα, τῆς Ἀλγέβρης πολὺν ποιούμενος λόγον, καὶ ταύτης πρὸ πάντων γενέσθαι γλιχόμενος ἐγκρατής· ὡς δὲ ἐρωτηθεὶς εἴτινα τῶν συγγραφέων καὶ ποιητῶν μελέτην εἴη πεποιηκὼς, οὐκ εἶχεν ὅ,τι καὶ ἄξιον φθέγξασθαι· οὐδ' ὅ,τι πόθ' ἕκαστος ἐκείνων συγγέγραφεν, εἰπεῖν καθαρῶς· ἠρόμην δὲ αὖθις αὐτοῦ, τί ποτε βούλεται χρήσασθαι τῇ Ἀλγέβρῃ, τῆς Σωκρατικῆς παιδείας ἄγευστος ὢν, καὶ ταῦθ' ἱερεὺς ὢν (ἦν γὰρ μοναχὸς), παρ' οὗ ὁ πολὺς ἄνθρωπος ἐλπίζει τὴν τοῦ ἤθους βελτίωσιν, τῆς ἐπιστήμης ἐκείνης ἀγόνου οὔσης πρὸς ταῦτα παντάπασιν; ὁ δὲ ἀπεκρίνατο καὶ πρὸς ταῦτα, ὅτι οὐκέτ' ἂν ἀνάσχοιτ' ἀκούων μέγα μὲν αὐχούντων τινῶν ἐπ' αὐτῇ, αὐτὸς δὲ μηδὲν εἰδώς· κἀκείνους μὲν ἐπαινούντων ἁπάντων, αὐτοῦ δὲ καταφρονούντων· ὡς δὲ πολλῶν πρὸς ἀλλήλους λόγων μεταξὺ ἡμῖν εἰρημένων, ἤκουσεν, ὅτι κρεῖττόν ἐϛιν ὑφ' ἑνὸς ἐπαΐοντος ἐπαινεῖσθαι, ἢ ὑπὸ μυρίων ἀνοήτων κροτεῖσθαι, ἀναστὰς ἀπῆλθεν οὐκ οἶδα παρ' ὁποτέρους,

ἦν θαυμαστὸν, εἰ τοιοῦτοι ὄντες, ἀπέσχοντο τοῦ ἄξια ἑαυτῶν καταπρᾶξαι· συνεπιτροπεύειν γὰρ τριάκοντα πρὸς τοῖς τριακοσίοις Ὀρφανῶν προστεταγμεθα, τοῦτο δ' ἦν παρὰ τῆς τηνικαῦτα πονηρᾶς ἀρχῆς ῥάβδῳ καὶ μάστιγι χρῆσθαι πρὸς παῖδας, οὓς ἥτε φιλοσοφία καὶ ἡ θρησκεία ὁμοίως κελεύει παραμυθεῖσθαι τοῖς δάκρυσιν· Οὕτως οὖν μεταβαλὼν τὴ ἀφιλόστοργον ἀρχὴν εἰς φιλόστοργον πρόνοιαν, ἀνεδεξάμην οἴκοθεν ἀντὶ ἄρχοντος γενέσθαι διδάσκαλος· ἐντεῦθεν ἄρα τῷ ἐπαγγέλματι δραστηρίως χρησάμενος, ἐπιδόσεως γενομένης τοῖς Ὀρφανοῖς καὶ τῶν εὐνοούντων ἐν ταῖς τῶν μαθημάτων δοκιμασίαις κροτούντων καὶ εὐφημούντων, ηὑράμην τὴν προσηγορίαν ἀντὶ τοῦ ἐπιτρόπου καλεῖσθαι, ὡς εἰκὸς, πατὴρ καὶ διδάσκαλος. Τοῦτ' οὖν προσθήκη τῷ φθόνῳ, καὶ ἐρεθισμὸς ἦν τὸ Καταγώγιον ἀνατρέψαι, τήν τε τοῦ κτίτορος μνήμην καὶ τὴν ἐμὴν εὐδοξίαν μὴ ἀνεχομένους ἀκούειν, ἢ αὐτοὺς μὴ ζῆν. Τί οὖν ἔδει ποιεῖν, οἷς ταῦθ', οὕτω γιγνόμενα, πολέμια ἦν; ἢ ἄλλου ἄλλοθεν δόλους τυρεύσαντας, ἐπὶ τὴν συκοφαντίαν καταφυγεῖν, ἵν' εὐπρεπέστερον τὸ ἱερὸν Καταγώγιον διαλύσωσιν, ὃ καὶ ἐποίησαν, ὡς μὴ ὤφειλον. Ἔρρωσο.

Ἰωάννῃ. (316.)

Μέγα μὲν ἡ ἐλευθερία καὶ πάντων τῶν παρὰ θεοῦ ὑπηργμένων ἡμῖν τὸ μέγιστόν τε καὶ τιμιώτατον· ἀλλὰ τὸ πλάσμα τοῦτο, τὸ τὴν δωρεὰν εὑράμενον ταύτην, τὸ ὕστατον μὲν τῇ τάξει τῶν ἄλλων κτισμάτων, πρώτιστον δὲ τῇ φύσει καὶ τῇ ἀξίᾳ, κατεχρήσατο παραβόλως τῷ δώρῳ πρὸς παράβασιν τῆς δεσποτικῆς ἐντολῆς· ὥστε, παρεισδύσης ἐντεῦθεν τῆς ἁμαρτίας, ἐχώρησεν ἔπειτα εἰς φόνον ἀδελφικόν. Ἐντεῦθεν

Μαρτυροῖ δέ μοι ταῦθ' ἡ φθάσα λυσσώδης τῶν ἐκ τῶν Μεγάρων ἐλευθερία· ἢ ἐν βραχεῖ χρόνῳ ἐξέσπασε, καὶ ἐξέκοψεν αὐτόπρεμνον ὅ,τι ποτὲ καὶ μόλις ὡς ἐν πολλαῖς περιστάσεσιν ἡ πρὸ τούτου φρόνησις οἵα τε ἐγένετο ἐμφυτεῦσαι καὶ καλλιεργῆσαι· καὶ εἰ μὴ ἔφθη ὁ Ἡγεμὼν ἐλθὼν σὺν βραχίονι ἰσχυρῷ, ἡ Ἑλλὰς ἂν ἦν ἤδη ἡ Μουσῶν κατὰ τὴν παροιμίαν λεία, ἕρμαιον μανίας γεγεννημένη. Οὕτως ὁ ἔμπληκτος ἄνθρωπος, ἐπειδὰν ἐκστὰς τοῦ ἠθικοῦ, ἐπιτρέψῃ ἑαυτὸν ἀλογίᾳ, τὸ κρεῖττον ὑποτάξας τῷ χείρονι, ἄγεται καὶ φέρεται ὑπὸ τῶν ἐπιθυμιῶν, καὶ οὐκέθ' ὁρᾷ ἐς τοὐπίσω· ἀλλ' ἀφανιάσας, ὥσπερ ἵππος καταφέρεται, καθάπερ οἰστρηλατούμενος, ὅποι τύχοι, ἓν μόνον βλέπων, εἰς τέλος ἀγαγεῖν, ὃ τὸ πάθος μόνον νομοθετεῖ, καὶ τοῦτ' ἐςὶ τὸ θρυλλούμενον τοῖς μαινομένοις ἐλεύθερον· ἀλήθεια δὲ καὶ ἁπλότης, καὶ αἰδὼς, καὶ ὅ,τι ἂν εἴη τῆς ἀρχεγόνου ἐλευθερίας ἐκείνης σεμνὸν καὶ φρόνιμον ἀποκύημα, ταῦτ' αὐτῷ γέλως πλατύς. Τοιοῦτοι οὖν τινες ἀναίσχυντοι μὲν οἷς λέγουσιν, ἀκράτητοι δ' ἐν οἷς πράττουσιν· ἀλόγιστοι μὲν ταῖς ὁρμαῖς, ἀφρόντιςοι δὲ τῶν ἀποβάσεων· ἀφανεῖς μὲν ἐν τῷ φωτὶ, προκύπτοντες δὲ ἐκ τοῦ σκότους τῆς ἀνωνυμίας, οὐ παύονται ἐν ταῖς Ἐφημερίσι προπηλακίζοντες ἐκ τοῦ ἀφανοῦς δύο γέροντας, οὓς αὐτοὶ ὤφελον μάλιςα σέβεσθαι, εἰμὴ δι' ἄλλο τῶν πάνταν, ἃ οὐκ ἐμὸν καταλέγειν ἐνταῦθα· ἀλλ' ὅτι γε ὁ βίος αὐτῶν γέγονεν ἐπιπονώτατον ςάδιον προαγώνων ἀδιαλείπτων τῆς ὑπαρχούσης τῶν Ἑλλήνων ἐλευθερίας, ἐν ᾗ αὐτοὶ νῦν ταῖς τῆς τύχης ἐπαιρόμενοι αὔραις, καταλακτίζουσιν ἡμῶν, ὥσπερ πῶλοι, μώμους εἰς τὸ ἦθος περιάπτοντες ἡμῖν ὡς διαφθορεῦσι καὶ λυμεῶσι τῶν νέων ἀνοσίους, οἱ ὄντος ἀνόσιοι Μέλιτοι καὶ Ἄνυτοι· ἄχθονται γὰρ ὁρῶντες ἡμᾶς διαβεβιωκότας αὐτοῖς ἀνομοίως, καὶ ἀγώνισμα καὶ μελέτην πεποιημένους τὴν τῶν Ἑλλήνων

Ἔχω γὰρ φαρμακίτην δακτύλιον, πριάμενος παρ' Εὐδάμου· ἱκανὴ δὲ καὶ ἡ παροιμία παιδεύει αὐτὸν, Ἀπέτισας, λέγουσα, χοῖρε, ἃ κατέφαγες γίγαρτα· τὰ γὰρ μειράκια, περιϊόντα, πολὺν τῆς αὐτοῦ προπετείας ποιοῦνται κατάγελων, τοῖς τε τῆς τέχνης κανόσι, καὶ ἐκ τῆς τῶν ἀρχαίων συγγραφέων χρήσεως αὐτὸν ἐξελέγχοντες. Τὰ τοιαῦτα, φημὶ, κρωζέτω, ὅττικεν αὐτῷ ἐπὶ κὲν ῥῆμα γλῶτταν ἔλθῃ· μέλει γάρ μοι οὐδὲν,

„ Οὐκ ἀλέγω, ὡσεί με γυνὴ βάλοι, ἢ παῖς ἄφρων·
„ Κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο·

Ἀλλὰ περὶ τῶν ἐν τῷ Ὀρφανοτροφείῳ τίποτε παθόντες οἱ ἀνώνυμοι οὗτοι καταχέουσιν ἡμῶν τοσοῦτον ὕθλον ἐν ταῖς Ἐφημερίσι, παρασύροντες ἡμᾶς ἐν ταῖς τῶν Ὀρφανῶν ἀτυχίαις, οὓς οἱ μὲν πατέρες ἀποθανόντες ἐν πολέμῳ, κατέλιπον, ἡμεῖς δὲ προσελάβομεν, γενόμενοι δεύτεροι αὐτοῖς μετ' ἐκείνους; τοῦτο γὰρ καὶ οἱ παῖδες αὐτοὶ συνειδότες ἡμᾶς ὀνομάζουσι, καὶ πάντες οἱ τὴν Αἴγιναν οἰκοῦντες καὶ παροικοῦντες ὁμολογοῦσι· τὰ γὰρ πράγματ' αὐτὰ, τοῦτ' αὐτοὺς ἐξεπαίδευσαν. Τί οὖν τοσοῦτον ἐπτοημένως ἐπιμένουσιν ἀποστερεῖν ἡμᾶς τὴν θυμήρη ταύτην προσηγορίαν, ἣν ἀποδέδωκεν ἡμῖν τὸ συμπαθὲς καὶ φιλάνθρωπον; τί; σύντεινόν μοι τὸ οὖς· κἂν δὲ δοκῶ σοι παρακαίρως φιλοσοφεῖν ὡς ἐν ἐπιστολῇ, μηδὲν ἀχθεσήσῃ. Ἡ ψυχὴ, ἐπειδὰν ἀποπλανηθεῖσα τῆς ἀρχετύπου καὶ θείας ἐκείνης ἐλευθερίας, ἧς προηγεῖται ὁ λόγος, δοῦλος γένηται τῶν παθῶν, οὐκέτ' ἔστιν ἑαυτῆς, τοῦ ἡγεμονικοῦ ἐκπεσοῦσα· πράττειν γὰρ ἐθέλει οὐχ ὅ,τι εἰσηγεῖται ὁ λόγος, ἀλλ' ὅ,τι ποθ' οἱ δαίμονες ἐπιτάττουσιν, εἰς μυρίους σκοπέλους ἄλλους ἄλλο τε ποιοῦντες αὐτὴν ἐξοκέλλειν· ὅπου δὴ συναισθομένη ποτὲ, εἰ τύχοι, οἱ ἑ-

εὐθὺς αἱ ποιναὶ καταλείψουσι τὴν συνείδησιν ἐν ἡσυχίᾳ διάγειν. Ταῦθ' οὕτως ἔχει.

„ . . . . . . Ὅς δ' ἄλλως λέγει,
„ Λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει. Ἔῤῥωσο.

Τῷ Καλλινίκῳ. (317)

Ἡ δόξα οὐδὲν μᾶλλον, ἢ αἱ σκιαὶ τῶν σωμάτων, αὔξεται καὶ μειοῦται ταῖς τῆς τύχης ἑπομένη μεταβολαῖς, καθάπερ ἐκεῖναι ταῖς τοῦ ἡλίου ἀναβάσεσίτε καὶ καταβάσεσι· μία δέ τις ἡμῖν ἔσται βέβαιος καὶ ἀκήρατος, ἣν προπαρασκευάζει ἡ ἀρετὴ τοῖς ἐφόδιον πρὸς τὸ γῆρας αὐτὴν κατὰ τὸν εἰπόντα κατατίθεσθαι ἑλομένοις. Ἔῤῥωσο.

Κονσταντᾷ. (318.)

Τί τοσοῦτον ἄχθῃ, ἐφ' οἷς οἱ πονηροὶ ἐπηρμένοι ταῖς τύχαις, καταμηκῶνται ἡμῶν, ὡς γάστρας πιθαρίων καθ' ὁδὸν κειμένας παραμειβόμενοι; τοιοῦτος γὰρ νῦν ὁ βίος· ἢν μὲν ἡσυχίᾳ χαίρων, ἰδιοτεύειν φιλῇς, οὐδαμινὸς ἀκούσεις καὶ ἀκοινώνητος· ἢν δὲ περὶ τὸ θεῖον σπαδάζῃς, ὑποκριτὴς ἢ ἀνόητος· ἢν δὲ περὶ ἐσθῆτα μαλακωτέραν ἔχῃς περιπαθῶς, ἀλαζών· ἢν ἀνυπόδητος καὶ ἐν τριβωνίῳ τῆς οἰκίας προκύπτῃς, μαίνεσθαι καί σε φήσουσιν· Σωκράτην γὰρ καὶ διαφθείρειν τοὺς νέους ἔφασαν· τί οὖν· θαυμαστὸν, εἰ καὶ ἡμῶν κατεῖπον ταὐτά· ἀγάπα δὲ, ὅτι μὴ δεδώκασί πω καὶ κώνειον, δίκην παρ' ἡμῶν τῆς τῶν Ὀρφανῶν παιδείας λαμβάνοντες· Ὑπείκειν οὖν δεῖ τῇ τοῦ καιροῦ φορᾷ μέχρις ἂν θεὸς δῷ βελτίω· ἔσται γὰρ ὅτε, τῶν παθῶν νεκρωθέντων, καὶ τοῦ φθόνου ποθ' ὕστερον ἀποπνεύσαντος, πολλοὶ καὶ ἡμῶν ἐπ' εὐλογίαις μνησθήσονται· εἰδὲ μὴ, ἀλλά γε ἐν τῷ μετὰ ταῦτα βίῳ οὐκ ἂν εἴη ἡμῖν ἄμισθος παρὰ τοῦ δικαστοῦ τῶν ἁπάντων ἡ τῆς πρὸς τὸν πλησίον ἀγάπης προαίρεσις. Ἔῤῥωσο.

τοῦ θεοῦ τῷ θεῷ ἀποδώσων· καὶ ὁμοῦ γεγονότες, εἶμεν ἐκεῖθεν πληρώσοντες καὶ τὰ τῆς φιλίας καθήκοντα. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (321.)

Τοῖς ἐπιεικέσι τῶν ἀνθρώπων οὔτ' ἀηδὲς, οὔτε χαλεπὸν τὸ ἄρχειν ἐστίν· ἥδονται γὰρ οὐδενὶ μᾶλλον, ἢ τῷ εὖ ποιεῖν· τούτου δ' οὐκ ἂν ῥᾳδίως τις τύχοι, εἰ μή τινα εὕροιτο εὐφορίαν, ὧν προήρηται· καί τοι πρὸς τῇ προαιρέσει καὶ ἀνάγκη προσγίγνοιτ' ἄν· ἄλλως γὰρ τὸν κακῶς ποιοῦντα οὐ μᾶλλον ἄνθρωποι, ἀλλ' οὐδὲ τὰ θηρία τὰ ἀφρονέστατ' ἀνάσχοιντ' ἄν. Εἰ τοίνυν ἐδεξάμεθα συνεπιτροπεύειν τῶν ὀρφανῶν, οὐδὲν ἀπεικὸς ἐσμὲν πεπραχότες, ὕλην τῇ προαιρέσει προσδαψιλεύσαντες· καὶ ἐδείξαμέν γε ἐν ἀρχῇ, οἷον ἡμῖν τὸ τέλος ἔμελλεν ἔσεσθαι, εἰ μὴ κατίσχυσε φθόνος· εἰ δὲ ἐξ αὐτοῦ τούτου πεπτώκαμεν, μὴ δάκνου· τούτου γὰρ οὐχ ἡμῖν, τοῖς δὲ τὰ ἡμέτερα ἀνατρέψασιν ἡ κατάμεμψις γίγνεται. Τοῦτ' οὖν μὴ σκόπει, σκόπει δὲ, ὅτι

» Αὐτόν σ' οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ' ἅμα γῆρας
,, Λυγρὸν ἔχεις, αὐχμεῖς τε κακῶς, καὶ ἀεικέα ἕσται. Ἔῤῥωσο.

Ἀθανασίῳ. (322.)

Τί τοσοῦτον ἀγανακτοῦσιν οἱ Ἕλληνες ἐπὶ τοῖς παροῦσι; τί τοσοῦτον τεταράχαται, ἰδόντες τοὺς ἑαυτῶν στρατηγοὺς ἀγεληδὸν ἑλκομένους εἰς τὰς φυλακάς; ὅτι ἀνάξια ἑαυτῶν πεπονθέναι δοκοῦσιν οἱ τὰς τῶν πολεμίων φάλαγγας πρῴην καταστρεψάμενοι, καὶ τὴν Ἑλλάδα ἐλευθερώσαντες; ναὶ τοῦτο φής· κἀγὼ σύμφημι· ἀλλ' ὅτε ὁ θεὸς ἐξαπέστειλεν αὐτοῖς προωρισμένον ἐφ' ἡσυχίᾳ κοινῇ, τίποτε παθόντες, οὐκ ἠγάπησαν τῇ τοῦ θεοῦ δωρεᾷ· ἀλλ' ἄλλοθεν ἄλλος ἐπαναστάντες ἐκεῖνόν τε ἐν τῷ τοῦ δωρησαμένου ναῷ πεφονεύκασι, καὶ

οὖν οἱ Ἕλληνες τὰ μὲν ἄλλ' ἕκαστα εὖ εἰδότες, ἐπὶ τῆς ἐλευθερίας διώκοντες τὴν σκιὰν κατὰ τὸν ἐν μύθοις κύνα, καὶ τὸ ἀληθὲς πρασαπώλε... βρῶμα. Ἔῤῥωσο.

Κωνσταντᾷ. (323.)

Πᾶσι μὲν ἀνθρώποις φύσει συμβαίνει λυπεῖσθαι· ἀλλ' ἄλλος ἄλλου ἧττον τοῦτο πέφυκε πάσχειν, εἴτε ἐκ φύσεως ἀπαθέστερος ὤν, εἴτε καὶ λόγῳ εἰδὼς μετριάζειν τὸ πάθος πρὸς τὰ ἔξωθεν προσβάλλοντα βέλη, οἷον ἀσπίδα, τὴν φρόνησιν προβαλλόμενος. Ἰάσονα γάρ φασι δυνάμει τινὶ, ἣν παρὰ σοφῆς εὕρατο γυναικὸς, πρὸς τοὺς κινδύνους χρησάμενον, μήδ' ὑπὸ τῶν θηρίων αὐτῶν παθεῖν τι, ἐν δεινῷ καθεστῶτα. Τοιαύτην οὖν μοι δύναμιν καὶ αὐτὸς παρὰ τῆς Μηδείας κτησάμενος, τῆς Φρονήσεως, οὐκέτι μήτε δράκοντας, μήτε μὴν ταύρους τοὺς τὸ πῦρ ἐπιπνέοντας, μήτ' ἄλλο τι τῶν ἰοβολωτέρων, ἀφ' ὧν τὰ δήγματα καὶ αἱ λῦπαι, οὔτε κατασχόντα αὐτὰ καταπτήξεις, οὔτ' ἐπιόντα ποτὲ φοβηθήσῃ· καθάπερ γὰρ ἐν πολέμῳ οἱ αὐτοὶ ὑπὸ τῶν αὐτῶν βελῶν οὐχ ὁμοίως τιτρώσκοιντ' ἄν· ἀλλ' ὁ μὲν, μὴ ἀντισχούσης τῆς ἀσπίδος, καὶ ἀπὸ σφενδόνης τραῦμ' ἂν ἐδέξατο καίριον· ἕτερος δὲ στεγανωτέρᾳ χρησάμενος, οὐ μόνον λίθον, ἀλλὰ καὶ ὀϊστὸν ἀπεκρούσατο ἀπὸ τόξου. Αἴας δ' αὖ ὁ Τελαμῶνος, ὁ τὸ σάκκος τὸ ἑπταβόειον, κἂν καταπέλτην ἀπέδειξεν ἄπρακτον· οὕτω κἂν τῷ βίῳ μηδὲν μηδενὶ τῶν νομιζομένων λυπηρῶν χρὴ εἴκειν, τὴν τῆς Ἀθηνᾶς περιβαλλομένους ἀσπίδα, καὶ ταῦτ' εἰδότας, ὡς οὐδὲν ἐν τῷ βίῳ οὔτ' ἀγαθὸν, οὔτε φαῦλόν ἐστι σταθερόν· ἀλλ' ἅπαντες οἱ λίαν δόξαντες εὐδαίμονές τε καὶ κακοδαίμονες εἶναι, τεθνήκασι, καὶ νῦν οὔτ' εἰ γέγονέ τι αὐτοῖς ποτὲ ἀγαθὸν ἢ κακὸν, αἰσθάνονται τούτων· καὶ ὅτι καὶ ἡμεῖς πρὸς τὸ αὐτὸ κατατεί-

Κωνσταντᾷ. (327.)

Τί ποθ' οὕτως τήμερον ὁ καθ' ἡμᾶς αὖθις βίος τετάρακται, ἄλλων ἄλλα διαθρυλλούντων, καὶ πρὸς τὸ οὖς ἀλλήλοις ἀσήμοις ῥήμασιν, ὡς προπεπτωκότες δῆθεν τὴν ἐλευθερίαν, ὑποθορυβούντων· τῶν μὲν, τοὺς στρατηγοὺς εἰς τὰ δικαστήρια ἀπαχθῆναι λεγόντων, δίκην, ὧν εἰσι πεπραχότες, τοῖς νόμοις ἕκαστος δώσοντες· τῶν δὲ, καὶ τῶν πολιτικῶν τινες προσεπαπειλοῦνται πρὸς ταὐτὰ ἀπαχθήσεσθαι· καὶ ἄλλων ἄλλα διαφημιζόντων ἐν ταῖς ὁδοῖς, ὧν οὐδὲν τυχὸν ἂν εἴη ἀληθείας ἐχόμενον, τῆς πολιτικῆς μηχανῆς ὡς ἐν μυχαιτάτῳ τῆς γῆς κινουμένης; ἢ ὅτι κοῦφοι ὄντες αἱ ταῦτα διαθρυλλοῦντες, τοῖς νεωτερισμοῖς ἀεὶ χαίρουσι, καί εἰσιν οὗτοι ὅμοιοι ταῖς ἀμαθέσι καὶ ἀκολάστοις τῶν κυνῶν· αἳ ἀναίσθητοι οὖσαι τοῦ ἴχνους ἐν τῷ θηρᾷν καὶ κακόῤῥινες, ἐξάλλονται ὅμως ἐπιπηδῶσαι, ὅποι ἂν τύχῃ, ὡς εἰδυῖαί τε καὶ ὁρῶσαί τι τῶν θηρίων· κἀντεῦθεν συνεπάγονται καὶ τὰς ἄλλας, τῇ θ' ὑλακῇ καὶ τῷ σχήματι ἐκείνας ἐξαπατῶσαι, τὰς ἀφρονεστέρας δηλονότι αἱ μάτην φθεγγόμεναι· εἰδέ τις τούτων ἐπιστήμων εἴη θηρευτικῆς, καθυφεῖσα τὰ ὦτα, κάθηται, πολὺν ἐκείνων καταχέουσα γέλωτα. Οὕτω νῦν καὶ τῶν ἀνθρώπων εἴτις ὀρθῶς φρονοίη, μακρόθεν ἐφορῶν τὰ γιγνόμενα, ὅπως γίγνοιντο, καθ' ἑαυτὸν φιλοσοφεῖ, μόνα δίκαια, μόνα βέβαια, μόνα ἐλεύθερα τὰ μετὰ τὸν βίον ἡμῖν ἐπηγγελμένα δοθησόμενα ἀδυστάκτως εἰδώς· τὰ δὲ παρόντα παρίησι κρίνειν τοῖς κατὰ τὰς ἀσυνέτους τῶν κυνῶν πλανᾶσθαι προῃρημένοις. Ἔῤῥωσο.

Ἀδάμῳ. (328.)

Πολλὰ μὲν φὴς ἀνεγνωκέναι περὶ τῆς Ἑλληνικῆς παιδείας ἐν Ἐφημερίσιν, ὡς μεγάλα καὶ θαυμαστὰ, καὶ πολλὴν ὥς γε

προσιὼν, πρὶν προσειπεῖν, ὡς τοῦτο σύνηθες γίνεται, εὐθὺς καθάπερ ἀπειλῶν, ἀκήκοας, φησὶ, τὸ βασιλικὸν διάγγελμα περὶ τῆς τυπογραφίας, ὡς ἀπηγόρευται ἐκδιδόναι ἔς γε τοὐπιὸν ἐλευθέρως, ὅ,τι τίς ποτε βούλοιτο; Ἀκήκοα, ἔφην, καὶ ἀνέγνων μάλιστα τοῦτ' αὐτός. Τί οὖν δράσεθ' ὑμεῖς, ἔφη, νῦν οἱ ἐκ τῆς ἐλευθεροτυπίας τὴν εὐδαιμονίαν πᾶσαν ὑπισχνούμενοι ἐπαντλήσειν τοῖς Ἕλλησιν; ἢ οὐδέν σοι μέλει τῶν βασιλικῶν ἐνταλμάτων; Οὐ δῆτα, ἔφην, ἐγώ· οὐδὲν γάρ ἔμοι γε πρὸς τοὺς νόμους· οὐδ' ἔστι νόμος, ὃς τέθειται πρὸς ἐμέ· Καὶ μὴν ἐπὶ τίνας τίθενται οἱ νόμοι, εἰ μὴ ἐφ' ἡμᾶς; Ἐπὶ τοὺς πονηροὺς, ἔφην ἐγὼ, ἵνα μὴ ἀδικῶσιν· ἐγὼ δ' οὐδένα πω κακῶς προῄρημαι ποιεῖν, οὔτε μὴν προαιρήσομαι· εὖ δὲ, μάλιστα· ἀλλὰ τοῦτό γε μηδεὶς μηδένα νόμος κωλύει ποιεῖν. Τί δέ; εἰ ἐπιτάξει ὁ βασιλεὺς φόρον τινὰ τοῖς αὐτοῦ ὑπηκόοις, σὺ οὐχ' ὑπακούσεις τῷ νόμῳ, φέρων τὸ ἐπιβάλλον; Πόσον φόρον φὴς τοῦτον, ἔφην ἐγώ; πότερον τὴν ἑκατοστὴν, ἢ τὴν πεντηκοστήν; τὴν δεκάτην, ἢ τὸ ἥμισυ τῆς οὐσίας ἐπιτάξει ἑκάστῳ; Ὁπόσον ἂν βούληται, ἔφη· Βασιλεὺς γάρ ἐστι, καὶ δεῖ φέρειν ἡμᾶς, ὁπόσα ἂν βούληται· Ἐμοὶ μὲν, ἔφην ἐγὼ, ἐπιτάξει οὐδέν· σοὶ δὲ καὶ τοῖς ὁμοίοις σοὶ καὶ ταῦτα, καὶ τούτων πλείω· καὶ οἴσετέ γε καὶ ἑκόντες καὶ μὴ ἑκόντες· ἐγὼ γὰρ καὶ μήπω τοῦ νόμου ὄντος, φέρων τὰ ἐμαυτοῦ, τὰ μὲν ἀπέδωκα, τὰ δὲ καὶ ἀποδώσω, εἴτι ἔτι μοι πρόσεστι· καὶ νῦν πρὸς τοῦτο ἤδη παρασκευάζομαι, οὐχ ὑπό τινος ἀναγκαζόμενος νόμου, ἀλλ' οἴκοθεν τοῦτο προῄρημαι· καὶ διὰ ταῦτ' ἔφην μηδένα πρὸς ἐμὲ εἶναι νόμον· τὸ δ' εὖ ποιεῖν οὐ δέδοικα, μήτις κωλύσῃ. Οὕτως οὖν εἰδὼς τὰ ἡμέτερα ἀβασίλευτα, μηκέτι φρόντιζε περὶ ἐμοῦ, ἀλλὰ περὶ σεαυτοῦ· ἢ οὐκ ἀκήκοας κἀυτὸς ἐν μέρει, ἃ τούτων πολλῷ νεώτερα πράττεται; συλλαμβάνειν γάρ φασι τοὺς τὰ δημόσια κλέπτειν παρασχόν-

βάντι, ἐν πολλῇ ἦν πτοήσει, μὴ καὶ ἑτέρου τινὸς καθ' ὁδὸν τῶν κακῶν πειραθῇς. Νῦν δ' οὖν χαίροις μητρὶ σεβασμίᾳ καὶ τοῖς ἄλλοις συγγενέσι συνών· Τὰ δ' ἡμέτερα, ἐπειδὴ καὶ τοῦτ' ἐθέλεις μαθεῖν, οἷάπερ ἦν καὶ νῦν ἐστι, καὶ καινὸν οὐδὲν, πλὴν ὅτι οἱ πρῴην ἀλαζόνες ὑμῶν στρατηγοὶ, οἱ πέρυσι τὴν Ἑλλάδα θανασίμως μαστίξαντες, ἀπαχθέντες, οὐκ οἶδ' ἐφ' ὅτῳ, ἐνεβλήθησαν εἰς εἱρκτὴν, ὧν ἐν ἄλλοις, οἶμαι, ἥμαρτον, τούτων νῦν ἀποτίσοντες τὰ ἐπίχειρα. Αἱ δ' αὖ ἐφημερίδες, πλὴν Τριπτολέμου, βασιλικῷ διατάγματι, περιορίζοντι ἐπὶ ποινῇ αὐταῖς τὸ ἄγαν ἀκόλαστον, πέπαυνται σύμπασαι, μὴ δυναμένων τῶν ἐκδοτῶν ὑποστῆναι τὸ πρόστιμον. Ἀλλ' εἴη ἡμῖν τοῦ γε λοιποῦ ζῆν ἐν εἰρήνῃ· καὶ γὰρ καὶ παντὶ μὲν αὕτη σωτήριος, γεγηρακότι δὲ καὶ ἄνεσιν ἔχει καὶ ῥᾳστώνην πολλήν. Βουλοίμην δ' ἂν καὶ ἑτέρων γραμμάτων τυχεῖν παρά σου· ἀλλ' οὐκέτ' ἐν Αἰγίνῃ, ἐν Σύρᾳ δέ· μετὰ γὰρ μῆν' οὐχ' ὅλον τυχὸν μεταβήσομαι ἐκεῖσε, ὅπου περιμενῶ τὸ ἀπὸ τῶν Παρισίων προσδοκώμενον ἥξειν τυπογραφεῖον· περὶ ὃ τοὐπίλοιπον τοῦ βίου ἐνασχολήσομαι. Ἔρρωσο.

## *Τῷ Κωνσταντᾷ.* (331.)

Οἶσθ', ὅστις καταπεφλυάρηκεν ἡμῶν πρῴην ἐν Ἐφημερίσιν, ὡς δῆθεν ἐκ τοῦ Ἀγκυστρίου, τὸν πλατὺν ἐκεῖνον καὶ ἀναίσχυντον φλήναφον; ὁ ἡμέτερος φίλος (ἵνα μὴ εἴπω ὁ προδότης Ἰούδας) ἔσθ' οὗτος ὁ ἐκ γειτόνων Θερσίτης, ὁ ἀκριτόμυθος Ἔφορος· ὃν οὐ μᾶλλον ὤφειλες τοῖς Ὀρφανοῖς ἀντὶ σεαυτοῦ καταστῆσαι, ἢ Ὀδυσσεῖ τινι παραδοῦναι·

„ Ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχ' ἀγοράων·
„ Ὄφρ' ἄρα μὴ πάλιν αὖτιν ἀνήσῃ θυμὸς ἀγήνωρ
„ Νεικείειν βασιλῆας ὀνειδείοις ἐπέεσσιν.

Τῷ Φιλεταίρῳ. (331.)

Εὐδαίμονες, φησὶν ὁ Τραγῳδὸς, οἷσι κακῶν ἄγευστος αἰών· ἀλλὰ τοῦτ' οὐκ ἔξωθεν μᾶλλον τοῖς γε φιλοσόφοις, ἢ οἴκοθεν κατά γε τὸν Ἐπίκτητον προσγίνεσθαι πέφυκεν. Οὐκοῦν τὸ,

„ Τύχη κατορθοῖ, καὶ τύχη καταῤῥέπει
„ Τὸν εὐτυχοῦντα, τόν τε δυστυχοῦντ' ἀεί,

Ταῦτ' ἰδιώταις ἀφέντες ἐν ταῖς τῶν ἐφετῶν ἀποτυχίαις παρηγορεῖν τὸ λυπούμενον, ἡμεῖς δὲ σὺν θεῷ τοῦ καλοῦ ἀγῶνος ἁψώμεθα, παρ' οὗ τὸ εὔδαιμον ἡμῖν ἀναμφήριστον, εἰ καὶ σοὶ δοκεῖ τὸ εὖ ποιεῖν πρὸς τοῦτο μάλιστα φέρειν· καὶ συνδοκεῖσοι εὖ οἶδ' ἐγώ· πολλὰ γὰρ εὖ σοι πέπρακται πρὸς πολλοὺς, παρ' ὧν καὶ τὴν ἐπωνυμίαν τυγχάνεις εὑράμενος, οὐχ' ἁρπαγμὸν ταύτην, ὡς ἄλλοι, ἔχων, ἀλλ' ἀρετῆς κτησάμενος ἆθλον. Οὐκοῦν παρασκεύασαι συνεκπλεῖν ἐς τὴν Σύραν. Κορομηλᾶς γὰρ ὁ τυπογράφος δωδεκάτη αὕτη, ἀφ' ἧς ἀναχθεὶς ἐκ Μασσαλίας, προσδόκιμός ἐστιν ὅσον οὔπω παρέσεσθαι. Ἔῤῥωσο.

Τῷ Κωνσταντᾷ. (333.)

Ἐπιθυμεῖς μαθεῖν, εὖ οἶδα, ὅπως ἔχει τὰ κατ' ἐμέ· οἷά ἂν εἴη καὶ τὰ σά· καὶ γὰρ εὐδαιμονεῖς καὶ αὐτὸς καὶ κακοδαιμονεῖς τυχόν· ἀλλ' οὐχ' ἅμα ἀμφότερα ταῦτ' ἔγωγε πάσχω· οὐ γὰρ δυνατὸν τἀναντία εἰς ταὐτὸν συνελθεῖν· ἀλλὰ τὸ μὲν, ἐπειδὰν κρατῶ τῶν ἐπιθυμιῶν, ἐῶν γίγνεσθαι τὰ γιγνόμενα, ὅπως γίγνεται· τὸ δὲ, ὁπότε ἄγομαι ταῖς ὀρέξεσιν, ἃς ὑπεκφεύγει τὰ πράγματα. Οὐκοῦν ὀρθῶς δοκεῖ φιλοσοφεῖν ὁ Ἐπίκτητος, φιλοσόφου στᾶσιν οἴκοθεν ἐφ' ἑκάτερα εἶναι ἀποφαινόμενος. Μὴ οὖν λυπώμεθα, ἐφ' οἷς οἱ

ἥντινοῦν εὐθύνην μὴ παρεχόμενον· καί τοι σκυθρωπὸν τὸ τῆς ἐλευθεροτυπίας τῆς Ἕλλησιν ἔδοξεν, οὐκ ἄλλο, ἢ ελευθερίας ἀφαίρεσιν ἄντικρυς τὸ πρᾶγ. οἰομένοις, ἅτε δὴ εἰθισμένοις ὡς ἐν βραχεῖ χρόνῳ μεταξὺ ἐλευθέρως διάγειν καὶ φρονοῦντας καὶ λέγοντας. Ἀλλὰ νῦν ἐκπεπαίδευνται, συνιέντες ἴσως τὸ τοῦ τραγῳδοῦ

„ Ὅπου δ' ὑβρίζειν, δρᾷν θ', ἃ βούλεται, πάρα,
„ Ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
„ Ἐξ οὐρίων δραμοῦσαν, εἰς βυθὸν πεσεῖν.

Οἱ δ' αὖ στρατηγοὶ καὶ αὐτοὶ, οὐκέτι ὄντες ἀνασχετοὶ, τοῖς ποτε πρὸς τοὺς Ὀθωμανοὺς ἐπ' αὐτῶν πεπραγμένοις μάλα σοβαρῶς ἐπαιρόμενοι, ἀλλ' ἤδη ταλαιπωρούμενοι ἐν εἱρκτῇ, μεταμαθόντες τὴν οἴησιν τὴν κατὰ τῆς ἐπιεικείας τοῦ Κυβερνήτου, ἔμαθον, ὡς

„ Μέγας δὲ πλευρὰν βοῦς, ὑπὸ σμικρᾶς ὅμως
„ Μάστιγος, ὀρθὸς εἰς ὁδὸν πορεύεται. Ἔῤῥωσο

## Τῷ Ἰωάννῃ. (335.)

Οὐ καλῶς ἐποίησας τὸ σεμνὸν τοῦ διδάσκειν ἐπάγγελμα ἐξομοσάμενος ταῖς τῆς ματαιότητος αὔραις ἐμφυσηθεὶς, ὥς φασιν· ἀγασθεὶς γὰρ τὸν χρυσοῦφῆ τῶν παρ' ἡμῖν πολιτευομένων νέον τράχηλον, ἐπήρθης τὴν ψυχὴν καὶ αὐτὸς περιβαλέσθαι τὴν τήβεναν, μὴ εἰδὼς, ὅσους ἀγῶνάς τε καὶ κινδύνους δραμεῖν δεῖ πρότερον, ἢ τυχεῖν· καὶ τυχόντας αὖ, ὑπομεῖναι· τὸ δὲ διδακτικὸν, κἂν γλίσχρον πως τἄλλα δοκῇ, ἀλλὰ τόγε σεμνὸν εἶναι καὶ τὸ θεοφιλὲς οὐκ ἀφήρηται, ἐν μὲν τῷ μετρίῳ τὸ εὔδαιμον ἔχον, τὸ δὲ μέτριον ὁρίζον τῇ χρείᾳ· ἐκεῖνα δὲ, ὅσον δοκεῖ ἔχειν τὶ καὶ λαμπρὸν ἔξωθεν περικείμενον, τοσοῦτον, ἀποκρύπτοντα νέφος τὶ σκυθρωπὸν, παλμώδη σύσα-

ὡμολόγησα χάριν τῷ σεβαστῷ μοι πατρὶ, ἐφ' οἷς τ' ἐμοὶ εὐνοεῖς, ἐφ' οἷς τε δι' ἐμὲ εὐμενῶς ὑπεδέξω τὸν τὰ γράμματα κομίσαντα μαθητήν. Οἶδα δ' οὖν ἐξ ὧν τ' ἀνέγνων, καὶ ἐξ ὧν αὐτοῦ τοῦ μαθητοῦ ἀκήκοα λέγοντος, ὡς πόθος αἱρεῖ καὶ σὲ κατελθεῖν εἰς τὴν ἐλευθέραν Ἑλλάδα, ὡς δῆθεν αὐτοῦ τὸ λοιπὸν τοῦ βίου μετὰ πλείονος ἀνέσεως βιωσόμενον, ὡς δῆθεν ἐλεύθερα τὰ ἡμέτερα ὄντα, ὡς δίκαια, ὡς ἐπιδιδόντα ἐν πάσαις τέχναις καὶ ἐπιστήμαις· καὶ ἁπλῶς, ὡς ἄσπαρτα καὶ ἀνήροτα, ὡς ἐπὶ τῶν μύθων, ἡμῖν φυόμενα πάντα· τοιούτοις γάρ τισι τὰ περιοδικὰ τῶν συγγραμμάτων, εὖ οἶδ' ὅτι, τὰς τῶν ἀπόντων ἀκοὰς περικναίουσιν· οἷς ἔθος μάλιστα γίγνεται ἐξηγεῖσθαι τὰ πράγματ', οὐχ ὡς γίγνεται, οὐδ' ὡς ἔχουσι ταῖς ἀληθείαις, ἀλλ' ὡς ὤφειλε γίγνεσθαι· τὰ δὲ οὐ πέφυκεν ἀκολουθεῖν τοῖς ὀνόμασιν (εἰπεῖν γενέσθαι φῶς, καὶ τὸ φῶς ἕπεσθαι εὐθὺς τῇ φωνῇ)· τοῦτο γὰρ θείας φύσεως ἴδιον· τὰ δ' ὀνόματα τῇ τῶν πραγμάτων φύσει ὀφείλουσιν ἕπεσθαι· νῦν δ' ἡμῖν ἄνθρακες αἱ ἐλπίδες τὸ δὴ λεγόμενον· οἱονεὶ γάρ τι νέφος συνεστηκὸς, ἐπαπειλεῖ ἡμῖν τι ἐκρήξειν τῷ χρόνῳ· ἡ γὰρ Ἄρκτος, ἀποποιησαμένη τὴν εὔνοιαν, καὶ οἷον ἀπὸ μετεώρου περισκοποῦσα τὰ καθ' ἡμᾶς, σοβαρὸν βλέπει πόῤῥωθεν, ἀπαρεσκομένη τοῖς γιγνομένοις· ἡ δὲ Δύσις προσιοῦσα κατὰ μικρὸν ἐγγυτέρω, καὶ τὸ τῆς οἰκειότητος προσωπεῖον ὑπὸ τὴν ἀλωπεκῆν περιβεβλημένη, παντοίως δοκεῖ τῇ καθ' ἡμᾶς ἀμπέλῳ ἐπιβουλεύειν, καὶ ταῦτα περιαιρεθείσῃ τὴν φραγὴν πανταχόθεν· καὶ τοὺς ἐν αὐτῇ ἐλαιῶνας προσδοκᾷ ἐκκεντρώσειν εἰς ἀγριέλαιον· γέγραπται γὰρ περὶ ἑαυτοῦ, φησὶν ὁ μέγας Ποντίφιξ, τὸ, Καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. Τοιαῦτα μὲν τὰ θύραθεν· τὰ δ' ἔσωαῦθις σκυθρωπὰ καὶ μεμψίμοιρα· ἡ γὰρ τυπογραφία περιορισθεῖσα, ἀφεῖλε τὸ, δι' ὃ τοσοῦτος ἐγένετο πόλεμος· ὁ δὲ νόμος καὶ

Εὐγένιος καὶ Θεοτόκης οἱ περικλεέστατοι, οἷον παραμύθιον τῷ γήρᾳ τὴν τοιάνδε μελέτην εὑράμενοι· ἡ γὰρ ψυχὴ ἡνίκα μέλλει τῶν ἐνταῦθα ἀπαλλαγήσεσθαι, μᾶλλον ἔοικε φιληδεῖν ἀμφὶ τὰ ἑαυτῆς ἀσχολεῖσθαι· διὸ καὶ νῦν ἀπὸ τούτων ὁρμωμένη, ἡδέως πεῦσίν τινα, νεωτέρῳ μέν τῳ ἴσως παράδοξον, πρεσβύτῃ δὲ οἵῳ σοι καὶ πάνυ γενναίαν πυθέσθαι προάγεται. Τίς, ἣν δοκοῦμεν λυπεῖσθαι λύπην; τίς, ἣ καλύπτει τὰ πρόσωπα σκυθρωπότης; ὅτι τὰ παρόνθ' ἡμῖν οὐ κατὰ θυμὸν ἀποβαίνει; τούτου μελέτω τοῖς μεθ' ἡμᾶς· ἱκανῶς γὰρ ἡμῖν περὶ τούτων πεντηκοστὸν ἔτος ἤδη ἠγώνισται· ἀλλ' ὅτι τὸ γῆρας ἐπιβρίθον, ὀχληρὸν ἐστὶ καὶ ἀγέλαστον; τί δέ; ὅτι τίμιον καὶ σεμνὸν, καὶ τὸ ἄφρον ἀποβαλὸν, τοῦτο κέρδος οὐ λογισόμεθα; ἀλλὰ καὶ τὸ σκῆνος αὐτὸ, μοχθηρὸν ἤδη τῇ ψυχῇ καταστὰν ἐνδιαίτημα, ἐπείγεται εἰς διάλυσιν, καὶ τοῦθ' ὑποτρέχον τὸν νοῦν, ἀηδῆ παρέχεται αἴσθησιν. τί δαί; οὐ πρὸς ἡμῶν καὶ τοῦτο; ὅσον γὰρ ἂν θᾶττον αὐτὸ πρὸς τὸ, ἐξ οὗ πεπλασούργηται, καταπείγηται, τοσούτῳ τάχιον, τοῦθ' ὡς ἄχθος ἀποσεισάμενοι, εἰς τὴν τῆς ἐπαγγελίας γῆν ἀφιξόμεθα· ἢ οὐκ ἐν οὐρανῷ ἡμῖν τὸ πολίτευμα προσδιώρισται,

„ Φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ.

Ἐῤῥέτω οὖν τὸ σαρκίον, καὶ τὸ μὲν τοῦ χοὸς, τῷ χοΐ· τὸ δὲ πνεῦμα ἀποδεδόσθω τῷ πνεύματι· καὶ γὰρ καὶ ὕλης ἡστινοσοῦν λυθείσης διὰ πυρὸς, τὸ μὲν γεῶδες αὐτῆς εἰς τέφραν ἐκκρίνεται· τὸ δὲ ἀερῶδες ἀνίπταται πρὸς τὸ συγγενές· εἰ γὰρ τῶν ἀλόγων τὴν φύσιν εἰλήχαμεν, οὐδὲν ἂν ἴσως χαλεπὸν ἡμῖν, ὡς εἰς παντελῆ ἀνεπιστασίαν ἀποιχομένοις, ἐδόκει ὁ θάνατος· νῦν δὲ τὴν ἐς τὰ κρείττω μεταβολὴν, τὴν ἀπὸ τῆς φθορᾶς εἰς τὴν ἀφθαρσίαν, ταύτην πῶς ἂν εἴημεν

κατά γε τοῦτο κακῶς ποιήσας. Ἄνυτος γὰρ καὶ Μέλιτος, ἔφασκεν ὁ τοῦ Σωφρονίσκου, ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δ' οὔ. Ἐάσας τοίνυν τοὺς Ἀνύτους τὰ ἑαυτῶν ποιεῖν, γενοῦ μοι Σωκράτης, παίζων τὰ παίγνια, μέχρις ἂν, ἀποσκευασάμενοι τὸ σαρκίον, πρὸς τὴν ἄνω λῆξιν τὴν ἀγήρω καὶ ἄμικτον τῶν κακῶν ἀφικώμεθα. Ἔρρωσο.

### Τῷ αὐτῷ. (341.)

Πῶς γὰρ ἄν τις ἐνδοιάσειε τὴν ἡμετέραν ψυχὴν μὴ ἀθάνατον εἶναι; πρὸς γὰρ τῷ ἐκ τοῦ δόγματος τὸ βέβαιον ἐσχηκέναι, καὶ οἱ θύραθεν ἅπαντες ξυνῳδὰ περὶ τούτου ἐφθέγξαντο, τὸ ἄϋλον αὐτῆς ξυνειδότες μὴ ἂν διαλυόμενον· εἰς τί γὰρ ἂν, ἁπλοῦν γε ὁμολογούμενον, τοῦτο πάθοι; ἀλλ' ἅμ' ἀπαλλαγεῖσα τοῦ, ἐν ᾧ καθείργνυται σώματι, καὶ αὐτὴ καθ' ἑαυτὴν ἐλευθέρα καὶ ἀκώλυτος γενομένη, θεωρεῖ τόδε τὸ πᾶν, οὐκέτι διὰ τῶν αἰσθητηρίων, ἀλλ' εἰκείοις καθαροῖς ὀφθαλμοῖς, ὑπὸ μηδεμιᾶς ὕλης ἐπιπροσθουμένη, οὐχ ὑπὸ σαρκῶν διατειχιζομένη, οὐχ ὑπὸ χρωμάτων ἐκταραττομένη, οὐχ ὑπὸ σχημάτων παντοίων συγχεομένη, μήθ' ὑπὸ ὁμίχλης τινὸς διαφραττομένη· ἀλλ' ὥσπερ ἔχει φύσεως γυμνὴ καὶ καθαρὰ πρὸς γυμνὸν καὶ καθαρὸν τὸ ἀρχέτυπον κάλλος ἐκτεθειμένη, γάννυται ἁπλῶς ἐνγαλινῇ θεωρίᾳ· καὶ τῆς θεωρίας ταύτης κόρον οὐδέποτ' ἔχει, οἰκτείρουσα μὲν ἴσως ἑαυτὴν, ἐφ' οἷς ἐνοῦσα τῷ σώματι πρότερον, ἐκακοῦτο, ἀλλὰ καὶ ὁ οἶκτος οὗτος ἐπιτόνιον εὐθυμίας αὐτῇ προσγενήσεται, μεμνημένῃ, ἀφ' οἵων ἐφ' οἷα μεταβεβηκυῖα τυγχάνει· τὸ γὰρ προηγηθὲν ὅ,τι δήποτε λυπηρὸν, τῇ μνήμῃ πόθ' ὕστερον προσπεσὸν, ἡδίω διατίθησι τὰ ἡδέα. Ὥστ' οὐκ ἀλόγως ἔμοιγ' ἔπεισιν ἐνδειάζειν, μήτι δὴ τὰς τοιαύτας ψυχὰς οἱ μῦθοι τὸ πάλαι προσηγόρευον Δαίμονας, οἷον φύσιν ἑτέραν μεταξὺ

### Τῷ αὐτῷ. (343.)

Τὸν φύντα δεῖ θρηνεῖν (ἔφη τις τῶν πάλαι σοφῶν) εἰς ὅσ' ἔρχεται κακὰ, ὡς τὴν γένεσιν ἀρχὴν ἂν αὐτῷ κακῶν ἐσομένην· καί τοι τῶν πολλῶν ἐκείνην μὲν ἑορτῆς καὶ θυμηδίας, τὴν δὲ τελευτὴν λύπης ὑπόθεσιν ποιουμένων· οὕτως οἱ θνητοὶ ἐκ διαμέτρου ταῖς δοξασίαις πρὸς ἀλλήλους διενηνόχασιν· ἀλλ' ἐγὼ βουλοίμην ἂν εἰδέναι, ποτέραν αὐτὸς τῶν δοξῶν πεποίησαι περὶ πλείονος; τὴν τῶν πολλῶν καὶ μηδὲν ἐκ λόγου εἰδότων, ἢ τὴν τοῦ ἑνὸς ἐκείνου καὶ πολλὰ ἐπαΐοντος; τὴν τοῦ ποιητοῦ φαίης ἄν· σοφὸς γὰρ ἀνὴρ τῶν μηδὲν σὺν λόγῳ κρινόντων πολλῷ πιθανώτερος· καὶ γὰρ κάμηλος, καὶ ψωριῶσα, τὸ τοῦ λόγου, πολλῶν ὄνων ἀνατίθεται φόρτον· προσμαρτυρεῖ δὲ τῷ λόγῳ καὶ ὁ κορυφαῖος ἔτι τῶν ποιητῶν, ἁπάντων ζώων, ὅσα γῆ τρέφει, τὸν ἄνθρωπον τιθέμενος ἀθλιώτερον, ἐν οἷς φησι

„ Οὐ μὲν γάρ τι πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς  
„ Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

Ταῦτ' οὖν οὕτω μετρούμενά τε καὶ τῷ ὀρθῷ σταθμώμενα λόγῳ, ῥέπουσιν ἐπὶ τὸ πιθανώτερον εἶναι κλάειν ἡμᾶς δεῖν, ἢ γελᾷν, καὶ λυπεῖσθαι μᾶλλον ἢ χαίρειν, γεννωμένων ἀνθρώπων, ὡς εἰς χαλεπὸν στάδιον τὸν βίον καὶ πλῆρες κακῶν ἁπάντων εἰσερχομένων· κλάειν δὲ οὐ κατὰ τὰς ἀηδόνας ἐν ἦρι μόνον κἀκ διαλειμμάτων, ἀλλ' ἐπίπαν καὶ ξυνεχῶς κατά τε χειμῶνα καὶ θέρος· εἴγε καὶ τὰ τοῦ θρήνου αἴτια οὐδένα καιρὸν διαλείπουσι· διὸ οὐκ ἂν ἐνδοιάσαιμι εἰπεῖν τοὺς παρ' Ἰάσονος ἐν Κόλχοις ἐκ τῶν τοῦ δράκοντος ὀδόντων σπαρέντας φρονιμωτάτους καὶ εὐδαιμονεστάτους ἁπάντων θνητῶν γενέσθαι· οἵ γε οὐκ ἔφ-

εὔχομαι τοσοῦτον ἔτι μοι προστεθῆναι τῷ ζῆν, ὅσον ἐξέσται μοι καὶ τούτου ἀπαλλαγῆναι· βουλοίμην δὲ καλῶς καὶ τοῦτο γενέσθαι. Τοῦτ' οὖν νῦν σκοπῶν, μέλλω ἀπαρεῖν ὡς ὑμᾶς, ἅ μοι ἐκ πολλῶν ἐτῶν συγγέγραπται καὶ παραπέφρασται, ἐκδώσων καὶ ταῦτα τοῖς Ἕλλησιν· εἶθ' οὕτω τὸ κοινὸν ὑπειπὼν, Δεῦτε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν, διανεμῶ τὰ ἐκδοθησόμενα ῥᾳδίως ὡς ἀπὸ κέντρου τῆς Σύρας πρὸς πᾶσαν τὴν περιφέρειαν τῶν Ἑλλήνων, ὅπου ἂν ὦσι σχολεῖα Ἑλληνικὰ, καὶ οἱ τούτων ἐπιμελούμενοι λόγιοι· ἐλπίζω γὰρ πολλοὺς εὑρήσειν τοὺς δαιτυμόνας, πλὴν εἰ μή τις εἴη ὀμφακίας, οὐδ' εὔθετος πρὸς ἑστίασιν ἀρχαϊκῶν βρωμάτων· εἰσὶ γὰρ οἱ οὐχ ἧττον δυσκόλως ἔχοντες ὁρᾶν εὐμενῶς πρὸς τὰ εὖ παρὰ τῶν ἄλλων παρατιθέμενα, ἢ καὶ οἱ ὀφθαλμιῶντες δυσχερῶς πρὸς τὸ φῶς ἀντιβλέπειν. Ἀλλὰ τούτους μὲν ἐῶμεν χαίρειν· σὺ δὲ περισκόπει μοι αὐτόθι οἰκίαν ἀλεεινήν τε καὶ ἥσυχον, οἵα γέροντι φιλολόγῳ προσήκει. Ἔρρωσο.

*Φιλεταίρῳ.* (345.)

Θνητοὺς ὄντας μηδενὶ περιπεσεῖν χαλεπῷ ἀμήχανον γίγνεται· ἢ γὰρ προσήκοντος ἐλύπησε θάνατος, ἢ νόσος ἠνώχλησεν ἐπισκήψασα, ἢ ἀδοξία ἀπροσδόκητος προσπεσοῦσα, ἢ χρημάτων ἐπισυμβᾶσα ἀποβολὴ ὁπωσδήποτε· ταῦτα γὰρ οἷς μὲν ἀθρόα τυχὸν, οἷς δ' ἄλλο τε ἄλλο ἐπιτιθέμενα, δυσφόρητα γίγνεται· ἀλλ' οὐκ ἂν εἴποις καὶ φύσει τοιαῦτα εἶναι, ἢ δοκοῦντα, ἀσθενείᾳ ψυχῆς ἡμῶν, ὡς ὄντα τὰ μὴ ὄντα λογιζομένων· εἰ γάρ τις, ἐῶν μὲν γίγνεσθαι, ὡς γίγνεται, τὰ γιγνόμενα, μὴ σφόδρα περιεργάζοιτο περὶ τούτων· τὸ δὲ καθ' ἑαυτὸν περιορώμενος, μή τι σφάλληται, ἐν οἷς σφηλάμενος, βλάψειαν ἂν τὸν ἐνδόμυχον ἄνθρωπον, ὑποφέροι ταῦτ' ὥσπερ δήγματα κώνωπος· ἃ ἅμα δόξαντά τι λυπεῖν, ἀπεφ-

κῶ μοι ἔργῳ ἐπιδείξασθαι παρὰ πάντα τὸν βίον, εἴγ' ἀληθῶς φαμὲν μητέρα πενίας τὴν ἀμάθειαν εἶναι· ἐν γὰρ δέκα καὶ ἑπτὰ ἔτεσιν ἐν Βουκουρεστίοις ἱκανὴν ποιησάμενος ἀφορμὴν, ἐξέδωκα τοῖς πειναλέοις Ἕλλησιν ἐν Οὐϊνδοβόνῃ βίβλων μάλιστα μυριάδας ὀκτὼ, πολλοὺς μὲν πρὸς τοῦτο ἀναθέμενος πόνους, πᾶσαν δ' ἀποθέμενος ἡδονήν· δωδεκάτῳ δ' ἔτει αὖθις ἐπανελθὼν, ὅθεν πρὸς ταῦθ' ὡρμήθην τὸ πρῶτον, ὑπέρου τὸ τοῦ λόγου γυμνότερος, ἠρξάμην αὖ ἀπὸ δευτέρων πόνων ἀργυρολογεῖν, τὰς μὲν ἡμέρας διδάσκων, τὰς δὲ νύκτας γράφων, δευτέρας ἐμπορείας μηχανώμενος πόρον· οὕτως οὖν γεμίσας ἐξ ὑπαρχῆς νῦν τὴν ὁλκάδα, αὐτίκα πλευσοῦμαι εἰς Σύραν, εὖ αὐτοῦ διαθησόμενον καὶ τοῦτον τὸν γόμον· εἶθ' οὕτω μεθ' ἡδονῆς διαλύσας τὸ σκάφος εἰς τὰ, ἐξ ὧν συνετέθη, κοιμηθήσομαι ἐν ἀνέσει τὸν ἀΐδιον ὕπνον· Πτωχοτραφείων οὖν καὶ τῶν ἄλλων τόγε κατ' ἐμὲ ἄλλοις μελέτω, οἷς καὶ δύναμις ἀνάλογος πάρεστιν. Ἔρρωσο.

*Δημητρίῳ.* (347.)

Πολλῶν σοι ἐν τῷ βίῳ πραττομένων ἀτόπων τὸ μέγιςον πάντων ἂν εἴη τὸ παρὰ πᾶσι τοῖς ἔθνεσι παρὰ πάντα τὸν, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, χρόνον νενομίσθαι τοὺς πλουσιωτέρους ἀεὶ περὶ τῶν πρακτέων ἀποφαίνεσθαι γνῶσιν, κἂν ἀνόητοι ὦσιν, ὥσπερ δίκαιον ὂν τοὺς τῆς οὐσίας αὐτῶν ἐν ταῖς λειτουργείαις τὸ μέρος μετέχοντας, μετέχειν αὐτῶν καὶ τῆς διανοίας, ὁποία καὶ ἂν ᾖ, ἐπειδὰν περὶ τῶν κοινῇ συνοισόντων βουλεύωνται· καί τοι κιθαρῳδῶν ἢ αὐλητῶν δεῆσαν ἀκούειν, οὐ πλουσιωτέρους ἐκείνων, οὐδὲ γοῦν πολίτας ἁπλῶς, ἀλλὰ τοὺς ἐπιστήμῃ προὔχοντας καὶ δυναμένους μέλος ἐναρμόσασθαι, κἂν πολῖται οὗτοι, κἂν ξένοι ὦσιν, τούτους ἐπὶ μεγάλοις γέρασι μεταπέμπεσθαι ἀξιοῦσι. Τοῦτο

*Γεωργίῳ.* (349.)

Τὸ ἐπ᾽ ὠφελείᾳ κοινῇ ἐκ προαιρέσεως παρά του γιγνόμενον, ᾗ τοιοῦτον, ἀμοιβὴν οὐκ ἂν ἀπαιτοίη· ἄλλος γὰρ ἀπόλλυσι τὴν ἀξίαν, ἅτε δὴ μὴ πρὸς εὐεργεσίαν, ἀλλὰ πρὸς ἐργασίαν μᾶλλον δοκοῦν μεμηχανῆσθαι· διὸ ἀπέχου τοιαῦθ᾽ ὑπὲρ ἐμοῦ προβάλλειν· εἰδ᾽ οἱ κρατοῦντες βούλοιντο ἀμείβεσθαι τοῖς ἀξίοις τοὺς ἀγαθόν τι τοῖς πολλοῖς προθυμουμένους ἐργάζεσθαι, ἐπ᾽ αὐτοῖς κεῖται τοῦτο φιλοτιμεῖσθαι· ἴσασι γὰρ εὖ τὰ ἡμέτερα, ὡς μήτε πόνων, μήτε τῶν ἐς τοὺς πόνους ἀναλωμάτων πεφείσμεθα πώποτε· ὥστε καὶ εἴτι ἡμῖν ἐκεῖθεν γένοιτο γέρας, καὶ τοῦτ᾽ εἰς ἑτέρων δημοσίων ἀγαθῶν ἐπίδειξιν ἀφορμὴν ποιησόμεθα· καίτοι γὰρ τὸ προσδοκώμενον εἱμαρμένον ἀνενδεεῖς ἡμᾶς τοῦ γε λοιποῦ τῶν ἁπάντων, ὧν οἱ ἐπὶ μήκιστον ζήσειν ἐλπίζοντες ἐφίενται, ἀπεργάζεται· ἀλλ᾽ οὖν » Δῶρά γε βασιλέων ἐρικυδέα, κοὐκ ἀποβλητέα. Ἔῤῥωσο.

Τῷ *Βάμβᾳ.* (350.)

Πρῴην μὲν πόθος καὶ χρεία ἅμα εἷλκέ με περαιωθῆναι εἰς Σύραν, τά τ᾽ ἐμαυτοῦ εὖ αὐτόθεν διαθησόμενον, καὶ σοῦ τὴν κορυφὴν, ὡς εἰκὸς, ἀσπασόμενον· τούτου δὲ νῦν ἄλλων τε πολλῶν ἐπισχόντων, καὶ δὴ καὶ τοῦ γήρως οὐχ ἧττον, ἐκπληρῶ τὸν πόθον τοῖς γράμμασιν. Ἀκούω δέ σε κοινῇ τῶν φιλοκάλων ἐμπόρων βουλῇ προβεβλῆσθαι, ἐφ᾽ ᾧ τὸν ἐνδοξότατον ἁπάντων τῆς τῶν νέων Ἑλλήνων παιδείας ἀγῶν᾽ ἀγωνίσασθαι· ἀγαθῇ τύχῃ! ἄξιον γὰρ τοῦτο ὡς ἀληθῶς τοῦθ᾽ ᾑρημένου, καὶ τῶν ἑλομένων τοιαῦτα νῦν γε, εἰ μὴ πρότερον, ἐν ἐλευθέρᾳ γίγνεσθαι τῇ Ἑλλάδι· διὸ κἀγὼ, ἔκτ᾽ αὐτοῦ τοῦ πράγματος ἐπαρθεὶς, καὶ εἰδώς σου τὸ πρὸς

τῆς κοινῆς προλήψεως, ὡς οὐκ ... τὰ πράγματα κρίνονται· εἰ μὲν γὰρ σκοπεῖς τὰ ἀρχαῖα, δικαίως ἂν τῶν μὲν ἄλλων τὸ Ἑλληνικὸν προτιμήσειας· ἐξ αὐτοῦ γὰρ ἐκεῖνα ὁμολογουμένως, παρέλαβον, οἷς ποτ' ἂν καὶ καυχήσασθαι ἔχοιεν· οὐ μὴν δὲ καὶ τοῦ Ἰουδαϊκοῦ· ὃ ἔσχατον πάντων, τοὐναντίον ποιήσας, ἢ ἔδει, κατέταξας,· Ἰουδαῖοι γὰρ εἰς Ἀβραὰμ τὸν πάνυ, ὃν πατέρα πολλῶν ἐθνῶν θεὸς αὐτὸς ὀνομάσαι ἠξίωσε, τὸ γένος ὁμολογουμένως ἀνάγουσιν· ἔπειτα τίσιν ὁ θεὸς τὰ ἑαυτοῦ ἐπέδειξε θαύματα; πρὸς τίνας πρόσωπον ἀεὶ πρὸς πρόσωπον διελέγετο; τίσι πρώτοις τὴν δημιουργίαν ἀπεκάλυψε; τίσι τὸ Προφητικὸν μετέδωκε χάρισμα; τὶ δὲ ἡ θαυματουργὸς Κιβωτὸς, ἧς τῇ παρουσίᾳ καθῃροῦντο τὰ τείχη, τῇ τῆς σάλπιγκος φωνῇ, ὡς ἐκ μηχανῆς, ἐρειπτόμενα; τὶ δὲ Στάμνος ἡ τὸ Μάνα ἔχουσα, ᾧ τετταράκοντα ἔτι διετράφη ἐν ἐρήμῳ τὸ ἔθνος τὸ ἅγιον; τὶ δὲ ἡ Ῥάβδος ἡ τοῦ Ἀαρὼν ἡ βλαστήσασα, ἧς τῇ πληγῇ αἱ πέτραι ἠνοίγοντο, καὶ πηγαὶ ὕδατος ἀνεῤῥίπτοντο, τῷ ἠγαπημένῳ λαῷ νάματα σωτήρια παρεχόμεναι; ταῦτά τε, καὶ ὅσα τοιαῦθ' ὁ χρόνος ἐπιλείψει με διηγούμενον, οὐχὶ πρὸς ἔθνος εὐγενέστατον γέγονεν; οὐκ ἀντισταίης. Εἰ δὲ, ἀφεὶς τὰ παλαιὰ, σκοπεῖς τὰ νεώτερα, καὶ οὕτω τὸ ἀτρεκὲς τῶν πραγμάτων ἀφῄρησαι· τὸ γὰρ Ἑλληνικὸν νῦν γ' οὐδενὸς τῶν ἐν Εὐρώπῃ, πλὴν τοῦ Ἰουδαϊκοῦ, εἴη ἂν προκριτώτερον, ἢ οὐχ ὁρᾷς ἀφ' οἵων, ἐφ' οἷα μεταβεβήκαμεν ἐν ἐλαχίστῳ χρόνῳ, πρὸς ὃ προσφυῶς ἂν εἴποι τὶς τὸ παλαίφατον. »Πόθεν ἄρξομαί σε κείρειν; ὅλως γὰρ εἶ κεφαλή. Ἔῤῥωσο.

*Τῷ Κωνσταντᾷ.* (352)

Ἧλιξ ἥλικα τέρπει, γέρων δέ τε τέρπει γέροντας· ὁρμηθεὶς γὰρ χθὲς ἐλθεῖν παρά σε, αἴφνης ἠναγκάσθην ἐπισχεῖν,

καρποὺς προθυμότερα γίγνεται, το[illegible] ὕδασι συνεχέστερον ἀρδευόμενα. Ἔῤῥωσο, καὶ τὸν ἄρ[illegible]στον ἐν ἀλληλοδιδακτικ[illegible]ῖς Βασίλειον τοῦτ᾽ αὐτὸ πρόσειπε.

Τῷ Κύρῳ. (354.)

Ἐλευθέραν μὲν θέλησιν, ὡς φὴς, μόνον τῶν ζώων πεπλουτηκέναι τὸν ἄνθρωπον ἀληθές· ἀλλ᾽ οὐχ ἁπλῶς καὶ ἀνεύθυνον ἀφῆκαν αὐτὴν οἱ νόμοι, ποινὰς ἀξίας τιθέντες τοῖς μὴ καλῶς χρωμένοις τῷ δώρῳ τῆς φύσεως· εἰ γὰρ μὴ, πολλὴ μωρία παρακολουθοῦσα, ταχέως ἂν τὸν κοινὸν κατέςρεψε βίον. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (355.)

Θυγατέρα τοῦ νόμου γενέσθαι τὴν συνείδησιν ὁ λόγος ἐθέλει· ἀναιρουμένου γὰρ ἐκείνου, συναναιροῖτ᾽ ἂν καὶ αὕτη· καὶ μαρτυρεῖ μοι τῷ λόγῳ ὁ ἄγριος βίος, παρ᾽ οἷς ἀφ᾽ ἁπλῆς καὶ ἐλευθέρας θελήσεως ἔξεστι ποιεῖν ἀσυνειδήτως ὅ,τι καὶ βούλοιντο· πρὸς τί γὰρ παραβαλοῦσα ἡ ψυχὴ ὅ,τι πράττει, συνειδοίη ἂν, ἢ καλῶς, ἢ κακῶς πέπραχεν, εἰ μὴ πρὸς τὸν νόμον; νόμον δ᾽ ἀλλ᾽ οὖν ἐννοεῖν δεῖ οὐ τοῦτόν γε τὸν παρανόμως πολλάκις παρ᾽ ἀνθρώπων τιθέμενον· ἀλλὰ τὸν ἐν τῇ χειρὶ τοῦ θεοῦ γνώμονα, καθ᾽ ὃν ζῆν ὀφείλομεν· τοῦτο δ᾽ ἐστὶν, ὃ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (356.)

Πάντα σὺν κόσμῳ γιγνόμενα ἐπαινεῖται, καὶ τὸ γράφειν εἰς κάλλος παρά τε τοῖς πάλαι καὶ τοῖς ὕστερον ὁμοίως θαυμάζεται· εἰδέ τινες οὐ προσέχουσι τούτῳ, τὴν τῶν πολλῶν ὠφέλειαν προϊσχόμενοι, οὗτοι οὐ λέοντος ἀρετῇ, ἀλλ᾽ ἀλώπεκος πανουργίᾳ σεμνύνονται μάλιστα· ὀμφακίζουσι γὰρ οἱ

ἀλλὰ τὸ ἑβδομηκοστὸν ἤδη ἔτος ὑπερβαλόντες, οὐδέπω πεπαύμεθα πολλῶν ἡμιόνων ὑπὲρ τοῦ κοινοῦ ἀνατιθέμενοι φόρτον· ἄμεινον ἄρ' ἦν ἡμίονον εἶναι παρὰ τοῖς πάλαι, ἢ διδάσκαλον νῦν ἐν τοῖς μετ' ἐκείνους γενέσθαι· καὶ γὰρ καὶ Διογένην φάναι φασὶ, κριὸν μᾶλλον βούλεσθαι, ἢ ἄνθρωπον ἐν Μεγάροις γενέσθαι. Ἐπὶ τούτοις οὖν ἀχθεσθεὶς τὰ εἰκότα, ἑτέραν ἤδη ἠρέμα τραπέσθαι προάγομαι ὡς μάλιστα μὲν σεμνὴν, μάλιστα δὲ προσήκουσαν· εἰ γὰρ μὴ βούλοινθ' ἡμᾶς οἱ ἄρχοντες τοῖς ἀξίοις ἀμείψασθαι, δέησίν τινα πρὸς ἐκείνους ποιήσασθαι ἔγνωκα, προνομείαν ἀζήμιον ἡμῖν ἀμφοτέροις δημοσίῳ δοθῆναι ψηφίσματι, μηκέτι τοῦ λοιποῦ ἀναξυρίδας ἐπὶ τῶν σκελῶν ἐπισύρεσθαι· ἀλλ' οὕτως ἀνέτους διάγειν, καθάπερ τὸ πάλαι οἱ Ἥρωες· τί γὰρ ἔτι δεήσει τούτων ἡμῖν, οἳ καὶ ἐξ ἀρχῆς ταῖς προαιρέσεσιν ηὐνουχίσμεθα, καὶ νῦν, συναπονεκρωθέντων τῶν παθῶν τῷ σαρκίῳ, κἀκ τοῦ χρόνου αὐτοῦ τὸ ὕποπτον ἀφῃρήμεθα; Ἔπειτα καὶ αἰσχρὸν, οἶμαι, τοὺς οὕτως ἡλικίᾳ προβεβηκότας, ὥστε μόλις ἔχειν κινεῖσθαι, θυλάκους κολπώδεις ἐν ἀμενηνοῖς καὶ αὔοις ὅλως σκέλεσι φαίνεσθαι φέροντας, πολλάκις δὲ εἴπῃ παρείκοι φύσεως ἀδυναμίᾳ, καὶ προσουρήσαντας τούτους· πρὸς γὰρ τῷ ὑπὸ τῶν ἐτῶν πεπεδῆσθαι, καὶ περισκελίδας ἔξωθεν περιτίθεσθαι οὐκ ἔσθ' ἥντινα ὑπερβολὴν ἀπολέλοιπεν εὐηθείας· ἐῶ δὲ λέγειν, ὅτι πρὸς τῷ ἀτόπῳ καὶ ἐπικίνδυνον· χθὲς γὰρ προϊὼν ἐς περίπατον βουλόμενος ὑπερβαλεῖν τὴν παρακειμένην αἱμασιὰν ὡς πρὸς τὰς πέτρας, ἐφ' ὧν συνήθως καθήμεθα, ἐξωλίσθησα οὕτως, ὥσθ' ὑποσκελισθεὶς τῷ θυλάκῳ, μικροῦ δεῖν ἐξέστρεψα τὸν ἀστράγαλον· Συνῆκας ἄρα, πόθεν μοι ἐπῆλθε προνομείας πρὸς σὲ μνησθῆναι, καὶ παῖξαι γερόντια παίγνια· ὁ γὰρ χρόνος, ἀφαιρῶν ἠρέμα πως τὸ τῆς ἡλικίας θυμοειδὲς, φιλεῖ ἀντεισάγειν τῷ γήρᾳ μετὰ τῆς ἐπιεικείας καὶ τὸ ἀστεῖον. Ἔῤῥωσο.

ἕξειν· τὴν γὰρ ἐπιοῦσαν Κυριακὴν, συνσαιτυμὼν μοι ἐγόμενος, ὄψει σεαυτὸν παραχρῆμα ἀλλοῖον γενόμενον, ἢ ἐ πάροιθεν, ὅμοιον ὅλως βασιλεῖ τῷ τῶν Κεφαλλήνων· ὁ γὰρ Βάκχος, μενοεικὴς ἄλλως ὢν καὶ μαλακὸς, ἀλλ᾽ οὖν τούς γε γεραιοὺς γεραροὺς ὑπερφυῶς πέφυκεν ἀπεργάζεσθαι, ταὐτὸν ἔνγε τούτοις τῇ τοῦ Διὸς Κόρῃ δυνάμενος· ἣ χρυσέῃ ῥάβδῳ ἀπομασαμένη τὸν τοῦ Λαερτίου, δέμας οἱ ὦφελλε καὶ ἥβην. Ἔρρωσο.

Τῷ αὐτῷ. (36ο.)

Ἐπανελθὼν ὁ παῖς ἀπὸ τῆς ἀγορᾶς, ἐκόμισε τῶν ἐδωδίμων οὐδὲν, οἷς οἱ γέροντες ἥδονται μάλιστα· ἰχθῦς γὰρ οὐκ ἦσαν, τῶν κακῶς ἀπολουμένων ἁλιέων ἀπὸ τῆς χθεζῆς ἔτι μέθης καρηβαρούντων ἁπάντων. Ἐγὼ δὲ, εἰ καὶ πρότερον ἔδοξα τῆς περὶ ταῦθ᾽ ἡδονῆς ὑπέρτερος γεγενῆσθαι· ἀλλὰ νῦν γ᾽ ἠρέμα ὑπάγομαι τὰ εὐπεπτότερα τῶν βρωμάτων μετὰ τοῦ ἡδέος προσφέρεσθαι· ὄρυζος γὰρ ἁπλοῦς ἑψηθεὶς, ὄρεξιν μὲν ἠδ᾽ ἡντινοῦν, ἀηδίαν δὲ ἀθρόαν πέφυκεν ἐμποιεῖν κακορέκτοις ἤδη ἀνθρώποις, οἷοί γ᾽ ἡμεῖς ἐσμὲν ἤδη· τὸ γὰρ γῆρας τοῖς παροῦσιν ἀπαρεσκόμενον, ἀπαιτεῖ τὸ μενοεικὲς καθ᾽ Ὅμηρον τῆς τροφῆς, ὅ ἐστι τὸ τῷ τῆς ψυχῆς ἡδομένῳ ὑπεῖκον καὶ μὴ μαχόμενον· διὸ προσποίησιν ἐγκρατείας, ἣ τοῖς νεωτέροις διώρισται μάλιστα, οὐκέτι εὐσυνειδότως ἀνέχεται. Οὐκ ἄνευ τοίνυν λόγου καὶ δικαίας αἰτίας ποιεῖν φασι τὸν μακαριώτατον Πάπαν· τοῖς γὰρ τὸ ἑξηκοστὸν διατετελεκόσιν ἔτος τοῦ βίου τὴν τῆς νηστείας κατάλυσιν συγχωρεῖ, εἴτις τοῦτ᾽ ἐκεῖθεν λιπαρῶς ἐξαιτήσαιτο. Βούλει οὖν χ᾽ ἡμεῖς, ἀνενεγκόντες τὸ πρᾶγμα πρὸς τὴν ἱερὰν νέαν Σύνοδον, ἐξαιτησώμεθ᾽ ἄδειαν ἡμῖν παρ᾽ ἐκείνης γενέσθαι σιτεῖσθαι ἁπλῶς, οἷς βουλοίμεθα τῶν σιτίων, καὶ ὃ ἂν ἡμῖν συντελῇ μάλιστα πρὸς τὸ σώζεσθαι; οὐ γὰρ δέος, μήτι ἡμῶν καταγνῶσιν ἀσέ-

ἴσως οὕτως εὐδαιμόνως ἡμᾶς ἐροῦσι διαβεβιωκέναι· τάχα δ' ἂν καὶ ἐν τοῖς ἁγίοις ἡμᾶς κατατάξοιεν. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (362.)

Ἀδολέσχου χελιδόνος ἔοικα πρᾶγμα ποιεῖν· τί γὰρ ἂν ποιοίην πρὸς ἄνδρα, Λάκων' ὅλως καὶ σιγαλὸν, περὶ οὗ καὶ Ξενοφῶν μετὰ πολλῆς ἂν ἀστειεύσαιτο χάριτος, θᾶττον ἄντις, εἰπὼν, ἐκ λίθου ἐκτρίψειε πῦρ, ἢ ἐκ σοῦ ἐκβάλοι ῥημάτιον· καί τοι λογίοις μὲν λέγειν, ἀμαθέσι δὲ σιγᾷν ἀφωσίωται· σὺ δὲ τῶν πρώτων ἐπέχων τὸν τόπον, τῶν δευτέρων ἐμιμήσω τὸν τρόπον· καί τοι οὐκ ἐχρῆν· αἱ γὰρ Χάριτες ἄλλως οὐκ ἂν ταῖς Μούσαις συνεδριάσαιαν. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (363.)

Οὐκ ἀνήσω γράφων μέχρις ἂν ἀμφότεροι ἀπαυδήσαντες, ἐγὼ μὲν βάλλων, σὺ δὲ βαλλόμενος, ὅμοιόν τι τοῖς Ὁμηρικοῖς δράσωμεν ἥρωσι· πάλη γάρ τις λόγου πρὸς σιγὴν καὶ τοῦτ' ἐστὶν, οἵαν ὁ τοῦ Λαερτίου πρὸς τὸν Τελαμώνιον ἐπάλαισεν Αἴαντα. Οὐκοῦν, »ἤ ἔμ' ἀνάειρ', ἢ ἐγώ σε» δεῖ γὰρ δὴ δυοῖν θάτερον, ἢ σὲ πρὸς σεαυτὸν ἐπισπάσασθαί με, Λάκων' ἄφωνα ἀποδείξαντα, ἢ ἐμὲ πρὸς τὸν λόγον ἀναμοχλεῦσαί σε, ἀστυκώτερον καταστήσαντα. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (364.)

Ἦν μέν ποτε κἀγὼ ταὐτὰ ποιῶν Ἡρακλείτῳ, πάντα μεμφόμενος, πρὸς πάντα δυσανασχετῶν καὶ δακρύων· νῦν δ' ἐξαίφνης εἰς τὸ τοῦ Δημοκρίτου μεταβέβλημαι σχῆμα, παίζων τὰ παίγνια· βουλοίμην γὰρ ἂν μᾶλλον χωρεῖν γελῶν πρὸς τὸν βέλτιστον θάνατον, ἢ θρηνῶν καὶ σκυθρωπάζων, ἐκεῖνον

μεναι, εἰώθασι τοῦτο μὲν λέγειν ὀργὴν, ἐκεῖνο δὲ ἔλεος· καθάπερ γὰρ οἱ προσιόντες καὶ ἀπερχόμενοι τοῦ πυρὸς, προσεγγίζοντες μὲν, ἀπολαύουσι τῆς θερμότητος· ἀφιστάμενοι δὲ ἀποψύχονται· τὸ δὲ, ἐπὶ τῆς φύσεως ἀεὶ διαμένον, οὔτε τούτους ὀργῇ ἀποψύχει, οὔτ' ἐκείνους εὐνοίᾳ θερμαίνει· οὕτω καὶ ὁ θεὸς οὐδένα ἀφ' ἑαυτοῦ οὔτ' ἀγαπᾷ, οὔτε πάλιν μισεῖ· πάθη γὰρ ταῦτα ἀγάπη καὶ μίσος, καὶ ἀνθρωπίνης ψυχῆς ἐστιν ἴδια· ὁ δὲ ἁπλοῦς ὢν ἁπλῶς, ἀπαθὴς πρεσβεύεται καὶ ὑμνεῖται. Θέλεις τοίνυν ὁρᾷν τὸν ἥλιον, καὶ ἐνασμενίζεις, ταῖς ἐκείνου ἀκτῖσι προσβάλλων τὰς ὄψεις; καθάρισον ταύτας πρῶτον· ἥλιος γὰρ τοῖς ἐστερημένοις τῆς ὄψεως, ἢ ἄλλως λελυμασμένοις ἑαυτὸν οὐ παρέχεται· θέλεις δὲ καὶ θεῷ παραμένειν, καὶ τῆς παρ' ἐκείνου εὐμενείας τυγχάνειν, κάθαρον πρῶτον σεαυτὸν τῶν ἁμαρτημάτων, καὶ ἐμπλησθήσῃ τῆς αὐτοῦ ἀγαθότητος· ταῦτα γὰρ ἐπιπροσθοῦντα, ὡς νέφος ἡλίῳ, κωλύσει σοι τὴν πρὸς ἐκεῖνον συνάφειαν· μῦρον γὰρ δοχεῖον σαπρὸν οὐ πιστεύεται. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (367.)

Ἄριστος μὲν, ὃς μηδέποθ' ἑκὼν ὑπέπεσεν ἁμαρτήματι· ἐσθλὸς δὲ καὶ ὃς τῇ Ἄτῃ πῃ καταπαλαισθεὶς, ἔθυσεν εὐθὺς ταῖς Λιταῖς· ἃς θυγατέρας μὲν Διὸς ὁ ποιητής φησι γενέσθαι, ἕπεσθαι δὲ παρὰ πόδας ἐκείνῃ τῇ Δαίμονι.

„ Καὶ γάρ τοι Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
„ Χωλαί τε, ῥυσσαί τε, παραβλῶπές τε ὀφθαλμώ.

Ἐπειδὴ τοίνυν ἡ Ἄτη κατὰ τὸν αὐτὸν σοφὸν ποιητὴν σθεναρὰ καὶ ἀρτίπους, καὶ ἄλλως κακοήθης τις οὖσα, φθάνει πᾶσαν ἐπ' αἶαν, βλάπτουσ' ἀνθρώπους, ἐλεήσας αὐτοὺς ὁ Ζεὺς, ἀπέστειλεν ἐκείνας οἷον ἀκεστορίδας, ὧν ἂν ἐπηρεία

ἀπὸ πασέων κατὰ τὸν λυρικὸν δρεψαμένους αὐτόθεν, ὅπως ἐπανελθόντες, τὴν ἑαυτῶν στέψειαν φίλην πατρίδα, ὧν κομῶσάν ποτ', ἐπέκειρεν αὐτὴν ὑστέρῳ χρόνῳ ἡ βάρβαρος μάχαιρα· καὶ τοῦτο μάλιστα νῦν, ὁπόθ' ὁ εὐτυχέστατος ἡμῶν Βασιλεὺς τοῦτο πρῶτον, ὅπως παιδευθεῖεν οἱ Ἕλληνες, δοκεῖ πεποιῆσθαι τῶν ἀγωνισμάτων προὐργιαίτατόν τε καὶ μέγιστον. Εἰσὶ δὲ οἱ νέοι ἀμφότεροι, οἷοι τῇ τε φιλοτιμίᾳ τῶν ἄλλων πολλῷ διαλλάττειν, καὶ τῶν πόνων ἀκορέστως ἀντέχεσθαι· οὐδὲ γὰρ τῶν πρὸ ὁδοῦ καὶ τῶν καθ' ἡμᾶς πάμπαν ἄγευστοι τυγχάνουσιν ὄντες, τῆς τε ἐγκυκλίου παιδείας ἱκανῶς μετεσχηκότες, καὶ τῆς φιλοσοφίας οὐχ ὅλως ἀμέτοχοι· διὸ καὶ μάλιστα προσδοκῶ ἀξίους, ὧν ὁ πόθος ἡμῶν μαντεύεται παρ' αὐτῶν, ἐπανήξειν, σὲ ἐν ἅπασι ποιουμένους προστάτην καὶ Μέντορα. Ἔῤῥωσο.

### Τῷ *Φρασικλεῖ*. (369.)

Ἐπέστειλά σοι ποτὲ, ἐν Ναυπλίῳ ἔτι τὰς διατριβὰς ποιουμένῳ, δεόμενος πόρον εὑρέσθαι διὰ σοῦ παρὰ τοῦ Βασιλέως δυσὶ νεανίαις ἐμοῖς οὖσι μαθηταῖς, ἐφ' ᾧ ἀπελθεῖν εἰς Γερμανίαν ἐπὶ θήρᾳ ὑψηλοτέρων ἐπιστημῶν. Εἰσὶ δ' οὗτοι, οἱ τότε ἐναντίᾳ φορᾷ τῆς τύχης ἀποτυχόντες, αὐτοὶ οἵδε οἱ τὰ γράμματά σοι κομίσαντες· ἧκον δὲ, ὡς ἔλαφοι διψῶσαι, ἐς τὰς πηγὰς τῆς ὑμετέρας σοφίας, τὸ ζῶν καὶ ἁλλόμενον ὕδωρ τῇ πατρίδι τῇ ἑαυτῶν ἀρυσόμενοι· ἀλλ' οἱ αὐτοὶ τυγχάνουσι τὰ μὲν ἔχοντες τῶν πρὸς τροφὴν, γλίσχρα καὶ πειναλέα, τὰ δὲ καὶ αὐτόθεν, εἴποθεν αὐτοῖς πόρος γένοιτο, εὑρησόμενοι· τοιούτοις γὰρ νέοις, ὧν τῇ ψυχῇ ἔρως ἐντέτηκται τῶν καλῶν, μετὰ τῆς τῶν φίλων ἐπικουρίας οὐδὲ τὸ θεῖον ἐγκαταλείψει· ἐλπίζω δὲ καὶ τῇ μεγαλοφροσύνῃ τοῦ τῶν γενναίων Βαυαρῶν βασιλέως, ἐξ ὧν ἔφθη εὖ ποιήσας..

οὐ γὰρ ἔσχον, ὅτῳ τρόπῳ τὴν πρὸς ταῦθ' ὑπανοῖξαι ὁδόν· ἀλλ' ὁ θεὸς οὐ φθονεῖ εὐμάρειαν τῆς περὶ τὰ καλὰ παρέχεσθαι προαιρέσεως· ἥτε γὰρ ὑπόθεσις ἤδη πάρεστι, καὶ ἡ ὁδός μοι ἀπροφασίστως ἠνέῳκται, τῶν τὰ γράμματά σοι ταῦτ' ἐπιθέντων δυοῖν νεανίαιν ἀφελόντων τὸ ἄπορον. Παρέχω σοι τοίνυν ἐμαυτὸν ἄλλον Κωνσταντᾶν εὐνοοῦντά τε, καὶ τὰ βέλτιστα συνευχόμενον· εἶθ' οὕτω θαῤῥῶν, χάριτός τινος πατὰ σοῦ τυχεῖν ἀξιῶ· ἔστι δ' ἡ χάρις μάλιστα μὲν δικαία, μάλιστα δὲ καὶ τῇ σῇ φιλοκἀγαθίᾳ προσήκουσα, σύμβουλον ἀγαθὸν, πρὸς ἃ σπεύδουσιν ἐφικέσθαι, τοῖς φιλτάτοις μοι νεανίσκοις γενέσθαι· τό,τε γὰρ φιλομαθὲς καὶ φιλόπατρι καὶ τὸ πολλῶν πεῖραν ἔχειν καθίστησί σε καὶ πατρὸς αὐτοῖς τόπον ἔχειν. Ἔῤῥωσο.

Τῷ *Λευκία.* (372.)

Ἡδέως μὲν διετέθην, ἐξ ὧν αὐτὸς πρῶτον ἀνήγγειλάς μοι, μαθὼν ἐπανελθόντα σε ἐκ τῆς Γερμανίας εἰς Ναύπλιον. ἥδιον δ' οὖν καὶ εἶδόν σε ἄν, εἰ καὶ παρῄεις ἐντεῦθεν ἐκ τῶν Ἀθηνῶν, ὥς μοι γέγραφας· ὃ καὶ ἐς δεῦρο μάλιστ' ἀναβαλέσθαι τὴν ἀπάντησίν μοι αἰτία γεγένηται· νῦν δ' ἔοικας ἀπειπεῖν τὸν Ἀθήναζε πλοῦν· ἢ πεπλευκὼς ἐπιλαθέσθαι, ἢ μὴ ἀξιῶσαι ἄλλως προσιδεῖν καὶ τὴν Αἴγιναν, ὡς ἐλεεινὸν λείψανον τῆς τοῦ Αἰακοῦ βασιλείας, καὶ τῆς τῶν Μυρμηδόνων ἑστίας· ἐν ᾗ νῦν γ' ἡμεῖς παροικοῦμεν. Εἰ μὲν οὖν ταῦθ' οὕτως ἔχει (δυνατὸν γὰρ καὶ ἄλλα πολλὰ τὰ κωλύσαντα εἶναι) ποιῶ τοῦθ', ὅπερ ἐμοὶ δυνατὸν, καὶ ἀναπληρῶ τὸν πόθον τοῖς γράμμασιν, ἀσπαζόμενος καὶ καταφιλῶν τὸν σοφόν μοι Ἀσκληπιάδην. Ἔῤῥωσο.

*Πανταζῇ καὶ Κύρῳ.* (373.)

Οὐκ εὔνοια, οὐμενουν, ἀλλὰ φθόνος ἄντικρυς, εἰ μή τις

ἀπροσδοκήτως ἐπιπεσὸν, ὡς ἀπὸ ῥαγδαιοτέρας ἐπισκῆπτον ὁρμῆς, καταπλήττει, τήν θ' ἡδονὴν καὶ τὴν λύπην, ὁπότερον τύχοι, μᾶλλον αἰσθητὴν ἀπεργάζεταί ἐπ' ἀμφότερα. Τοιούτοις οὖν λογισμοῖς ἐμφιλοσοφῶν, παραμυθοῦμαι αὐτὸς ἐμαυτόν· εἰ γὰρ τὰ ἀγαθὰ ἐδεξάμεθα, φησὶν ὁ πολύτλας Ἰὼϐ, τὰ κακὰ οὐχ ὑποίσομεν; Ἀλλ' ἐπὶ μὲν τῶν φυσικῶν συγκατατίθεσθαι ταῦτα ἔοικας, καὶ ὅσ' ἐκ τῆς Προνοίας ἡμῖν συμϐαίη, φαίης ἂν καὶ ταῦτ' ἀναγκαίως οἰστέον· τὰ δ' ἐκ πολιτικῆς πονηρᾶς ἐπερχόμενα, ἀνοίπιςα γίγνεται, ὡς πολὺ αὐτῆς τῆς τοῦ ζῆν ἡδονῆς ὑφαιροῦντα· ἀλλὰ καὶ τοῦτ' ἐπίσης ἀνόητον γίγνεται, αὐτοὺς λυπεῖσθαι, ἐφ' οἷς ἁμαρτάνουσιν ἕτεροι· οἳ οὐχ ὡς ἡμῖν, ἀλλ' ὡς ἑαυτοῖς δοκεῖ, πρὸς τὸ φαῦλον χρῶνται τοῖς πράγμασι· δεῖ γὰρ δὴ τοὺς νοῦν ἔχοντας ἀεὶ τὰ ἄριςα, ὅπῃ ἂν δύνωνται πράττοντας, μηδὲν ἄχθεσθαι, ἑτέρων ταῦτα διαφθειρόντων, αὐτοὺς δὲ μήδ' ὁτιοῦν ἐκείνοις τούτων συμμετασχόντας. Ἐκ τοιαύτης τοίνυν ἔγωγε γνώμης ταῦτά τε, καὶ τὴν, ἐξ ἧς τὸ Ὀρφανοτροφεῖον διαλέλυται, ἐπήρειαν τῶν ἐχθρῶν μετριώτερον ὑπομείνας, νῦν αὖθις ἀμφὶ τὴν τυπογραφίαν ἀσμένως ἐνασχολοῦμαι, εἰ μήτις βάσκανος αὖθις ὀφθαλμὸς ἐφ' ἡμᾶς ἐπανασταίη· τὰ γὰρ καλὰ καλῶς γιγνόμενα ὑπάγονται ῥᾳδίως τὴν Ἄτην βαίνουσαν παρὰ πόδας. Ἐπὶ τούτοις οὖν ἴσθι ἡμᾶς τό γε νῦν εὐθύμως τοὔσχατον τοῦ βίου διάγοντας· ἄλλως γὰρ οὐκ ἂν ἀνασχοίμεθα ἀέργως ἀποθανεῖν. Ἔρρωσο.

## *Γεωργίῳ.* (375.)

Τὴν Ἄτην θεὸν τῶν οὐκ εὐκαταφρονήτων ἰσχύϊ γεγενημένην, ἐν οὐρανῷ τὴν ἕδραν φασὶν οἱ μῦθοι τὸ κατ' ἀρχὰς ἐσχηκέναι· εἶθ' ὡς κακωτικήν γε οὖσαν, καὶ πλεῖστα ἐπηρεάζουσαν τοῖς θεοῖς, ὀργισθεὶς ἐπὶ τούτοις ὁ Ζεὺς, καὶ

τὸν Κωνσταντᾶν, τὸν τὰ πάνθ' ὑπὸ πάντων τῶν τοῖς ἡμετέροις φθονούντων παθόντα καὶ αὐτὸν, μόνον παραμύθιον ἔχων. Μετὰ δὲ μῆνα οὐχ ὅλον ἴσως ἄρξομαι ἐκδοῦναι τύποις, ἅ μοι ἐν Στεφανουπόλει τῆς Τρασσιλβανίας πεπόνηται· ὧν τὸ τριτημόριον βουλοίμην ἂν διανεῖμαι τοῖς ἐκτὸς τῶν τῆς Ἑλλάδος ὅρων ἐλλογίμοις διδασκάλοις τε καὶ μαθηταῖς, παρ' οἷς εἴη ἂν καὶ λόγος τὶς τῆς πατρῴας παιδείας, καὶ μάλισθ' ἁπλῶς τῆς γλώσσης, ἥτις παρ' ἡμῖν νῦν κάτεισιν ἄνω, ὅτε ἀνέβη κάτω, ὥσπερ θρυαλλίδιον διψαλέον συνεκλείπουσα ταῖς τοῦ χρόνου προβάσεσι· καὶ οὐχ ὅπως ταῦθ' οὕτως ἔχει, ἀλλὰ καὶ τἄλλα οὔτοι ἄμεινον· ἃ οὐσιωδέστερα ἄνωθεν ὁ λόγος ἐκήρυξε διαπρύσιον· καὶ εἰ μήτις αὐτόθεν ἐκ Στεντορίου στήθους, ῥήξας φωνὴν φθέγξαιτο μετὰ τοῦ Προςάτου. Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, οὐκ ἂν στησαίμεθα ἀναβαίνοντες κάτω. Ἀλλὰ ταῦτα παρὰ χορδήν. Νῦν δ' ὅπως μοι τὰ βιβλία διανεμεθήσεται ἄριστά τε καὶ ῥᾷστα πανταχῆ, ὁποιδήποθ' ἡ Ἑλλὰς φωνὴ τρανώτερον ἐξακούεται, τοῦτο δὴ νῦν σκοπῶν, οὐκ ἔχω εὑρεῖν, ἐπιμιξίας ἡμῖν πρὸς ἐκείνους μὴ οὔσης· βουλοίμην γὰρ ἂν αὐτοὺς ἑκάστους ἥκειν ἀποληψομένους τὸ μέρος, ὃ ἂν τῶν σχολείων ἑκάστῳ προσδιορισθείη, ἵνα πολῶν οὕτω καὶ ἀνυνήτων αὐτὸς ἀπαλλαττοίμην πραγμάτων. Ἀλλὰ περὶ τούτων καὶ ἐς αὖθις μεταφρασόμεθα. Νῦν δὲ τοῦτ' ἐκεῖνο ἥκω σοι μάλιστα δεησόμενος, ὃ καὶ αὐτὸς ὡς παρὰ τοῦ ἁγίου Τορνόβου κυρίου Ἱλαρίωνος ἐπέςειλάς μοι ποτέ· κἀγὼ ἐν Γαβρόβῳ παριὼν, ὁπότε κατῄειν δεῦρο, αὐτήκοος τοῦ αὐτοῦ ἱεροῦ ἀνδρὸς ἐγενόμην· τὸ ἐν τῷ μετοχίῳ δηλονότι τοῦ Σινᾶ κιβώτιον τῶν βιβλίων μου, τοῦτο ἐξαιτησάμενον παρὰ τῶν ἐχόντων, παραδοῦναι τῷ τὰ γράμματά σοι κομίσαντι· ὁ δὲ, παραλαβὼν, ἐξαποςελεῖ πρὸς ἐμὲ, ὅπως αὐτῷ ἄμεινον προχωροίη· Ἔῤῥωσο, καὶ

λιμένα, ὁρῶ τὸ πλοῖον, ἐφ' οὗ τὸ ἱεράν σου σκῆνος ἀνήγετο ἐποχούμενον, ἤδη περὶ τὸ τοῦ λιμένος στόμα σὺν κολπώσει τῶν ἱςίων ἐκπλέον· κἀκ τούτου σφόδραγ' ἐμεμψάμην ἐμαυτὸν μὲν οὔ· σύνοιδα γὰρ ἐμαυτῷ μηδὲν κατημεληκότι· τῇ δὲ τύχῃ καὶ τοῖς ἀνέμοις, ὅτι ἐξαπιναίως, ἀφήρπασαν ἀφ' ἡμῶν τὸν ἀγαθὸν τῶν λογικῶν προβάτων ποιμένα. Ἐγὼ δ' οὖν καί τοι δοκῶ ἀστοχῆσαι, οὗ ἐτύγχανον ἐφιέμενος, ἀλλ' οὐχ ἧττον τῇ γε θέᾳ τὸ τῆς ψυχῆς ἡδόμενον ἐθεράπευσα, προπέμψας οὕτως ἐπὶ πολὺ, ὅσον ἐξῆν μοι ἐφικέσθαι τῇ ὄψει, ὃν σέβω καὶ τιμῶ ἐν τοῖς μάλιστα· τοῦτο γὰρ ἦν μοι ὑπόλοιπον· καὶ συνευξάμενος ἅμα οὔριον καὶ πλησίον σοι γενέσθαι τὸ πνεῦμα, ἐπανῆλθον ἐπ' οἴκου. Ἀλλ' εἴης μοι ἐῤῥωμένος διὰ βίου, ἱερώτατε πάτερ, ἀπλανῶς, ὅπερ σοι ἐμπεπίστευται ποίμνιον, εἰς τὴν λογικὴν ἐπισυνάγων μάνδραν, καὶ τῆς παιδείας αὐτῶν φροντίδα ποιούμενος.

*Δημητρίῳ.* (379.)

Τὰ μὲν πεντεκαίδεκα τῶν πορτοκαλλίων, ἅ μοι πέπομφας, ἄσμενος κομισάμενος, συνεσκευασάμην ἀπ' αὐτῶν γλύκισμα ἥδιστον, τὰ μὲν κελύφη μέλιτι δεύσας τῷ τῆς Αἰγίνης ἐν τῇ ἑψήσει, ὃ τοῦ Ὑμιττείου φασὶ μηδὲν ἔλαττον ἔχειν· τὸ δὲ ἐντὸς καὶ τὸ τρόφιμον ζακχάρει μίξας ἐν τῇ συσκευασίᾳ· ὃ πολλῷ ἔμοιγε ἥδιον, ὡς μετὰ τοῦ γλυκέος καὶ ὑπόξυνόν τινα τῇ γεύσει ποιότητα παρεχόμενον. Τὰ δὲ κίτρα ἐλπίζω καὶ ταῦτα κομίσασθαι· καὶ οὐκ ἂν σεβαστὸς ἱερεὺς, ὃν ἐγὼ τιμῶ ἐν ταῖς μάλιστα, εὖ αὐτῷ ποθ' ὕστερον παρασχὸν, ψεύσαιτ' ἂν τὴν ὑπόσχεσιν. Περὶ δὲ τοῦ παιδὸς μηδὲν φρόντιζε· ἐοικὼς γὰρ ὅλως τῷ πατρὶ ἐν τοῖς ἤθεσιν, ἁμιλλᾶται ὑπερβαλλεῖν αὐτὸν ἐν ταῖς ἐπιστήμαις. Ἔῤῥωσο.

ραφας, ἐν Παρισίοις ἐκδέδοται, καὶ ταύτῃ, εἰ ἐντύχοιμεν, οὐ σμικρὸν καὶ τοῦτο θησόμεθα εὕρημα· τοσούτῳ γὰρ ἥδιον τῇ βίβλῳ ἐνδιατρίψομεν, ὅσῳ περὶ πλείστου ποιούμεθα τὸν συγγράψαντα. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (382.)

Εὐτραπελωτάτους μὲν καὶ χαριεστάτους πρὸς ἅπαντα τοὺς Γάλλους φασὶ γενέσθαι, κούφους δ' ἄλλως, καὶ ἀστάτους ἐν τοῖς καθεστῶσιν· ἐγὼ δὲ τοὺς Ἕλληνας σκοπῶν εὑρίσκω μᾶλλον πάσχοντας τοῦτο, ὅσῳ καὶ ταῖς περὶ τὰ καλὰ ἐμπειρίαις ἐκείνων ἐλλείπονται· τὸ γὰρ ἐξ ἀφαιρέσεως τῶν χρηστῶν πρόσθεσις τοῖς φαύλοις πέφυκε γίγνεσθαι· οἱ μὲν γὰρ, καίτοι δεκάτῳ ἔτει ἀπώλεσαν τὸ, δι' ὃ τοσούτους κινδύνους ὑπέστησαν, ἀλλά γε κατὰ τὸ μικτὸν τοῦτο σύστημα τῆς ἀρχῆς κατώρθωσαν ὕστερον πολιτεύεσθαι· ἡ δὲ τῶν Ἑλλήνων πρὸς τὴν ἐλευθερίαν ὁρμὴ, ἀρχῆθέν τε ἀπονοίας γενομένη θυγάτηρ ἑπτὰ ὅλα ἔτη, εἰς παροινίαν τῷ χρόνῳ μετέβαλε· καὶ αὖθις ψήφῳ τῶν συμμάχων μετονομασθεῖσα Ἐλευθερία, εἰς ἀναρχίαν καὶ ὕβριν ἐχώρησε, κἀπὶ τὸν εὐεργέτην ἀνόσιον χεῖρα ἀντάρασα, εἰς μανίαν φανερὰν ἐξεῤῥάγη· ἔνθα σφακελίσασα τελευταῖον, ᾤχετ' ἀπιοῦσα, διακενεῖς ὡς λύκους κατὰ τὴν παροιμίαν καταλιποῦσα τοὺς Ἕλληνας. Ἔῤῥωσο.

Βαλέτᾳ. (383.)

Κωνσταντῖνος ὁ Γαρβουλᾶς ἐπανελθὼν αὐτόθεν, καὶ προσειπών με παρὰ σοῦ τὰ εἰκότα, ᾔτησε βίβλον τινὰ παρ' ἐμοῦ τῶν ἀρχαίων, ὅπως ἐξαποστείλῃ σοι αὐτὴν, ὡς τοιούτων λόγων, καὶ ταῦτ' Ἀθήνησιν, ἀποροῦντι καθάπαξ, καίπερ ἀλλογλώσσων εὐποροῦντι ἐκ τοῦ περιόντος. Ἐγὼ δὲ ταῦτ' ἀκούσας, ἥδιστα διετέθην, καὶ ηὐξάμην γε ἀτεχνῶς, ἀπὸ βαθείας

κατ' ἀμφότερα· δύο γὰρ νῦν γ' ἴσμεν ὡσπερεὶ στοιχεῖα τῶν ἐθνῶν, τὴν γλῶσσαν καὶ τὴν θρησκείαν. Τούτων οὖν ἐχώμεθα, καὶ περὶ τούτων τὴν πλείστην ποιώμεθα φροντίδα· τά δ' ἄλλα καὶ μὴ σπουδαίως ἡμῖν ζητοῦσιν αὐτόμολα φιλοῦσιν ἀκολουθεῖν. Ἀλλ' ἔγωγε μὲν, πολλὰ πολλάκις καὶ γράψας καὶ εἰπὼν περὶ τούτων, νῦν ἄγνων μηκέτι μηδὲν εἰπεῖν. οἱ γὰρ ἐμοὶ λόγοι, συνήθεις ἤδη γενόμενοι τοῖς ὠσὶ τῶν πολλῶν, καθάπερ οἱ ἐν ἀγορᾷ τῶν πωλούντων τὰ ὤνια, σφόδρ' ἀηδεῖς καὶ ἀδύνατοι τῇ συνηθείᾳ καθεστήκεσαν τοῖς ἀκούουσι· καὶ οὐκ ἂν τονώτερον αὐτοῖς παράσχοιεν αἴσθημα, ἢ καὶ τοῖς κωφοῖς τῶν κωδώνων οἱ χαλαρώτατοι· Δεῖ τοίνυν ἀνδρὸς Νέστορός τε ἅμα καὶ Στέντορος, ὃς ἐκ Τυρσηνικῆς ὁρμώμενος σάλπιγκος, γεγωνότερον φθέγξαιτο τὸ τοῦ Ἀρχαγγέλου, Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου ἐν τοῖς καθεστῶσιν· εἰ δὲ μὴ, νῦν γ' ὅτε δὴ δοκοῦμεν παρ' ἡμῖν αὐτοῖς εὐπλοεῖν, ἀπολούμεθα. Τοιαῦτ' εἴτις ἐκ τοῦ ἀξιωματικοῦ καὶ ἀπροσδοκήτου, ἃ ἄμφω ἰσχυρῶς πέφυκε ταῖς τῶν ἀνθρώπων προσβάλλειν ψυχαῖς, ἀναβοήσειεν τοῖς χαύνως ἀμφὶ ταῦτα ἔχουσι, τάχ' ἂν ἴσως ἀναστήσαντες ἐκεῖνοι τὸ οὖς πρὸς τὴν προσβολὴν, καὶ καραδοκοῦντες τὸ ἐκ τῆς ἀπειλῆς ἐκβησόμενον, σκέψαιντ' ἂν οὕτω ποτὲ, οἵαν γλῶσσαν τὴν ἑαυτῶν ἀναλίσκουσι, τὴν τοῦ Αἰσωπείου χρυσοχόου περιλείχοντες ῥίνην τῷ τῶν ἀλλοτρίων καλῶν ἡδοναῖς ἐκχαυνοῦσθαι. Ἀλλὰ τίς ἂν εἴη ἡμῖν ὁ ἀνὴρ καὶ τὴν Νεστόρειον αὐδὴν καὶ τὴν Στεντόρειον κραυγὴν κεκτημένος; τίς ἕτερος, ἢ ὃν καὶ Μοῦσα ἐφίλησε μάλιστα, καὶ λόγοι ἐτίμησαν, καὶ τἄλλα ἐν μεγίστῳ παρὰ τῶν Ἑλλήνων ἀξιώματι ἅπαντες ἴσμεν διάγοντα. Βαλέττου γὰρ τἄριστα συμβουλεύσαντος, οὐδεὶς, οὐδ' ἂν τῶν ἀτοπωτάτων τὶς ἢ δύναιτ' ἂν προσοχθίσαι τῇ ἀκροάσει· εἴθ' οὕτω καὶ ἡμεῖς, ἐπιχορηγοῦντες

φόμενον ἐν τῷ στρατοπέδῳ· οὐ γὰρ ἄξιον αὐτὸν μόνον τῶν ἁπάντων ἀγέραστον εἶναι. Οὕτως οὖν, ὅπερ ὁ τῆς Θέτιδος ἐτίθετο δίκαιον, τοῦθ' ὁ τοῦ Ἀτρέως ᾤετο τελεῖν ἐς ἀδίκημα· Πόθεν οὖν αὐτοῖς τὸ τῆς γνώμης ἐνταῦθα διάφορον; ἐκ τοῦ δόγματος τοῦ ἔχειν ἕκαστον τοῦθ', ὅπερ οὐκ ἔχει ταῖς ἀληθείαις· ἐξ ὧν γὰρ οὐ κατὰ λόγον δοξάζομεν, ἁμαρτάνομεν, ἃ οὐχ ὑπάρχει ἡμῶν, ἡμέτερα ταῦτα τιθέμενοι. Τί οὖν; οὐ δίκαιον ἐπὶ τούτοις τὸν Ἀτρείδην μισεῖσθαι; οὔμενουν μᾶλλον, ἢ ἐλεεῖσθαι· δόγμα γὰρ αὐτὸν ἐξηπάτησε, καθάπερ καὶ ἡμῶν ἕκαστον ἕτερον. Ἄφελε τοίνυν πρότερον τὰς προλήψεις, ὡς τοῦτο μέν ἐστιν ἐμὸν, ἐκεῖνο δὲ σὸν, καὶ συνεκλείψει τὸ τῆς ἀπάτης, ἡ τῶν πάντων πλημμελημάτων πηγή· εἰ γὰρ ᾔδειμεν, ἅ ἐστιν ἡμέτερα φύσει, καὶ ὅτι μόνον τὰ ἐφ' ἡμῖν, οὐκ ἂν οὔτ' Ἀγαμέμνων ἠπατήθη, ἑαυτοῦ, μὴ οὖσαν ἑαυτοῦ, τὴν κόρην τοῦ Χρύσου τιθέμενος, οὔθ' ὁ πατὴρ, στερούμενος αὐτῆς κατηράσατ' ἂν ἐκείνῳ, οὔθ' ὁ τοῦ Πηλέως πρὸς ταῦτα ἐμήνιεν, οὔθ' οἱ Ἕλληνες τοσαῦτα ἔπαθον ὕστερον. Τί οὖν θαυμαστὸν, εἰ καὶ ὁ Λεόντιος τὰς σὰς ἀλεκτωρίδας ἐφάρμαξε; δόγμα γὰρ αὐτὸν ἐξηπάτησε μὴ ἂν εἶναι δίκαιον σὲ μὲν τοσαύτας κεκτῆσθαι ἐκ τῶν γειτόνων, αὐτῷ δὲ μηδεμίαν ὑπάρχειν. Σὺ δ' οὖν ὤφειλες μηδὲν ἐπὶ τοῖς οὐκ ἐφ' ἡμῖν χαλεπῆναι· τῶν γὰρ σῶν ἀφείλετο οὐδὲ ἓν, οὐδ' ἂν δύναιτο, οὔτ' αὐτὸς, οὔθ' ὁ Ζεὺς αὐτὸς, εἴγ' ἀτεχνῶς εἴη σὸν, καὶ μὴ καθάπερ ἐν τῷ πανδοκείῳ, ᾗ φασιν Ἐπίκτητος, ἡ κλίνη, ἐφ' ἧς ἀναπαυσάμενοι τῆς νυκτὸς, ἡμέρας ὑπολαμψάσης, καταλιπόντες ἀπαίρομεν. Ἔῤῥωσο.

*Ἀναστασίῳ.* (385.)

Ἀκούω πολλῶν ἰατρῶν εἰς τὸν σὸν οἶκον ἐγγίνεσθαι εἴσοδον, καὶ κοίλαις ταῖς χερσὶν ἀμφοτέραις τὸ σὸν ἀργύριον ἐκ-

ἐπαγγελία, ὡς ὑπὲρ λόγον καὶ αἴσθησιν καὶ αὐτὴ παραπείθουσα, ἀναβάλλεται· κἀντεῦθεν ἄρα πιθανώτερον, φαίης ἂν, τοῖς πολλοῖς, ὡς φυσικωτέρα τῶν ἄλλων, ἡ αἴσθησις. Ἀλλ' εἶεν τοῦτό γε τοῖς πολλοῖς· σεαυτὸν δὲ κἀμὲ οὐκ ἂν, οἶμαι, τοῖς πολλοῖς ἐγκατατάξειας, εὖ φρονῶν· ἀλλ' ὅμως ἡμεῖς γ' αὐτοὶ οἱ καὶ λόγου ἐπίβολοι μάλιστα, καὶ πίστει ἀκράδαντοι ἄμφω, ἀλλ' οὖν καὶ χελώνης αὐτῆς σχολαίτερον, ἐφ' ἃ νῦν παρακελευόμεθα, δοκοῦμεν βαδίζειν, ὀκλάζοντές τ' ἀεὶ καὶ ἀντερείδοντες πρὸς τὸ ἔμπαλιν, καὶ ὡς βραχυτάτοις χρώμενοι τοῖς σταθμοῖς. Τί οὖν ἂν εἴη αἴτιον τούτου; ἐπὶ τὴν αἴσθησιν εὖ οἶδ' ὅτι κἀν τούτοις αὖ καταφεύξῃ. Ὁρᾷς οὖν ὅπως ταῦτα καὶ τῶν ἐντὸς λόγου παρὰ λόγον κεκράτηκεν; ἡδὺ γάρ ἐστι τὸ φῶς. Τί οὖν ποιῶμεν, ἵν' ἔτι ἐνδιατρίψωμεν αὐτῷ; ἐγώ σοι ἐρῶ· τυγχάνω γὰρ θεόθεν ἐξαιτησάμενος τριετῆ ζωῆς προθεσμίαν, μέχρις ἂν ἐκδῶ τύποις, ἅ μοι πεπόνηται ἔσχατα· καί γε πέποιθα εὑρήσεσθαι οὐρανόθεν τὴν χάριν· ἵν' οὖν καί σοι ᾖ ἀπολογία εὐπρεπὴς πρὸς τὸν ἐπισπέρχοντα κατιέναι εἰς τὸ πορθμαῖον, τὸ οὐ σχολή μοι συχνὸν ἐπιλέγοντι, δεῦρο συναντιλαβοῦ μοι τῶν πόνων, ἵν' ἀφ' ὧν ἑκάτερος ἡμῶν πλεονεκτεῖ, μεταδιδόντες ἀλλήλοις, ἐγὼ μὲν τῆς τῶν ἐτῶν προθεσμίας, σὺ δέ μοι τῆς τῶν πόνων ἀνακουφίσεως, οὕτως ὁμοῦ ποθ' ὕστερον συναμφότεροι καὶ τῆς τοῦ σκαφιδίου συναντιλαβοίμεθα κώπης ἐπ' ἀσφοδελὸν λιμῶνα. Ἔρρωσο.

Τῷ αὐτῷ. (387.)

Κυάμους σπουδαίους ἀκούω εἰς τὸν ἡμέτερον κατακομισθῆναι λιμένα. Τούτων οὖν ἡμιμέδιμνον ὠνήσασθαι βούλομαι τήμερον· ἀλλ' ἀργύριον οὐκέθ' ὑπάρχει· ὃ γὰρ ἦν μοι ὑπόλοιπον, καὶ τοῦτ' ἐπέλιπε νῦν, σῖτον ἐς τρίμηνον προμη-

ποιῶ, ἐφ' ᾧ χρηματίζεσθαι καὶ ἄλλον μού τινα φλήναφον καταχεῖν. νῦν δὲ, ἐπειδὴ τὰ οἰκεῖα ἄρδην καταναλίσκων, μέλλω πάντα διανεμεῖν τοῖς χρήζουσι προῖκα, τήκονται πάθει, ὅτι καὶ αὐτοὶ, εἴγ' αἰσθάνονται, ἀναγκασθήσονται ποθ' ὕστερον ἑκόντες ἀέκοντες ἐπαινέσαι τὸ ἔργον· οὐκοῦν οἶδα λυπῶν αὐτοὺς, λύχνον καίων· εἰς γὰρ τοῦτο μοχθηρίας ἀφίκοντο, ὥστ' εὔξασθαι δεῖν ἡμᾶς τῷ θεῷ δυοῖν θάτερον, ἤτοι φρόνησιν αὐτοῖς ἐνθεῖναι ἡτινοῦν, ὥστε διακρίνειν ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα, ἢ τῶν τοιούτων θηρίων ἀπαλλάξαι τοὺς Ἕλληνας. Ἔῤῥωσο.

## Τῷ *Βαλέττᾳ*. (390.)

Πρῴην κατιὼν ἐς τὴν ἀγορὰν, κυάμους ἔναγχος κατακομισθέντας αὐτοῦ ἔξωθεν ὠνησόμενος, ὁρῶ ἐν παρόδῳ παρά τινι τῶν σκυτοτόμων βιβλί' ἄττα λίαν ἠμελημένως ἐν τοῖς σκύτεσι παράβυστα κείμενα. Ὡς δὲ ἀναλεξάμενος, εὗρον καὶ Ἀῤῥιανοῦ τὰ ὑπόλοιπα πλὴν τοῦ ἑβδόμου τοῦ τὰ τακτικὰ καὶ τοὺς πίνακας αὐτῶν περιέχοντος, εὐθὺς εἰς λόγους ἐλθὼν πρὸς τὸν κεκτημένον συνεθέμην ὡς ἑκατόμβοια ἐννεαβοίων κατὰ Διομήδην, ἑτέρων δὴ παιδαγωγικῶν βιβλιδίων, χρησίμων γε τοῖς τοῦ ἐμοῦ χρηστοῦ Γλαύκου παισὶν ἐσομένων, ἀνταλλάξασθαι ταῦτα. Ἀπολαβὼν οὖν καὶ ταῦτ' εὐμενῶς παρὰ τοῦ κομίσαντος καὶ ταῦτα τὰ γράμματα, πρόσθες τοῖς πρώτοις, μέχρις ἂν καὶ ἐξ ἑτέρων ὀφθῶ ἐναντίον σου. Ἔῤῥωσο

## *Κωνσταντίνῳ*. (391.)

Ὁρῶ μὲν καὶ ταῦτα· ἀλλ' οὐκ ἀπὸ τῶν αὐτῶν σοι ἀρχῶν τὰ πράγματα, ποῖποτε μέλλει ἀφίξεσθαι, θεωρῶ· οὐ γὰρ ἐκ τῆς ἐμπορίας, οὐδ' ἐκ τῆς γεωργίας τοῖς Ἕλλησι τὸ

μὲν ἤδη ἐπὶ γήρως οὐδῷ ἐπιβεβηκὼς, οὐκ ἂν περιγενοίμην, ὥστε καὶ ἐπιδεῖν· μηδὲ γένοιτό μοι· σὺ δὲ νεώτερος ὢν, εἰ μή τις ἄρα ἐξ ἄλλης ἀρχῆς ὁρμηθεὶς, περιστείλειε τὸ πρᾶγμ' αὐτὸ εἰς ἑαυτὸ ποθ' ὕστερον, τηνικαῦτα ἐπιμνησθεὶς τῶν ἐμῶν αἰνιγμάτων, ἐρεῖς ἴσως ἐμὲ εἰκαστὴν γεγονέναι τοῦ μέλλοντος εὐστοχώτατον. Ἔῤῥωσο.

*Ἀναστασίῳ.* (392.)

Ἣν πέπομφας ἐπιστολὴν πρὸς Πανταζῆν τὸν ἐμὸν μαθητὴν, κομισάμενος αὐτὸς, καὶ ἀνοίξας αὐτοῦ ἀδείᾳ, ἀνέγνων· ἐκεῖνος γὰρ τεσσαρακοστῇ ἤδη ἡμέρᾳ ἀπῆρε σὺν τῷ Κύρῳ εἰς Γερμανίαν πρὸς θήραν τελειοτέρας φιλοσοφίας· ἃ τοίνυν ἔγραψας ἀπαιτῶν, τούτων οὐδὲν κατέλιπε παρ' ἐμοί· οἶμαι δὲ μηδ' ἄλλῳ τῳ παρ' ἡμῖν. Ἔῤῥωσο.

*Μηχαλίδῃ.* (393.)

Κορομηλᾶς οὑμὸς τυπογράφος, τὰ παρά σου ἀποδούς μοι γράμματα, ἐξ ὧν ἔγνων σὲ σὺν σπουδῇ κατατείνοντα πρὸς τὸ τέρμα, προσέθηκε καὶ οἴκοθεν οὐκ ἀβληχρὰ κατὰ σοῦ ἐγκώμια, διεξιών μοι, ἃ ἦν ἀκηκοὼς περὶ σοῦ λέγοντος τοῦ φιλομαθεστάτου πρώην Ἡγεμόνος τῆς Μολδαυΐας. Τούτων οὖν οὕτω περὶ σοῦ λεγομένων, οὐκ ἂν ἀδικοίην, εἰ ἀμφισβητοίην κἀυτὸς τῶν ἐπαίνων τὸ μέρος· Τὸ γὰρ τοὺς μαθητὰς τιμᾶσθαι λόγῳ τῶν σχετικῶν συντιμᾷ τοὺς διδάξαντας· τοὺς δὲ γεγηρακότας καὶ μάλιστα, ὡς μόνον τῶν ἁπάντων ἀγήραστον τὸ φιλότιμον ἔχοντας· Βουλοίμην δ' ἂν οὖν, ὥσπερ ἐν δυσὶν οὐχ ὅλοις ἔτεσι, διῆλθες τὰ παρ' ἡμῖν ἐγκύκλιά τε, καὶ ὅσα φιλόσοφα, ἀπνευστὶ καταπιὼν αὐτὰ, ὥσπερ βοῦς οὕτω καὶ τῆς ἰατρικῆς ἐν ἴσῳ χρόνῳ ἐγκρατῆ σε γενέσθαι·

ἡμᾶς διαθεῖναι, καὶ τὰ κατ' ἤπειρον εὐτυχῶς διανύσαι διδάξαντα· τοῦτο γὰρ πρῶτον, ὡς εἰκός· τὰ δ' ἄλλα ᾗπερ προχωροίη ἡμῖν τοῦ λοιποῦ, ἐξέσται ἡμῖν ἐφ' ἑκάστου τῶν καιρῶν, ὅπως ἂν βουλώμεθα γάφειν. Ἔῤῥωσο.

Τῷ *Λευκίᾳ* (396.)

Τίποτε τοσοῦτον ὑστέρησα ἀπαντῆσαι πρὸς ἅμοι ἐπέστειλας, τοῦτο πρῶτον ἀπολογησόμενος ἥκω· ὡς γὰρ ἐπεδόθημοι τὰ βιβλία, λαβὼν ταῦτα Γρηγόριος ὁ Κωνσταντᾶς, διῆλθεν ἐπισταμένως ἀμφότερα, ὡς ἐμοῦ ἀσχολουμένου περὶ τὸν τύπον τῶν ἐμαυτοῦ πονημάτων. Τί οὖν περὶ αὐτῶν κρίνας ὁ γηραιὸς ἀπεφήνατο; ἢ ὅτι καλὰ μὲν καὶ γενναῖα ἀμφότερα, ἀλλ' ἀπηύξατο μὴ καὶ τελευταῖα ταῦτα τοῖς Ἕλλησιν εἶναι· ὡς γὰρ ἔξεστιν εἰκάσαι ἀπὸ τῶν παρόντων, οὐκέτ' ἔσται παρ' ἡμῖν, ὃς ἄλλος οὕτως ἡδέως τῇ Ἑλληνικῇ συνευνασθήσεται Μούσῃ, ἐξ ἧς τοιούτους εὐγενεῖς ἑαυτῷ παῖδας τέξεται, τῶν καθ' ἡμᾶς σχολείων χωραύντων κατὰ πολλὴν ἀνεπιστασίαν καὶ νάρκην, καὶ τῆς γλώσσης ἀμελουμένης, καὶ ῥαγδαίως κατὰ τοὺς κατασχεθέντας χειμάῤῥους ὑποχωρούσης πρὸς χωρία ἄνικμα, καὶ ὅλως ἀξύμφυλα. Κᾀκεῖνος μὲν ταῦτα. Ἐγὼ δὲ οὐδὲν ἂν προσθείην πλέον παρ' ὅ μοι πρός τινα τῶν ἐμῶν τὴν ἰατρικὴν ἤδη ἐν Παρισίοις διδασκόμενον γέγραπται πρότριτα. Ἴσθι γὰρ, ἔφην, ὡς πολλῶν παρὰ τοῖς Ἕλλησιν ὄντων ἰατρῶν, ὧν ἕκαστος ἄλλοτ' ἐν ἄλλοις ἐπιδεικνυμένων τὴν ἑαυτῶν πολυμάθειαν, Ἀναστάσιος ὁ Λευκίας, προτείνας ἐς μέσους αὐτοὺς ἐκ βαθείας, καθάπερ τις τῶν ἀρχαίων Λακώνων, σιγῆς τὸ περὶ Πεμφιγώδους λοιμοῦ, ἐποίησεν αὐτοὺς κατασιγασθέντας καταδύναι ἄλλους ἄλλῃ, ὥσπερ οἱ βάτραχοι ἐπιφανέντος Ὕδρου· διὸ καὶ πάλιν καὶ πολλάκις ἐντέλλομαί σοι μηδέποτε τῆς

ἦν αὐτὸ καθ' ἑαυτὸ θεωρούμενον, ἀνεπαίσθητον ὅλως ἂν ἦν· νῦν δὲ διὰ τὸ ἀντικείμενον, ἤτοι ἡδὺ, ἢ λυπηρὸν καθίσταται ἕκαστον· ἡδὺ μὲν ἀρχόμενον, προϊὸν δὲ, καὶ καθυφὲν κατὰ μικρὸν, μεταβάλλει εἰς ἀηδίαν· ἀψίκορον γὰρ ἀεὶ γιγνόμενον τὸ παρὸν, προσιόντος τοῦ ἐναντίου, ὀχληρὸν ἀποβαίνει. Ὅθεν εἰ μὴ ταῦθ' οὕτω πρὸς ἄλληλα ἔσχεν, οὐδ' ἂν τὰ ὀνόματα αὐτῶν ἐγινώσκομεν· τίς γὰρ ἂν φωτὸς ἰδέαν συνέλαβεν ἐναργῆ, σκότους μὴ ὄντος; καὶ τίς τῇ τοῦ σελαγίσματος αὐτοῦ τερπνότητι ἐνησμένιζε πώποτε, μὴ εἰδὼς τοῦθ', οἷόν ἐστι μᾶλλον ἐκ τῆς αὐτοῦ ἀπουσίας; ἐγὼ δ' οὔτε χρωμάτων, οὐδέ γε τῶν ὀνομάτων αὐτῶν πείθομαι αἴσθησιν δύνασθαι ἡμᾶς συλλαβεῖν, εἰ μὴ ἡ φύσις φθᾶσ' ἐξέπλησσε παντοίως τὴν ὅρασιν τῷ κατ' αὐτὰ ποικίλῳ, τὴν τούτων οὕτως ἀπ' ἀλλήλων παρασχοῦσα διάκρισιν· ἐῶ δὲ λέγειν, ὅτι καὶ τὰ πλεῖστα τοῦ βίου, ὧν ἡ γνῶσις διάλληλος μάλιστ', ἀγαθά τε καὶ φαῦλα, πάντα σχέσει τοιαῦτα πέφυκεν εἶναι· σχέσις ἄρα τὴν ἐν τῷ βίῳ ἡδονὴν οὕτω πολύτροπον ἀπεργάζεται· κἀντεῦθεν ἡμῖν τὸ φιλόψυχον περισπούδαστον, κἂν ἐκ μέρους ἐσθ' ὅτε παραλυπῇ. Ἐκ δὴ τούτων κἀκεῖνο περιεργότερον, ἢ ἔδει, τῇ διανοίᾳ προσβάλλει· πότερον, ἡ παρὰ τῶν φιλοσόφων θρυλλουμένη μετὰ θάνατον Εὐθυμία ἔσται ἡμῖν ἀεὶ ἡ αὐτὴ διηνεκὴς γιγνομένη, ἢ καὶ αὐτὴ, ὡς τἄλλα, προϊοῦσα τῷ χρόνῳ, ὑφαιρεῖταί τι τῆς αἰσθήσεως, καθυφεῖσα τῷ κόρῳ; τὸ γὰρ ἀγαθὸν, ὥσπερ εἴρηται, πρός τι παραβαλλόμενον ἀντικείμενον, τοιοῦτο λέγεται εἶναι, κἀκ τούτου τὴν αὐτοῦ διακρίναιμεν ἂν ἀξίαν, εἰ μή τις εἴποι ἱκανὴν εἶναι τὴν μνήμην ἐκ τῶν ἐν τῷ βίῳ τὴν τούτων διαφορὰν παριστάναι. Ἀλλά γε περὶ ἐκείνων ἄμεινον φιλοσοφεῖν, ἐκ μόνης ὁρμωμένους ἀποκαλύψεως· κἀκεῖθεν τὸ πιστὸν αὐτῶν καὶ ἀναμφήριστον ἔχειν. Ἔρρωσο.

δ' ἅμ' ἀκούσαντες τοῦ σοφοῦ Κοραῆ, οὐκ οἶδ' ὅπως εἰπόντος ὡς μὴ ὤφειλε, μὴ δεῖν μήτε γράφειν, μήτε προφέρειν, εὐθὺς ἀπὸ μέσου τοῦ γραφείου τὴν γραφίδ' ἀποσφενδονήσαντες, καὶ νῦν ἐπιπολέως διεξιόντες, καὶ ὀλίγ' ἄττα σπερματικῶς καὶ ταῦτα ἀναγινώσκοντες, καθάπερ οἱ δικτύοις θηρώμενοι ἄνεμον, τὰ λοιπὰ χαίρειν εἰπόντες, ἀναπτερυγίζουσιν ἀπτῆνες ἔτ' ὄντες ἐπὶ τὴν φιλοσοφίαν, ὑπενεμίους συλληψόμενοι τόκους· ὃ γὰρ μόνον ἦν ζώπυρον πρὸς τὴν τοῦ πράγματος ἔφεσιν, τούτου ἀρθέντος, τίποθ' ὑμῖν εἰκὸς ἦν ἐκ τούτου περιγενέσθαι; ὁρᾷς, ὅπως ἐξέλιπον οἱ διδάσκαλοι, καὶ ζητούμενοι οὐχ εὑρίσκονται; εἰ μή τις εἴποι τὰ ψυχρὰ ταῦτ' ἀμβλωθρίδια, οἳ οὐδὲ γοῦν ἐξ ἐπιστολῆς, ἢ ἀφ' ἑνὸς ὁτουοῦν ἐπιγράμματος τὴν ἑαυτῶν περὶ τὴν γλῶσσαν ἕξιν ἐτόλμησαν πώποτε ἐπιδείξασθαι. Οὕτω νεότης ἀψίκορος τῶν καλῶν γιγνομένη, ἀπ' ἐλαχίστης ἀφορμῆς ἐπιρρεπής ἐστι πρὸς τὰ ῥᾷστα παραβολώτερον. Τί οὖν ποιητέον; τοῦτο γὰρ νῦν αἰσθάνομαί σε πυθέσθαι βουλόμενον· ἀλλ' οὐκ ἂν μάθοις οὐδέν. τί γὰρ ἂν εἴποιμι, ὡς χαλκὸς ἠχῶν, καὶ κίμβαλον ἀλαλάζον ὁπότε τὸ ὅ,τι χρὴ ποιεῖν εἰδώς, τὸ ἐκτελεῖν οὐκ ἔχω; ὑμῖν δ' οὖν ὡς τῆς Ἐκκλησίας προστάταις ἐξέσται, εἴγ' ἀφελόντες τοῦ εὐλογεῖν τι, τοῦτο προσθείητε τῷ διδάσκειν· αἰσχρὸν γὰρ νῦν καὶ ἀνάξιον τῆς ἐλευθέρας Ἑλλάδος τοὺς ἱεράρχας βαλάντια τοξεύειν, καὶ δόξας θηρᾶσθαι κενάς, πρὸς τῶν πολλῶν περιβλεπομένους. Ἔῤῥωσο.

*Ἀναστασίῳ.* (399.)

Ἐπέστειλάς μοι γράψας, ἣν προὔθεντο βουλὴν οἱ ἐκ τῆς Ἠπείρου ἐνταῦθα καταφυγόντες τοῦ συνοικισθῆναι ἐν Βουδονίκῃ· καὶ ἤδη περὶ τούτου ἀνήνεγκαν εἰς τὸν Βασιλέα, δεόμενοι τοῦτό τε αὐτοῖς ἐπιτραπῆναι, καὶ χώραν ἐπιχορηγηθῆναι ἐπαρκοῦσαν εἰς τρισχιλίων οἴκων συνοίκησιν·

*Μανουήλῳ.* (400.)

Ὡς φιλόψυχον τουτὶ τὸ θρέμμα ὁ ἄνθρωπος πέφυκε· καὶ κόρος τοῦ ζῇν οὐδεὶς αὐτῷ ἐστιν ὡρισμένος· αὐτίκα γὰρ αὐτὸς ἐγὼ ὁ παρ' ὑμῖν ἐννεάσας τε καὶ γεγηρακὼς, οὐδὲν μᾶλλον ηὐχόμην, ἢ τὴν Ἑλλάδα ἐπιδεῖν ἐλευθέραν, καὶ τὰς ἱερὰς Ἀθήνας μίαν γοῦν κατοικήσας ἡμέραν, τὴν ἐπιοῦσαν ἀγαπητῶς τέλος ἀποδοῦναι τῷ βίῳ· νῦν δὲ, τῆς τ' ἀπὸ τοῦ κλίματος καὶ τῆς ὥρας χάριτος ἀπολαύσας, καὶ τὸ μέγιστον ὅλην εἰκόνα τῆς ἀρχαίας ἐνοπτριζόμενος καλλονῆς, ἔνθα τὸ περιμάχητον τῆς πάλαι ἐλευθερίας εἰκονίζεται σχῆμα, καὶ τὸ νῦν τῶν ἐλπίδων ἐς ταὐτά ποτε προϊέναι, ἄλλος γίγνομαι, φιλόψυχος ὅλως καὶ πρόσγειος, ζῇν ἐφιέμενος ἔτη ὅλα τὰ Μαθουσάλια· τὸ δὲ πρὶν μετάρσιον τῆς ψυχῆς οἴχεται συναποπτὰν αὐτοῖς Βορεάσι· συνέρπειν γὰρ ταῖς ἐφ' ἑκάτερα περιστάσεσι φιλεῖ τὰ βουλεύματα, τῶν προαιρέσεων ὡς ἐπὶ τὸ πολὺ μεθισταμένων πρὸς τὰ ξυμβαίνοντα· Συγγνώμη τοίνυν, εἰ τἀναντία τοῖς πρόσθεν δοκοῖμέν τι εὔχεσθαι· μᾶλλον γὰρ νῦν εὐφραίνει ἐλευθερία παροῦσα, ἢ πρώην ἐνῆγεν εἰς ἀπόγνωσιν δεσποτία συντεθραμμένη. Ἔρρωσο.

*Γεωργίῳ.* (401.)

Περιέργου καὶ φιλαιτίου ἔοικά σοι ἔργον ποιεῖν, ταὐτὰ ἀεὶ γλωσσαλγῶν περὶ γλώσσης, ὡς δῆθεν μόνος αὐτὸς δοκῶν αὐτῆς προασπίζειν· ἀλλὰ τί χρὴ ποιεῖν, ὁπότε καὶ μόνος, ἢ μετ' ὀλίγων μόνος ὁρῶ συνειδὼς τὸ πατρῷον κειμήλιον, ᾧ τῶν ἄλλων ἐθνῶν οἱ Ἕλληνες προὔχουσι, τὰ μὲν ἀσυμφύλοις ἐκφθειρόμενον ἀνεπιστημόνως ὀνόμασι, τὰ δὲ καὶ φράσεσιν εἰς ἀλλόφυλα ἰδιώματα ἀνοσίως μετοχετευόμενόν τε καὶ παρεκτρεπόμενον; βαβαὶ, ὅπως τὸ τῆς Ἑλλάδος καλὸν παρασύρεται! Ταῦτα μὲν οὖν κἀπὶ Βυζαντίων ποτὲ, ὁπόθ' οἱ Ῥω-

εἷς οὐδεὶς τούτων οἷός τ' ἐξεγένετο ἐξικέσθαι τῆς διανοίας τοῦ γράψαντος· ᾠήθη γὰρ ὁ γενναῖος συγγραφεὺς, εἰ παρώσας μὲν τῶν ὀνομάτων τὰ κύρια, ἀντιλάβοι τἀφῃρημένα καὶ τροπικά· παριδὼν δὲ καὶ τὰς ἐκ συμπλοκῆς Ἑλληνικῆς περιώδους, πυργώσειεν ἀσυνδέτως τὸ ἐκ πολιτικῆς διπλόης ἰδανικὸν τῶν Γάλλων ἰδίωμα, ἔσεσθαι καὶ Πινδάρου αὐτοῦ ὑψηλότερος· ἀλλ' ἐψεύσθη γε τῆς οἰήσεως· καὶ τοσοῦτόν γε, ὅσον ἡμεῖς ἀναφωνοῦντές φαμεν ὁμοθυμαδὸν, Αὐδεῖς μὲν ὡς Ἄγγελος, ἀλλ' ἡμεῖς γ' οὐκ ἐπαΐομεν τῆς αὐδῆς· καί τοι ἐχρῆν τὸν τῶν καλῶν ἐραστὴν ἀπὸ τοὐναντίου ὁρμᾶσθαι, τὰ ἀσαφῆ διὰ τῶν σαφῶν σαφηνίζειν, κοὐχὶ καὶ αὐτὰ τὰ σαφῆ εἰς τὴν ἐσχάτην μετατρέπειν ἀσάφειαν· οὕτω γὰρ ὁρῶμεν καὶ φιλοσόφους, ἐπειδὰν μετεωρίζωνταί πη ἐν τοῖς νοεροῖς, ἐπιζητοῦντας, ὅσον οἷόν τε, ὀνόματα ὑλικώτερα πρὸς κατάληψιν· καὶ θεολόγους ὁμοίως ὕλην τῷ πάσης ὕλης ἐπέκεινα πολλαχῆ περιάπτειν ἀποτολμῶντας, ὅπως ἡμᾶς τοὺς ὕλῃ συνδεδεμένους εἰς ἔννοιαν καὶ γνῶσιν ἀνάγοιεν τῆς ἀΰλου οὐσίας, ἣν ἄλλως ἀκραιφνῆ ὅλως καταλαβεῖν οὐδ' ἐπινοίᾳ ἐστὶν ἐφικτόν· Οὕτως οὖν καὶ ἀγγέλους ἐξῆς, ἀνθρωπίνοις αὐτοὺς ἀμφιεννύντες μορφώμασι, καὶ πτέρυγας περιτιθέντες ὀρνίθων, ἐῶσι διαθεῖν ἐν ἀκαρεῖ ἀπ' ἄκρου οὐρανοῦ ἕως ἄκρου· βούλονται γὰρ τὰ φύσει ἀνέφικτα, ὑλικωτέροις οὕτω περιβαλόντες ὀνόμασι, ποιεῖν αὐτὰ ταῖς τροπαῖς, προσγειότερα. Ἀλλ' οὐχ οὕτω σοι καὶ οἱ νεώτεροι οὗτοι Ἴκαροι, ἀλλ' ἀπ' ἐναντίων ὅλως ὁρμώμενοι προαιρέσεων, μέγεθος τοῖς ταπεινοῖς καὶ χθαμαλοῖς περιθεῖναι γλιχόμενοι, καὶ τὰ σαφῆ αὐτὰ τῇ ἀσαφείᾳ ταῖς περινοίαις συγκατορύττειν περὶ πλείσου πεποίηνται, ὡσπερεὶ αἰσχυνόμενοι πρὸς ἡμᾶς σαφηνείας, ἣν ἡγεμόνα τοῦ λόγου ὁ λόγος οἶδε, φροντίζειν, ἵνα μὴ τοῖς χαμερπέσιν ἡμῖν προσγειότεροι φανῶσι περιϊπτάμενοι. Οὐκοῦν

ἀπὸ τῆς ἀγορᾶς· τὰ δ' ὑπόλοιπα ἐγένοντο τῇ δεσποίνῃ γαστρὶ παρανάλωμα· ἥτις καὶ νῦν ἔτι καταβοῶσα, προσεπιδαψιλεύει τὰς ἀπαιτήσεις· καὶ εἰ μή τι φθάσαντες αὐτῇ χαρισαίμεθα, ἐπαπειλεῖ διαῤῥήξειν πᾶσαν τὴν μηχανήν. Φθάσον πρὸς θεοῦ προσδανείσας ἡμᾶς τὰ ἴσα, ἵνα μὴ ταῖς ἐλλείψεσιν ἐν τῷ τῆς ἡλικίας ἀσθενεστάτῳ παρὰ καιρὸν ὑπερτείναντες, διαῤῥήξωμεν τὸ καλώδιον. Ἔῤῥωσο.

## Φιλεταίρῳ. (404.)

Ὅτι συμφέρον οὐκ ἂν εἴη τὸ τῷ δικαίῳ μαχόμενον, μάθοις ἂν κἀξ ὧν πέπρακται Ἀγαμέμνονι· μὴ ἀποδοὺς γὰρ τὴν κόρην τῷ πατρὶ ἀπαιτήσαντι, ὡς αὐτῷ ἐδόκει ἐπ' ἀγαθῷ, πολλῶν κακῶν ἑαυτῷ τε καὶ πᾶσι τοῖς Ἕλλησι γέγονε.

„ . . . . . . . . . Ὥς δ' ἄλλος λέγει.
„ Λόγοισι χαίρει· τὸν δὲ νῦν ἐκεῖσ' ἔχει. Ἔῤῥωσο.

## Κωνσταντᾷ. (405.)

Λειμόνιά μοι πεντεκαίδεκα δωρεὰ παρά τινος τῶν φίλων ἀπὸ τῆς Καλαυρίας προσενήνεγκται τήμερον. Τούτων οὖν ἔπεμψά σοι κἀγὼ τὰ πέντε, τῶν πάντε, ὧν ἔπεμψάς μοι ταλλήρων, χάριν ἐπιμετρῶν· εἰ δὲ καὶ ἐσαῦθις, ὁπότε χρεία καταναγκάσειεν, ἐπαρκέσειάς μοι τοῖς ἴσοις, κἀγώ σε τοιούτοις αὖθις ἀμείψομαι δώροις, κἂν δοκῶ χρύσεα κατὰ τὸν Διομήδην σηδιρέων ἀνταλλαττόμενος. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (406.)

Ὑπεσχόμην σοι χθὲς, νηνεμίας τότ' οὔσης, συνέψασθαί σοι τήμερον ἐς περίπατον· ἀλλὰ νῦν μεταβαλόντος τοῦ και-

Λεοντίῳ. (408.)

Πῶς οἴῃ με διατεθῆναι, τὸ τοῦ Πρωτοσυγγέλου ἀξίωμα ἀκούσαντά σε λαχεῖν, καὶ τὸν ζηλωτὴν τῆς πίστεως τὸν προσήκοντα τόπον κατασχεῖν, ὅθεν τὴν ὑπάρχουσαν ἀρετὴν πρὸς τὴν τῶν Ἐκκλησιαστικῶν βελτίωσιν ἐπιδείξεται; ἥπου γε τοσοῦτον τὸ γενόμενον ηὔφρανέ με, ὅσον μέγα ἔσται τὸ ἀπὸ τούτου ἐλπιζόμενον ὄφελος. Εἴης οὖν μοι, πάτερ καὶ ἀδελφὲ, ἐντείνων καὶ κατευοδούμενος, ἐν οἷς ἐμπεπίστευσαι, πρὸς ἀγώνισμ' ἀρετῆς πάντ' ἐνεργῶν καὶ πράττων ἀξίως. Τῶν γὰρ Ἑλληνικῶν νῦνγε, οὐ μᾶλλον τῶν πολιτικῶν, ἢ καὶ τῶν Ἐκκλησιαστικῶν πολλῆς πρὸς τὸ κρεῖττον δεομένων καινοτομίας, πολλοῦ σοι δεήσει πόνου πρὸς τὸ πάνθ' ὑπουργεῖν τῷ θεῷ εὐτυχῶς καὶ ἀνεπιλήπτως· ἀλλ' ἡ ἐνυπάρχουσα ἀρετὴ, θεοῦ συλλαμβανομένου, πάντα σοὶ κοῦφα θήσει· ζῆλος γὰρ οἷον ἔδεσμα βίου τοὺς πόνους πέφυκεν ἀπεργάζεσθαι. Ἔρρωσο.

Ἀναστασίῳ. (409.)

Συχνότερον μὲν πρὸς φίλους γράφειν οὐ μᾶλλον τὸν τοῦ φιλεῖν τόνον αὔξειν, ἢ καὶ τῶν ὑπαρχόντων ἔγωγ' οἴομαι παραλύειν· ὁρῶμεν γὰρ καὶ τῶν ἐδεσμάτων, ἃ μὲν συχνότερον ἡμῖν εἰς ἀπόλαυσιν ἥκει, κἂν ἥδιστα ᾖ, ταῦθ' ὕστερον γιγνόμενα ἀηδέστερα· ἃ δὲ σπανιώτερον, ταῦτά γε, καὶ εἰ ἄλλως ἧττω εἶεν ποιότητι, μᾶλλον ἐκκαλεῖται τὴν ὄρεξιν. Μὴ οὖν θαύμαζε, εἰ βραδύτερον πρὸς σὲ τοῖς γράμμασιν ἥκω· οὕτω γὰρ δοκῶ μοι συνάγειν τὸν πόθον σφοδρότερον. Εἰ δὲ βούλει καὶ ἀληθέστερόν τι μαθεῖν· οὐ γὰρ οὐδὲ πρὸς μέτρον ἐπιστολῆς νῦνγ' ἐπαρκοῦμεν, οὐδὲ τὸ οὖς τὸ δὴ λεγόμενον κνῆσαι, οὕτω μεμερισμένοι ἐπ' ἄλλα, τε πολλὰ καὶ περὶ τὴν τυπογραφίαν οὐχ ἥκιστα. Ἔρρωσο.

πνον· αἰτία δ' ἴσως τυχὸν μὲν καὶ τὸ τῶν ἐφεστώτων πρὸς ταῦτ' ἀφιλότιμον· ἀλλ' οὐχ ἧττον καὶ τὸ πρὸς τὴν νῆσον ἡμῶν ἀκοινώνητον· καί τοι αὐτόθεν ἐκ τῶν ὑμετέρων σχολείων πλείων ἡ ἐλπὶς μὴ ἂν ἐκλιπεῖν τά γε σπέρματα τῆς ἀρχαίας σοφίας· τὰ γὰρ ἡμέτερα βαίνει, ὥσπερ ἀμφίσβαινα, τῇδε κἀκεῖσε ὀκλάζοντα, κόμποις μὲν καὶ φυσήμασιν, ὡς πομφόλυγες, ἔξωθεν ἐξογκούμενα, ἔργοις δὲ ἀπὸ σμικρᾶς ἀφορμῆς ἐκρηγνύμενα· καὶ οὐδὲν θαυμαστὸν μήτι πάθῃ ἡ γλῶσσα καὶ αὖθις, ὃ κἀν τοῖς Βυζαντινοῖς ποτε πεπονθυῖα τυγχάνει ναυάγιον· καὶ τοσοῦτον, οἶμαι, ὀλεθριώτερον, ὅσον τηνικαῦτα μὲν ἐξ ἀβουλίας καὶ ἄσκοπον, νῦν δὲ πρὸς σκοπὸν ἐνεργεῖται ἐπὶ πλεῖστον τοῦ μέλλοντος, κοὐδὲν ἀπροβούλευτον. ἔστι δὲ καὶ ἄλλος φυσικὸν τὸ παράπτωμα· τῶν γὰρ φυτῶν, ὅσα μεταφυτεύεται, τά γε πλεῖστα ἢ ξηραίνεται ὅλως, ἢ μεταβάλλει τὸν τῶν ὡραίων χυμὸν πρὸς τὴν τῆς χώρας, ἐξ ἧς ἀνέλκει τὴν τροφὴν, στυφώδη ποιότητα· καθάπερ καὶ ὕδωρ πολλάκις, ἐκ πολλοῦ μετοχετευόμενον διαστήματος, καὶ πολλὰ συγκατασπῶν μεταξὺ τῶν γαιωδῶν μορίων, ἄλλοτ' ἄλλην ἀμεῖβον ἀεὶ, τὸ φύσει μετέβαλεν· ἐπιμιξία γὰρ ἐθνῶν, κἂν δῶμεν ἔχειν τι καὶ καλὸν ἄλλοτ' ἄλλη, ἀλλ' ἔν γε τοῖς πλείστοις ὀλέθριον γίγνεται· ἡμῖν δὲ ὡς πρὸς τὴν γλῶσσαν, νήπιον ἔτ' οὖσαν καὶ εὐπαθῆ παρ' ἑκάτερα, καὶ μάλιστά γε, εἰ μὴ προσχοῖμεν ἡμῖν αὐτοῖς φυλάττειν τὸν ἐθνικὸν χαρακτῆρα. Πρὸς ταῦτα τοίνυν καὶ τἆλλα ἔτι τὰ ἱερώτερα θεοῦ ἡμῖν δεῖ, καὶ τῶν ἡμετέρων εὐχῶν· Νῦν δ' ἐφ' ἕτερόν τι μέτεισί μοι ὁ λόγος· ὁ γάρ ποτε ὑπὸ σοί . . . ὁ ἀεὶ ἐν μυρίᾳ ᾠδῇ ἄγων τὸν ἑαυτοῦ εὐεργέτην Γέροντα, ἀναμνησθεὶς ἐν τῇ ἀποδημίᾳ ὅσοι μίσθιοι τοῦ πατρὸς αὐτοῦ περισσεύουσιν ἄρτων, ὁ δὲ λιμῷ ἐνταῦθα ἀπόλλυται, ἐπεθύμησε, καταλιπὼν τὴν τὰ κεράτια

ὀφείλεται· οὐ γάρ με λανθάνει, ὧν ἐν τοῖς τῶν ναῶν προτεμενίσμασι πεπείραται πέρυσιν ἀπαιτῶν παρὰ τῶν Δημογερόντων δοθῆναί σοι οἴκημα, ἐν ᾧ ἤμελλες ὡς ἀφ' ἡσυχωτέρου καταβαλεῖν τοῖς προσφοιτῶσι τῶν νέων τῶν λόγων τὰ σπέρματα. Ἐπὶ τούτοις οὖν ἐπαινῶ σε καὶ τιμῶ ἐν τοῖς μάλιστα, καὶ τὸ ὄφλημα προθυμότερον ἀποτίω ἀπὸ τῶν παρόντων ὅ,τι μοι πρόσεστι. Δέξαι τοίνυν δι' Ἀνδρέου Κορομηλᾶ τὴν Τετρακτὺν μέχρις ἂν κἀξ ἄλλων ἁβροτέρων ἴσως ὀφθῶ ἐναντίον σου. Ἔῤῥωσο.

### *Τῷ Ἰωάννῃ.* (414.)

Οὐκ ἄκοντά με παρώτρυνας, ἐφ' ἃ νουθετεῖς με· ἀλλ' οὖν κἀκ τῶν σῶν λόγων οὐ σμικρὸν προσεγένετο ἐπιτόνιον, οὐδ' ἄκαιρον τὸ μελέτημα· οὐδὲ γὰρ ἂν ἡδέως ἀκούσαιμι

> Δεῦρ' ἀνάβηθι κάτω· νῦν γὰρ ἄνω κατέβης.

Οὐ δὲ πολλῶν ἐτῶν ἀγῶνας δι' ὀνείρων ἀνταλλαξαίμην, ἐφ' ᾧ νεανικῶς ἐν γήρᾳ βασιλικοῖς περιάπτοις κοσμούμενος φαίνεσθαι, καὶ ταῦτα πολλὰ πολλάκις διὰ τῆς γραφίδος ἐπὶ τῷ τοῦ πράγματος παραμούσῳ τὸν κλῆρον καταμεμψάμενος. Ἔῤῥωσο.

### Λεοντίῳ. (415.)

Οἶδ' ὑστερήσας γράψαι σοι πρὸς ἅ μοι ἐπέστειλας, κωλυσάντων τῶν παρὰ πόδας· ἀλλὰ καὶ νῦν ὡς ἐπὶ ποδὸς ἱστάμενος, δέησιν ἥκω σοῦ πρότερον ποιησόμενος, καὶ τῇ σῇ ἀρετῇ πρὸς τὸ εὖ ποιεῖν, ἵππον ἐς πεδίον ἀφεῖναι τὸ δὴ λεγόμενον παρέξων αἰτίαν· ἡ δὲ δέησις ἥδε· Εὐστάθιος ὁ τὰ γράμματα ταῦτά σοι ἐπιθείς, ἐδεήθη μου συστῆσαί σοι τὸν παῖδα τὸν ἑαυτοῦ, ὃς τηλύγετος αὐτῷ καὶ ἀγαπητός ἐστιν ἐς τὰ μάλιστα· καὶ δι' ὃν πλανᾶται, τόπον μὲν παραλλάτ-

τός μοι Γεώργιος; ταῦτα πολλάκις λέγων κατ' ἐμαυτὸν, ταῦτα καὶ τοὺς ἄλλους διερωτῶν, οὐδὲν ἠδυνάμην λῦσαι τὸ ἀπορούμενον. Ὡς δὲ πρότριτα ἐπυθόμην παρὰ τοῦ σοῦ ἀνεψιοῦ ἐκ γειτόνων σε κατῳκῆσθαι, ταῖς ἱεραῖς Ἀθήναις ἐνδιαιτώμενον, ἀνεσκίρτησα, κἀπὶ τὴν γραφίδα ἤδη ἐξώρμησα, τοῦτ' αὐτὸ πρῶτον δηλῶσαι βουλόμενος, ὅτι φιλῶ σε· καὶ φιλῶ μᾶλλον παρ' ὀντινοῦν τῶν ἐμαυτοῦ ἑταίρων καὶ μαθητῶν, οὕτω τοῦ χρόνου μεταξὺ οὐχ ὕφεσιν, ὡς πέφυκε τὰ τοιαῦτα πολλάκις, ἀλλὰ αὔξησιν τῷ φίλτρῳ προσθέντος, καὶ οἷον ἐπιτόνιόν τι καὶ ἰσχὺν ἐνιέντος τῷ πόθῳ. Ἀσπάζομαί σε τοίνυν, φίλτατέ μοι Γεώργιε· καὶ βουλοίμην ἂν ὑπάρξαι μοι καὶ παρὰ σοῦ τὸ αὐτὸ, ἐχομένου ἀεὶ τῆς ἀρχαίας φιλίας. Διὸ, ἵνα καὶ σημεῖόν τι ἀνακλητικὸν τῆς μνήμης πρὸς ταῦθ' ὑπάρχῃ σοι, πέμπω σοι τὴν Τετρακτὺν καὶ τὸν Σοφοκλέα, ταῦτα δὲ τὰ μέχρι δεῦρο παρ' ἐμοῦ νεωστὶ ἐκδοθέντα, σοὶ μὲν διατριβὴν ἐσομένην, τῷ δὲ σῷ φιλτάτῳ ἴσως καὶ πρὸς σπουδὴν, μέχρις ἂν κἀξ ἄλλων ἐξῆς, εἰ θεὸς θέλει, τῇ φιλίᾳ χαρίσωμαι. Ἔρρωσο.

### *Θεοδοσίῳ.* (418.)

Ἐξ ὧν τ' ἐπέστειλάς μοι, καὶ ἐξ ὧν παρ' ἄλλων ἀκηκοὼς τυγχάνω, ἔγνων σε γνησιώτατον τῶν Ἑλλήνων καὶ εἰλικρινέσατον ὄντα· ταῦτ' ἄρα καὶ ἀνενδοιάςως εὐθὺς εἰς τὴν ἐμαυτοῦ εἰσαγήοχα ψυχὴν, ἔνθ' οὐ πάνυ γε πολλοὺς ἀτεχνῶς εἰσαγαγεῖν κατηξίωσα. Ἀγωνίζου τοίνυν, ὦ ἄριστε, τὸν προκείμενόν σοι καλὸν ἀγῶνα, ἐπιμελῶς τοῖς νέοις τὰ τῆς πατρῴας σοφίας σπέρματα καταβάλλων, ὅπως ἐν καιρῷ πολλαπλάσιον τὸν καρπὸν συγκομίσῃ, ἴσους δὲ καὶ τὰς ἀμοιβὰς ἀπολάβῃς· ἔμοιγε γὰρ τῆς πατρῴας σοφίας καὶ γλώττης ἐγκρατεῖς γενέσθαι τοὺς Ἕλληνας πρὸ πάσης ἐπιστήμης τίθεμαι νεωτέρας. Τοῦτο γὰρ κοὐκ ἐκεῖνο ἡμᾶς ποιήσει προὔχειν

εἰκότως· ἑβδομηκοντούτης γὰρ ἀνὴρ δὶς παῖς ὡμολόγηται εἶναι. Ἀλεκτορὶς τοίνυν ἔστι μοι, τῷ τοῦ πτεροῦ ποικίλῳ καὶ τῷ ἤθει οὐ τὴν τυχοῦσαν χάριν παρέχουσα· ἀνθρωπίνως γὰρ ἐκ νηπίου μοι ἀνατέθραπται· κἀπειδὰν γράφω, ἐφ' ἑτέρου τῶν ὤμων ἐπικαθημένη, ἀπολέγεται ἀεί τι μετ' ᾠδῆς ἀπὸ τῶν ὠτίων καὶ τοῦ τραχήλου, περιμένουσα, εἴποτε παυσαίμην τῶν ἔργων, ἐφ' ᾧ ἀναλαβόντ' αὐτὴν ταῖς χερσὶ περικνῆσαι· ἐκτόπως γὰρ ἥδεται τῷ κνηθμῷ· καὶ προσᾴδουσα, ἀποκαθαίρει μοι τῷ ῥάμφει τὸ γένειον, εἴπῃ τι καρύκης, ἢ κρόκης ἄλλως ἐν αὐτῷ προσίδοι παρηρτημένον· ἐφ' οἷς Χότζος μοι ὁ νεώτερος οὗτος ὁ καὶ τοῦ πρεσβυτέρου ἐκείνου τἀτ' ἔξω καὶ τῷ ἤθει ὅμοιος καὶ ὁμότροπος μάλιστα, ὑφορῶν ἐκ μέρους τοὐμὸν φιλητικὸν διχθὰ μεριζόμενον, καὶ καταφρόνησιν τοὔθ' ἑαυτοῦ οἰόμενος εἶναι, ἐπιβουλεύει τῇ Ἀλκιόνῃ· τοῦτο γὰρ τῇ ὄρνιθι ὄνομα τέθηκα· καί τοι τράπεζα, ἐφ' ᾗ καὶ λόγον ἂν ἔσχεν αὐτοῖς ὁ φθόνος, πάμπαν αὐτοὺς διΐστᾳ· ἡ μὲν γὰρ αὐτοφυέσι πυροῖς, καί ποτε καὶ ὀρίζῳ ἑψητῷ ἐξαρκεῖται, ὁ δὲ πάντων, ὅσ' αὐτὸς ἐσθίω ὀπτά τ' ἑψητά τε, κοὐκ ἔστιν οὐδὲν οὗ μὴ ἐμφορεῖται εἰς κόρον· ἀλλὰ τό γε ζηλότυπον, ὥσπερ ἀνθρώποις, καὶ τοῖς κτήνεσι πρόσεστι, μὴ ἀνεχομένοις τὸ φίλτρον μερίσασθαι, εἴρηται γάρ που καὶ Εὐριπίδῃ,

» Κακὸν γ' ἔλεξας ἄνδρα δίσσ' ἔχειν λέχη »

Τοιαῦτα δὴ νῦν μοι τά τε σπουδαζόμενα καὶ τὰ παίγνια· κοὐδέν μοι φόβητρον ἐπισείει μοι παραπλέων ἤδη ὁ Χάρων. συμπαίξω γὰρ τὰ εἰκότα κἀκείνῳ. Ἔρρωσο,

Τῷ *Βασιλείῳ*. (420.)

Ἐξ ὧν ἐπέστειλάς μοι, ἔγνων σε περὶ πλείστου ποιούμενον τὰ τῶν προπατόρων συγγράμματα· καὶ εἰκὸς γ' Ἕλλην' ὄντα

νοητικώτεροι πρὸς τὸ μέλλον, ποῖ βαίνοντες, καὶ τίσιν ἐπιρειδόμενοι, διώκετε τοὺς κύνας ἀπὸ τῶν ποιμνίων ἐπ᾽ ἀνοήτοις προφάσεσι; τίσι μέλλοντες αὐτὰ παραδώσειν; καὶ τίνες εἰσὶ μάλισθ᾽ οὗτοι; οἱ ἐν ἀνομίαις συλληφθέντες, καὶ τὰς μεταβολὰς τῶν πραγμάτων μεταδιώκοντες ἐπὶ κέρδει. Τοιοῦτοι τοίνυν εἰσὶ καὶ οἱ τὴν γλῶτταν κατὰ τοῦ πτωχοῦ τούτου Ἐπισκόπου κινήσαντες· οἳ τὸν μὲν κώνωπα ἐλέφαντα ποιήσαντες, τὴν δὲ μυῖαν ἀλώπεκα, οὐκ ᾐσχύνθησαν ἀλώπεκες ὅλως ὄντες, τοσαῦτα καὶ τοιαῦτα ἐκ τῆς ἑαυτῶν ἐξερεύξασθαι πονηρίας· καί τοι οὐ με λανθάνει ἐκεῖνο, ὅτι τὸ πάμπαν ἀνεπίληπτον, ἐν οἷς κεῖνται νῦν τὰ ἡμέτερα, οὐκ ἔστιν εὑρεῖν οὐδ᾽ αὐτοῖς τοῖς ἐκλεκτοῖς καὶ προκρίτοις τῆς Ἐκκλησίας προστάταις· ἀλλ᾽ οὐδ᾽ εὑρήσεις πολλοῦ ἔτι χρόνου, εἰ μὴ προσδιορισθείη τακτόν τι ἀπὸ τοῦ κοινοῦ, ἀφ᾽ οὗ τρέφοιντο· ἄλλως γὰρ πρόχειρον αὐτοῖς ἀεὶ πρὸς ἀπολογίαν τὸ, τίς ποιμαίνει ποίμνην, κἀκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει· Διὸ, εἴτι τῷ ἁμαρτῷτο, ὅπερ ὁ μῶμος φιλεῖ δημοσιεύειν ἐπαύξων, ἡμᾶς αὐτοὺς δεῖ συγκαλύπτειν τοῦτο, μιμουμένους τὸν Σωτῆρα εἰπόντα. Ὁ ἀναμάρτητος ἡμῶν πρῶτος βαλέτω λίθον ἐπ᾽ αὐτήν. Τοὺς δὲ καταδιώκοντας ἐατέον ἀκοῦσαι προσφυῶς τὸ παρὰ τοῦ μύθου πρὸς αὐτοὺς ἠνηγμένον. Ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ἡμῶν πιμπραμένων, ὑμεῖς ᾄδετε; ἐν οὐ γὰρ δέοντι ἐφήθησαν τὰ δέοντα πράττειν· εἰμή τις εἴποι, ὅτι μωραίνει Κύριος λαὸν, ὃν βούλεται ἀπολέσαι Ἔῤῥωσο.

### Τῷ *Οἰκονόμῳ.* (422.)

Πυθόμενος πρῶτον μὲν εἰς Σύραν τὴν νῆσον, ἔπειτα δὲ ἐντεῦθεν εἰς τὴν τοῦ Ναυπλίου σε καταχθέντα, τοσούτῳ γε μᾶλλον ἥσθην, ὅσῳ καὶ πάλαι μοι τοῦτο ποθούμενον ἦν.

ἥδομαι, γέγραφάς μοι, καὶ ὅτι τοὺς τοῦ μακαρίτου Λάμπρου Κορομηλᾶ παῖδας υἱοθέτησα μάλιστα. Πρόσχες οὖν, τέκνον, ἐν οἷς τυγχάνεις ἐνασχολούμενος· ἐν γὰρ Παρισίοις πολλὰ καλά τε κακά τε εἰσὶν ἀναμίξ· αἱ δὲ Σειρῆνες ὅμως τοὺς πλείστους παρέλκουσι, κρατήσασαι εἰς ἀπώλειαν. Ἔρρωσο.

Ἰωάννῃ. (424.)

Φιλία, φασὶν, οὐ συνίσταται, μὴ προϋφισαμένης αἰτίας, ἐξ ἧς μεγάλα τοῖς φιλουμένοις συμφέροντα ὑποτίθεται· ἡμῖν δ' οὖν, μηδενὸς μήθ' ἡγησαμένου, μήτε προσδοκωμένου ὅτου δήποτε κέρδους, ἐτέχθη πρὸς ἀλλήλους φιλία εἰλικρινής. Πότερον οὖν, ψεύδονται οἱ τὴν γνώμην ἐκείνην εἰπόντες, ἢ ὕπεστι καὶ ἕτερόν τι ἐπισυνδέον οὕτω τοὺς φιλουμένους; ἔοικε· καὶ τίποτ' ἂν εἴη τοῦτο; τὸ ταὐτὰ περὶ τῶν ἐν τῷ βίῳ ὑπολαμβάνειν. ἅμα γὰρ κατελθὼν εἰς τὴν Ἑλλάδα ἀκήκοάσε φρονεῖν, οἷα δεῖ καὶ φρονεῖν καὶ λέγειν τὸν καλὸν κἀγαθὸν πολίτην περὶ τοῦ ἀοιδίμου Κυβερνήτου τοῦ καὶ σωτῆρος ἡμῶν γενομένου ἐν καιροῖς ἐπαπειλοῦσι μέγιςον κίνδυνον. Ἐκ τοιούτων οὖν ὑπολήψεων ἡ φιλία ἡμῶν τοὐνδόσιμον ἔσχεν· ἣν καὶ νῦν, ὡς τὸ εἰκὸς, πρὸς τὸ ἐπαγωγότερον ἀρδεῦσαι βουλόμενος, πέπομφάσοι τὰς βίβλους, οὐκέθ' ὡς δῶρον, οἷχμοι πράττεται πρὸς πάντας τοὺς τῶν λόγων μετέχοντας, ἀλλ' ὡς χρέους ἀπότισιν· Ἔρρωσο·

Ἀνωνύμῳ. (425.)

Τὸν ἄλλους νουθετεῖν ἐπιβαλλόμενον σὺν φρονήματι, ἴσην ἔχειν δεῖ ἀρετὴν αὐτῷ τῷ φρονήματι· ἀρετὴ δὲ πρώτη ἀνώτερον γενέσθαι τῶν ἰδίων ὀρέξεων· ὁ δὲ ἀπὸ τούτων μὲν κρατούμενος, ἄλλους δὲ φρενοῦν, οὐκ οἶδ' ὁπόθεν, πει-

ὑπὸ τῶν ἰδίων ἀγαθῶν ἐλεγχθείημεν δάκνεσθαι· τοῦ μὲν γὰρ ἐπὶ πλούτῳ, ἢ δόξῃ τινὸς, φθόνου ἄλλαι τινὲς φασὶ Πλούταρχος, ἀπαίδευτοι διαθέσεις εἰσὶν αἴτιοι· ὁ δὲ πρὸς τὰ κοινὰ τῶν καλῶν ἐξ ἰσχυρογνωμίας ἀκαίρου, καὶ φιλονεικίας ἀδίκου ἐγγιγνόμενός τῳ, τὰ ἑαυτοῦ ἀγαθὰ οὐκ ἐᾷ διορᾷν τὸν ὑπ' αὐτοῦ κατεχόμενον, οὐδὲ παρέχει ἐπὶ τούτοις εὐφραίνεσθαι, τῷ αὐτῷ λόγῳ δυσχεραίνοντα πρὸς αὐτὰ, ὥσπερ ἂν εἴτις φθονείη αὐτῷ τῷ φωτὶ τοῦ ἡλίου, διότι φωτίζεται· Ταὐτὸ δοκεῖτε, ὦ τάλανες, καὶ ἡμεῖς πεπονθέναι· τοῖς γὰρ τοῦ μεγάλου ἐκείνου ἀνδρὸς κατορθώμασι δυσχεραίνοντες, καμμύετε, οἷον ὑπὸ φωτὸς ἀπλέτου ὑπ' ἐκείνων περιλαμπόμενοι, καὶ ζητοῦντες σκιάν πῃ, ἐφ' ἣν καταφύγητε, ὡσπερεὶ εὐχόμενοι δυοῖν θάτερον, ἢ ἐξ ἀρχῆς ἐστερῆσθαι τῆς ὄψεως, ἢ μὴ κατωρθῶσθαι ἐκεῖνα ὑπὸ τοῦ Καποδίστρια· οὕτω γὰρ ἀξίως αἱ Ἐριννύες τοῖς ἰδίοις πάθεσι τοὺς τοιούτους κολάζουσι. Σύνταγμα, Σύνταγμα, μακρὰ λαρυγγίζων, βοᾷς, ὃς ἐξ ἀσυντάκτου ἐγκεφάλου ὁρμώμενος, ἔλαθες σεαυτὸν γενόμενος συναίτιος ἀπολέσθαι τὸν ὄντως ἀξιόχρεων συντάκτην τῶν συνοισόντων. Ἀλλ' ἆρά γε οὐ διδάσκει σὲ τὴν ἀλήθειαν ταύτην τὰ νῦν γιγνόμενα; ἆρά γε οὐ τύπτει σε ἡ συνείδησις; οὐ γὰρ ἂν εἴης, οἶμαι, τοσοῦτον ἀνάλγητος. Ἴσθι τοίνυν, ὡς ἐπειδὴ καὶ αὐτός ποτ' ἀνεπείσθης ὁπωσδήποτε συμπλημμελῆσαι τοῖς προπεποκόσι τὰ πράγματα, οὐδαμῶς ἄλλως ἂν οἷός τε εἴης, ἢ μετανοίᾳ τοῦτ' απομόρξασθαι· τοῦτο γὰρ χ' ἕτεροι τῶν ταὐτὰ φρονησάντων ποιήσαντες, καὶ τὴν αἰτίαν ἀποδόντες τοῖς πρωταιτίοις, τῶν τῆς συνειδήσεως ὁπωσοῦν ἀπηλλάγησαν ἀλαστόρων. Ἔῤῥωσο.

*Μανουήλῳ.* (426.)

Πρῴην μὲν πολλάκις ηὐξάμην γενέσθαι μοι θεόθεν ἐπιβιῶναι

μὲν ἐμνήσθην πρὸς σέ, σὺ δὲ καταγέλας μου ὡς ληροῦντος· ἦν δὲ τὸ δόγμα, εἴγε μέμνησαι, ἐπειδὰν καταπαύσωμαι τῶν ἀνὰ χεῖρας, ἑκόντα ἀποθανεῖν, ἵνα μηκέτι λυπῇ με τὸ γῆρας· εἰ δὲ μὴ ὑπακούοι ὁ Χάρων ἑκὼν, παραβιάσασθαι ἄκοντα· πολλῶν δ' ὁδῶν πρὸς τὸ σπουδαζόμενον φερουσῶν, φιλοσοφικώτερον ἐδόκει τὸ ἀποκαρτερῆσαι· τρίτη γὰρ ἡμέρα τροφῆς ἀποσχόμενος, αὐθαιρέτου τεύξομαι τελευτῆς, τοὺς γενναιοτάτους τῶν ἀνδρῶν πρὸς τὸν θάνατον μιμησάμενος· καίτοι ἐξέσαι μοι ἄλλως ὑπεραυχεῖν τι καὶ ὑπὲρ ἐκείνους τετολμηκέναι· Σωκράτης μὲν γὰρ, καίτοι ὑπεκρίνετο μηδὲν ἀποδειλιᾶν, ἀλλ' οὐχ ἑκὼν ὑπέστη τὸν θάνατον, βίᾳ τὸ κώνειον πεπωκὼς ἐκ τοῦ νόμου· ἐμὲ δὲ προαίρεσις καθαρὰ πρὸς τὴν νίκην προάγει. ὅσῳ τοίνυν τὸ ἑκόντα τῶν καλῶν τι ποιεῖν κρεῖττόν ἐστι τοῦ σὺν βίᾳ, τοσούτῳ πλείονος ἐπαίνου δίκαιος ἂν εἴην τυγχάνειν. Ἀλλὰ μεταξὺ λόγων δοκῶ μοι ὁρᾶν σε πλατὺν ἐμοῦ καταχέοντα γέλωτα ἐν τῷ ἀναγινώσκειν τὰ γράμματα, ὡς περὶ τὰ γελοῖα παρ' ἡλικίαν σπουδάζοντος, καὶ μονονουχὶ ἀκούω σου λέγοντος. Παῦσαι, γερόντιον, σεαυτὸν ἀκαίρως οὕτω καταχλευάζων, τῆς καθ' ἡλικίαν σοι ἀστειότητος παρῳχηκυίας ἤδη· τῆς γὰρ πολιᾶς ἡ εὐπρέπεια ἀπαιτεῖ τὴν ἐν τῷ βίῳ σεμνότητα· οὔτε γὰρ ὀδόντες ἤδη ἐπέλιπον, καὶ ἡ γλῶσσα παρολισθαίνει· οὔτε ὀφθαλμοὶ καὶ αὐτοὶ ἀμβλυνθέντες, λύμης εἰσὶν ἀνάπλεω, καὶ τὰ γόνατα παραλέλυνται· σὺ δ' ἀνδραγαθίζῃ, καὶ ἀνοήτοις ἔτι δουλεύων ὁρμαῖς, καὶ θανατιῶν, ἀριστείων ἐπιθυμεῖς, δέον τοὐναντίον ἐνδιδόναι τῇ ἡλικίᾳ, καὶ μόνον μόνῳ θεῷ ἐντυγχάνοντα ἐν εὐχαῖς, οὕτω κατὰ πολὺν ἡσυχίαν ἀναμένειν τὸ τέλος· ἢ οὐκ οἶσθ', ὅπως ὁ ἀρχέκακος ὄφις ἐν τοῖς ἐσχάτοις τοῦ βίου ἐνίησι τὸν ἰὸν ἡμῖν μὴ προσέχουσιν, ὃν καταπαλαίειν ἐξ ἀρχῆς προστάγμεθα; γέγραπται γὰρ σὺ μὲν τηρήσεις τὴν κεφαλὴν ἐκείνου, ἐκεῖνος δέ σου τὴν πτέρναν· σὺ τὴν ἀρχὴν, ἐκεῖνος

ὠφέλιμος; καὶ πῶς ἂν ὑμῖν γενοίμην ὑπήκοος ἐπὶ μόνῳ τῷ τἀρχαῖα παρ' ὑμῖν καλὰ πρὸς ἡδονὴν τῇ θέᾳ διέρχεσθαι, τὸ ἡδὺ τοῦ χρησίμου καὶ ἀναγκαίου τιθέμενος ἔμπροσθεν, καὶ ταῦτα παρῆλιξ ἤδη γεγενημένος, καὶ μονονουχὶ ὁρῶν τὸν Χάρωνα προσπελάζοντα, μεθ' ὃν πολλὰ τῶν ἐμῶν, μάτην μοι ἔσται πεπονημένα; τίς γὰρ ἂν εἴη ἀξιόχρεως ἀνεπιλήπτως ἐκεῖνα μετὰ ταῦτα ἐκδοῦναι; Ταῦτ' οὖν καὶ τὰ τούτοις ὅμοια τῆς πρὸς τὰ ὑμέτερα ὁρμῆς ἀνακόπτει με· Ἐπειδὰν δὲ, θεοῦ διδόντος, ἐς πέρας τῶν ἀνὰ χεῖρας ἀφίκωμαι, καὶ ἴδω τὰ ἐμαυτοῦ καλῶς ἔχοντα, τότε δὴ κάμψας τὸ Ποσειδώνιον, καταρῶ ἐς τὸν Πειραιᾶ· κἀκεῖθεν, οὐκ ἔφιππος ἀλλὰ βακτρευόμενος ὡς ὑμᾶς ἀνελεύσομαι, ἐπιτονίῳ τῇ προθυμίᾳ χρησάμενος πρὸς τὰ γόνατα· καὶ ταῦτα μὲν δὴ ταῦτα· Νῦν δὲ καὶ παράγγελμα ὡς ἀπὸ τῆς ἡλικίας ὑμῖν προβαλῶ, καὶ μηδεὶς ὑμῶν ἀγροικίαν καταγνῶ μου τοῦ παραγγέλματος, εἴτι παράδοξον δόξω λέγειν ταῖς κοιναῖς ὑπολήψεσι, πρὶν ἂν καὶ αὐτὸς ὑπερβάλῃ τὰ ἑβδομήκοντα ἔτη· εἰρήσεται δὲ οὐκ ἐκ δόγματος γνώμης, οὐδὲ προαιρέσεως αὐθαδείᾳ, ἀλλὰ φύσεως βίᾳ· ὡς γὰρ ἂν ἐκτὸς τοῦ ἑβδομηκοστοῦ ἔτους γένηται, οὗτος δὶς παῖς ἤδη κατὰ τὸν πάλαι λόγον γενόμενος, δίκαιος ἂν εἴη παντὸς ἔθους καὶ νόμου ἀνώτερος τοῦ λοιποῦ διαγίγνεσθαι, τῆς ἡλικίας τοῦτ' ἀπαιτούσης αὐτῷ· καθάπερ γὰρ γυνὴ, ᾗ φησιν Ἡρόδοτος, ἅμα τῷ χιτῶνι συναπεκδύεται καὶ τὴν αἰδῶ· οὕτω καὶ γέρων, οὐδὲν θαυμαστὸν, εἰ τὸ τῆς ἀνδρείας ἡλικίας ἱμάτιον ἀποθέμενος, συναπαλλάττοιθ' ἅμα καὶ τοῦ σέβεσθαι νόμους ἀπειροκάλους, καὶ ἔθη πολλὴν ἀηδίαν καταχέοντα τῶν πραγμάτων· γέρων γὰρ ἀνὴρ ὀφείλει ἐλευθεριάζειν, ὥσπερ γέρας βίου τούτου λαβὼν, καὶ προνομείαν τῶν κατὰ τοῦ θανάτου τροπαίων ἐν πολλοῖς ἀγῶσι καὶ περιστάσεσιν. Ἐκ

τῶν τε γὰρ ἐκδοθέντων ἀφθονώτερα, ἢ ἄλλοσέ πῃ, ἔφθημεν ἀποστείλαντες, κἀκ τῶν ἀνὰ χεῖρας ἤδη ἑτοίμων οὐ φειδομένως, οὐδὲ γλίσχρως, ὅσον οἷόν τε, ἐπιδαψιλευσόμεθα· μόνον πέμψον ὡς ἡμᾶς τὸν τὰς βίβλους παραληψόμενον. Κοζάνη γὰρ ὀγδοηκοστὸν τουτὶ ἔτος μάλιστα ἡ ἐν λόγοις εὐδοκιμωτέρα κλεΐζεται θεραπεύειν τὰς Μούσας· Ἔῤῥωσο.

### Ἀναστασίῳ. (429.)

Πολλῶν μὲν πολλὰ λεγόντων περὶ πατρίδος ἐν ταῖς διατριβαῖς, οὐδενὸς δ', ὡς ἂν ἔγωγε φαίην, εἰδότος ἐκ συνειδήσεως ὅ,τι ποτὲ καὶ λέγει, ἄλλου ἄλλως δοξάζοντος, ὡς ἕκαςος τυγχάνει ἀπὸ τῶν ἰδίᾳ αὐτῷ διαφερόντων ὁρμώμενος, δεῦρ' ἴδωμεν, τίποτ' ἂν εἴη τοῦθ', ὅπερ πάντες μὲν προφέρουσι, πατριωτισμὸν ὀνομάζοντες, ἐλάχιστοι δὲ ἀπὸ γνώμης κατανοοῦσιν, ἵν' ἔχῃς οὕτω καὶ εἰπεῖν τι πρὸς οὕς σοι διαπεφιλονείκητο, ὡς μανθάνω, περὶ τούτου, ὀρθότερον. Βούλει οὖν ὁρίσωμεν αὐτὸν ζῆλον πατρίδος εἶναι; ἀλλ' ὁ ὁρισμὸς ὀνοματώδης μᾶλλον ὤν, οὐκ ἂν εἴη ἀξιόχρεως τὴν τοῦ πράγματος φύσιν ἱκανῶς ἡμῖν ἐξηγήσασθαι, οὔθ' ὅθεν πηγάζει, οὔθ' ὅποι ποτὲ ἀφορᾷ, σαφές τι παρέχει νοεῖν, ἵν' ἔχωμεν ὡς ἐπιβάσεώς τινος πιστώσασθαι ταῦτα. Τί δέ; μῶν τὸ ὑπὲρ πατρίδος ἐθέλειν ἀποθανεῖν, τοῦτ' ἔστιν ὁ Πατριωτισμὸς, ὃ οἱ Ἕλληνες ἀποστάντες ἐποίησαν; τοῦτο φῂς αὐτὸς ἴσως· ἀλλ'·

» Ἆρ' ἔστιν, ἆρ' οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ.
» Καί φημι. κἀπόφημι, κοὐκ ἔχω τί φῶ.

Εἰ γὰρ ἐξετάσειας, εὑρήσεις οὐδένα, τῶν ἑαυτοῦ ἀμελήσαντα, τῶν κοινῶν ὅλῳ προσισχόμενον πόθῳ· τῶν μὲν γὰρ εὑρεθέντων ἐν τῇ πατρίδι, τὸ ἑαυτοῦ ἕκαστος προορώμενος, ἑκὼν ἀέκων διεγωνίσατο· τῶν δὲ ἔξωθεν συῤῥυέντων καὶ τούτων

σαν, καὶ μικροῦ δεῖν ἀπώλεσαν ἅπαντα; πῶς οὖν, εἴτι καὶ προὐχώρησεν εὖ, τοῦτο τῇ πρὸς τὴν πατρίδα ἑαυτῶν ἀποδοίην ἀγάπῃ, ἧς ἐν τῇ κοινωνίᾳ ἂν εἴη ἡ ὕπαρξις, ἣν ἡ τῆς φύσεως αὐτῆς χεὶρ ἐνεχάραξεν ἐξ ἀρχῆς ἀκατανοήτως ταῖς καρδίαις ἑκάστων; οἱ δὲ κακοδαίμονες οὗτοι ἐτράποντο ἐπ' ἀλλήλους ἐναντίον τῶν φυσικῶν τῆς κοινωνίας δεσμῶν, τὴν τῶν θηρίων μιμησάμενοι φύσιν. Ἀλλ' εἰσί τινες, φὴς, μεταξὺ, οὓς ὡς ἀγαθοὺς ἄνδρας διαγωνισαμένους ἀρετὴ ἐστεφάνωσε· καὶ τούτων πρῶτον δείξεις τὸν τιμιώτατον Κωνσταντῖνον Κανάρην τὸν νῦν Ἀντιναύαρχον· οἶδα κἀγὼ τοῦτο καὶ ἑτέρους πρὸς τούτῳ ἀριθμουμένους· ἀλλ' οὗτοί γ' εἴησαν ἂν τὸ δὴ λεγόμενον, εἷς οὐδείς· καί τοι ταῦθ', ὡς ἂν εἴποι τις, ὡς ἐν πολέμῳ οὐκ ἄξιον αἰτιᾶσθαι, καί πως ἐστὶ τοῦτο λόγον ἔχον τινά. Ἀλλ' ἐπὶ τῆς εἰρήνης τί φῶμεν, ἐφ' ἧς ἐφωράθη μᾶλλον τῶν ἡμετέρων ἡ κακοήθεια; λαβόντες γὰρ ἄνδρα σοφώτατον, δικαιότατον, ἐναρετώτατον, εὐφυέστατον, ἐμπειρότατον, ἄλλον Περικλέα, ἄλλον Σωκράτην, ὡς ἄλλον ἐκεῖνον ἀπέκτειναν· τίνα τοῦτον; ὃν ὁ μὲν θεὸς δημιουργήσας, καὶ πάσαις κοσμήσας ἀρεταῖς, ἀπέστειλεν ἡμῖν, τὸ κοινὸν κυβερνήσοντα σκάφος· ἔθνη δ' αὖ ὅλα, ἀλλ' ἄλλοθεν εὐνομούμενά τε καὶ μὴ εὐνομούμενα μέγαν ἄνδρα ἐκήρυξαν, καὶ κοινὸν ἀνωμολόγησαν Εὐεργέτην, ὡς τῇ ἰδίᾳ σφραγίδι ἐν πολλαῖς συνθήκαις τὴν ἐκείνων εὐδαιμονίαν ἐπικυρώσαντα· οἱ δὲ, λαβόντες τοῦτον ἐν τῷ ἱερῷ ναῷ, ὡς ἄλλον ἐφόνευσαν Ζαχαρίαν, μηδὲν ὧν εὖ πεποίηντο μεμνημένοι, μηδ' ὧν ὡμολογηκότες τυγχάνουσιν· εἰ οὐ μέμνησαι, οἷα αὐτῷ κατ' ἀρχὰς ἐθειάζετο ἐν Αἰγίνῃ, ὁπότ' ἐκεῖνος, ὡς Ὀλύμπιος Ζεὺς, βροντῶν, ἀποκαθίστη τὰ πράγματα· ἦν δ' ὁ ἔπαινος αὐτῷ ἐν διατριβαῖς ἄλλος ἄλλῃ· ὁ δὲ θαυμαστὸς καὶ ἐκπλήττων ἦν οὑτοσί,» Ὁ μὲν θεὸς ἐν ἑπτὰ ἡμέραις ἐδημιούργησε τὸν κόσμον ἀπὸ τοῦ

ἐντολῇ ἐπεκύρωσε· τὸ γὰρ ἀγαπᾶν τὴν πατρίδα, ὃ ἡ φύσις ἑκάστῳ ἐνέσπειρεν, οὐδὲν διαφέρει τοῦ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν, ὃ ἐκ τῆς χάριτος ἔχομεν· οὐ γὰρ τὸν χοῦν αὐτὸν, ἢ τοὺς λίθους· οὐδὲ τὰ ὄρη, ἢ τὰ παιδία χρὴ ὑπολαμβάνειν πατρίδα, ἀλλὰ τοὺς ἐν αὐτῇ συνοικοῦντας καὶ ὑπ' αὐτῆς ἐν τοῖς αὐτοῖς νόμοις συντρεφομένους· καθ' ὃ ὁ ἐν Εὐαγγελίοις πλησίον ὁ αὐτός ἐστι τῷ πολίτῃ· τῷ αὐτῷ δὲ λόγῳ καὶ πάντες ἄνθρωποι, ἅτε δὴ ὑπὸ τὸν αὐτὸν ἥλιον παρὰ τοῦ τῆς κτίσεως πλασθέντες δημιουργοῦ, καὶ ἐπὶ τῆς γῆς τεθέντες συμπολιτεύεσθαι, πολῖται ἐσμὲν γενικώτερον, καὶ διὰ ταῦτ' ὀφείλομεν ὁμοίως ἀλλήλους ἀγαπᾶν, ὡς ἐκ τῆς αὐτῆς μητρὸς, καὶ ἐκ τοῦ αὐτοῦ πατρὸς τοῦ δημιουργοῦ γεννηθέντες τε καὶ σωζόμενοι. Ἐκ γοῦν τῶν εἰρημένων ὀφείλομεν, τῆς τε ἐντολῆς τοῦ σωτῆρος ἀγαπᾶν τὸν πλησίον, τῆς τε φωνῆς τῆς φύσεως ἀκούοντες, ἧς ὡς ἐκ τῶν ἀδύτων ἐπαΐομεν κελευούσης ἕκασον πρὸς τὴν τῆς πατρίδος ἀγάπην, Ὦ ἄνθρωποι, φιλάνθρωποι γίγνεσθε πρὸς ἀλλήλους, πάντα τἄλλα τῆς ἀρετῆς ταύτης ποιούμενοι δεύτερα. Ἔῤῥωσο.

*Μανουήλῳ.* (430.)

Δωδεκάτης ἤδη ταύτης ὥρας ἐνστάσης, ἐπεὶ καλῶς ἔσχε μοι δείπνου, ἐπιμνησθεὶς τῆς φίλης μοι κορυφῆς Μανουήλου τοῦ Σεργιάδου, οὗ οὐδὲ πρότερον ἐπελαθόμην, οὐδ' ἐπιλησθήσομαι πώποτε, οὐχ οἷός τ' ἐγενόμην ἐπισχεῖν ἐμαυτὸν τοῦ μὴ γράψαι τοῦθ', ὅπερ σοί τε βουλομένῳ ἐστὶ, κἀμοὶ οὐχ ἧττον ἡδὺ, ὅτι ὑγιαίνων καὶ εὐθυμῶν διατελῶ· αἰτία δὲ τῆς εὐθυμίας ἄλλα τε πολλὰ, μάλιστα δὲ καὶ πρώτως ἂν εἴη, ὡς ἐμαυτὸν πείθω, συνείδησις ἐν γήρᾳ νῦν καθαρά· τοῦτο γὰρ αἰσθάνομαι εὐτυχῶν. Ἔστι δὲ καὶ ἕτερόν τι, ὡς ἐν τοιούτῳ καιρῷ· καθ' ὃν γράφω, ὡς πολυ παρέχον τοὐνδόσιμον τοῦ

φοτέροις. Μάτην δέ σε κάπτειν τὰς τῆς Ἀττικῆς αὔρας οὐδ' αὐτὸς πεπίστευκα πώποτ', οὐδ' ἂν πιστεύσαιμι· πῶς γὰρ ἂν εἴη τῷ ἐννεάσαντι λόγοις, κἀπὶ τοσούτοις καὶ τοιούτοις θαυμασθέντι συγγράμμασι καὶ ποιήμασι, νῦν ἐν γήρᾳ (δός μοι τοῦτό σοι προσειπεῖν) ἀποσχέσθαι τῶν λόγων, ὁπόθ' ἡ φύσις ἐνίησιν ἑκάστῳ μάλιστα τὸ φιλότιμον; ἀλλ' ὅ,τι ποτ ἐγκυμονεῖς, τοῦτ' οὐκ οἶδα· ἐκεῖνο δ' οὖν οἶδα καὶ πέπεισμαι, ὡς ὅτι πότ' ἂν ᾖ τὸ κυόμενον, ἄξιον ἔσται τὸ παιδίον τεχθὲν τοῦ πατρὸς καὶ τῆς αὐτοῦ Καλλιόπης. Ἔῤῥωσο.

## Γεωργίῳ. (433.)

Λόγος, φῄς, πολὺς καὶ πόθος ἅμα ἐμοῦ ἐν ταῖς διατριβαῖς Ἀθήνησι γίγνεται· καὶ διὰ τοῦτ' ἀξιοῖς ἐλθεῖν με τήν τε πόλιν ὀψόμενον καὶ τοὺς ἐν ἀρχαῖς εὐδαίμονας καὶ ἐνδόξους ἐπισκεψόμενον. Τίνας δὲ τούτους φῄς; τοὺς σπουδαρχοῦντας, καὶ τοῦ παντὸς δεομένους; ἀλλὰ περὶ τούτων δοκεῖ μοι Ὅμηρος μᾶλλον πεποιηκέναι.

„ Οὐ μὲν γάρ τι πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
„ Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

ἐκ γὰρ τῆς ἐνδείας τὸ ὀϊζυρὸν ἐπιγίγνεται τοῖς ἀνθρώποις· ἐγὼ γὰρ ἐπειδὰν ἐπιβάλλω τῇ διανοίᾳ πρὸς τὰ γιγνόμενα ἀπὸ καθαρᾶς συνειδήσεως, οὐδένας εὑρίσκω εὐδαίμονας, ἀλλ' ἢ μόνους τοὺς μηδενὸς δεομένους· τοιοῦτος δ' εἴτις ποτὲ καὶ ἄλλος, ἀλλ' ἔγωγ' εὔχομαι τοῦτο εἶναι· οὐδὲ γὰρ οἶδ' ὅτου τυγχάνω δεόμενος, οὐδ' ὅ,τι ποτ' ἂν εὐχοίμην γενέσθαι μοι, οὐδ' αὐτὸ τὸ ζῆν ἔτι μοι διαρκέσαι· τὸ γὰρ τούτου στάδιον σύνοιδα οὐ πάνυ τι ἀγεννῶς διαδεδραμηκώς· οὐδὲ μόνου ἔτι φύσεως νόμῳ δοκῶ μοι προσδεῖσθαι, ἵν' εἰς ἕτερον ἀκήρατόν τι μεταβῶ, καὶ τοῦτ' ἐγγύς πῃ προσιὸν οὐκ

πότνιαν μητέρα πρόοδον καὶ ἐγγύτητα, μηκέτι μέμφου τοὺς κατὰ βῆμα ἀνατρέχοντας πρὸς ἐκεῖνο, μήτε Μακαρονιστὰς ἀποκάλει πρὸς ὄνειδος τοὺς τὰ πατρῷα τιμῶντας, καὶ ἀποσκορακίσαντας τῆς γλώττης τό γ' ἐπ' αὐτοῖς τῶν κακορέκτων καὶ ἀσυμφύλων ἐκείνων ὀνομάτων τὸν συρφετόν· ὃ γὰρ σὺ φὴς Μακαρονισμὸν, τοῦτο κἂν τῷ μεταβάλλοντί ἐστι μεταβάλλον, κἂν τῷ αὔξοντι αὖξον. Ἔῤῥωσο.

## Ἰωάννῃ. (436.)

Τὰ μὲν φυτὰ ὕδατι ἀρδευόμενα, καὶ χάριξιν ὑπὸ τῶν φυτουργῶν, προσπηγνύμενα, αὔξεται ἀνιόντα πρὸς εὐθυωρίαν· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τοσούτῳ ταῖς τῶν καλῶν διδαχαῖς βελτιοῦται, ὅσῳ ταῖς τῶν παραγγελμάτων στομοῦται ἐπαναλήψεσιν· αὐτίκα γὰρ οἱ φιλόκαλοι Αἰγινῆται, οἱ ἐπ' ἀπειροκαλίᾳ πρότερον ἀδίκως ὑπό τινων διεβάλλοντο, νῦν τῶν Κεντρικῶν καλουμένων σχολείων μετατιθεμένων Ἀθήναζε, ἰδόντες μὲν καὶ οἴκοθεν, οἵων αὐτοῖς ἐνδεῖ, διδαχθέντες δὲ καὶ παρ' ἐμοῦ, ἃ αὐτοῖς ἀπόκεινται ἐκ τούτου ἐν τῷ μέλλεντι ἀπολαύειν, καὶ λόγῳ πείθοντι πολλαχῶς ἀρδευθέντες, ἔγνωσαν σχολεῖον συστήσασθαι ἴδιον, τὸ πεντηκοστὸν ἐκ πασῶν τῶν προσόδων συνεισφέροντες ἕκαστος· καὶ ταῦτα μὲν οὕτω πράττεται· νῦν δὲ

» Ἄλλο δέ τοι ἐρέω· σὺ δὲ φρασσὶν βάλλεο σῇσι.

Ταῦτα γὰρ ὁμοθυμαδὸν μελετήσαντες, προσελιπάρησάν με καὶ τὴν τοῦ σχολείου ἀναδέξασθαι διακόσμησιν, ἃ δεῖ τῶν μαθημάτων, καὶ ὅπως χρὴ καὶ πότε διδάσκειν ταῦτα, προσδιορίζοντα· καὶ τὸ ἐπαχθέστερον ἔμοι γε, εἴτι δυναίμην καὶ αὐτὸς διδάσκειν, μηδὲ τοῦτ' αὐτοῖς ἐπαρνήσασθαι· ἐγὼ δὲ, καίτοι γήρᾳ τε ἤδη στυγερῷ καὶ πόνῳ καμφθεὶς,

θάνετε μὴ κατὰ τρόπον ταύτης ἁπτόμενοι. Ἐγὼ δὲ τὸ τετριμμένον ἐκεῖνο ἀντεμβάλλω ὡς ἀσφαλέστατον.

» Πόλλ' οἶδ' ἀλώπηξ ὁ δὲ ἐχῖνος ἓν μέγα.

οὐδὲ γὰρ ἂν δυναίμην μεταβάλλεσθαι πρὸς ὑμᾶς, μηδὲν φρονοῦντας ὑγιὲς, μηδὲ κατ' ἐπιστασίαν, ἀλλ' ἐξεπιπολῆς καὶ ἐπιλίγδην τὰ πράγματα κρίνοντας. Ἀλλ' ἴστ', ὦ γενναῖοι, ἡμεῖς, μᾶλλον δὲ πεποιθότως ἐπίστασθε, ὡς ἄνευ φιλολογίας οὐκ ἂν συσταίη βασίμως φιλοσοφία· ἐκείνης δὲ κατὰ τρόπον ἀπαρτισθείσης, συναπαρτισθήσεται κατὰ λόγον καὶ πᾶσα ἐπιστήμη· καὶ ταῦτ' ἀξιῶ πιστεύεσθαι παρὰ σοῦ· καὶ γὰρ

» Κρείσσων εἷς ἐμέθεν, καὶ φέρτερος οὐκ ὀλίγον περ
» Ἔγχει· ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
» Πολλόν· ἐπεὶ πρότερος γενοίμην, καὶ πλείονα οἶδα·
„ Τῷ τοι ἐπιτλήτω σὴ κραδίη μύθοισιν ἐμοῖσιν.

Μὴ τοίνυν χαῖρε ἁπλῶς παντὶ νεωτερισμῷ ἑξῆς καὶ ἀπρονοήτως· εἴη γὰρ ἂν οὗτος χρήσιμος, ὡς ἂν εἴποι τις ἁπλῶς ἐπὶ τῶν μὴ τελέως ἀπαρτισθέντων, ὡς δι' αὐτοῦ ἐπὶ τὸ τελειότερον πολλάκις, ἐφ' ἑκάτερα κατὰ τὰ συμβαίνοντα, τῶν πραγμάτων ἀφικνουμένων· καθάπερ καὶ ἡ γλῶσσα τὴν ἐναντίαν τῆς πτώσεως ἤδη βαδίζουσα, διὰ τοῦ καλουμένου Μακαρονισμοῦ ἀναῤῥιχᾶται νῦν πρὸς τὴν πατρῴαν εὐγένειαν· Ἐπὶ δὲ τῶν καθεστώτων τὸ ἀνεωτέριστον ἀσφαλέστατον· διὸ καὶ νόμοις τοῦτ' ἐν τοῖς πλείστοις τειχίζεται. Ζήτει τοίνυν, ὦγαθὲ, πρῶτον τὴν πατρῴαν σοφίαν, καὶ ταῦτα πάντα προστεθήσεται ἡμῖν. Ὅσον δὲ περὶ τῆς δεισιδαιμονίας (ἐνοχλεῖ γάρ σε καὶ τοῦτο οὐχ ἧττον) καὶ περὶ ταύτης οὐκ ἐλάττονος δεῖ σοι σκέψεως, ἵνα μὴ ἀρθείσης ἐκείνης, εἰσερπύσῃ λεληθότως τὸ τῆς ἀθείας· τὸ γὰρ ἀκαίρεον καὶ ὀρθὸν διαφεύγει τὴν τῶν ἔτι ἀκαθαρτίστων, καὶ ἀκατηχήτων αἴσθησιν καὶ κατάληψιν· διὸ καὶ ὁ

φῷ Κυβερνήτῃ ἦν τὸ βουλόμενον, χ' ἡμῖν οὐχ ἧττον τὸ σπουδαζόμενον, ἀλλὰ καὶ πρὸς τὰς ἔξωθεν ἀντιστήσεσθαι μεθοδίας τοῦ διαβόλου, πολλῶν ἡμῖν ἀφανῶς καὶ ὑποχθονίως ἐπηρεαζόντων τε καὶ ἐπιβουλευόντων· νῦν δ' ὡς ἔχει ἡμῖν τὰ ἡμέτερα, τὶς Ἱερεμίας θρηνήσειε κατ' ἀξίαν; καὶ πόθεν ἐλπιστέον τὴν τοῦ πράγματος σωτηρίαν; εἴτις γὰρ καὶ σπινθὴρ εὐσεβείας ὑπὸ τῇ τῆς δεισιδαιμονίας αἰθάλῃ πῃ ὑποθάλπεται, καὶ τοῦτον ἄλλως ἄλλοι ὑπορύττοντες, σπεύδουσιν ἀποσβέσαι, οἱ μὲν εὐσεβείας προφάσει, οἱ δ' αὖθις ἀπὸ γυμνῆς κεφαλῆς ἐλπίδι δῆθεν μειζόνων πραγμάτων, οἱ δὲ συνεκριζῶσαι ὅλως τοῖς ζιζανίοις καὶ τὸν σῖτον πειρώμενοι. Ἀλλ' ὦ βέλτιστοι, ἴστε πολλὰ μὲν δοκοῦντες εἰδέναι, μηδὲν δὲ ταῖς ἀληθείαις γε ἐπιστάμενοι, ἅτε δὴ μὴ βουλόμενοι ἓν ἐκεῖνο εἰδέναι γε πρῶτον, ὅτι πολλαχῶς ἔξωθεν ἐπιβουλευόμεθα· καὶ ὃς ἦν ἐν ἡμῖν μόνος, οἷος τάς τε διαδύσεις τῶν ἐχθρῶν διοπτεῦσαι, καὶ τὰς ἐξ ἀφανοῦς ἀποκρούσασθαι προσβολὰς, τοῦτον λαβόντες, ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, τοῖς τὰ ἡμέτερα πολλαχῶς ἐπιβουλεύουσι χαριζόμενοι, καί τοι νῦν ἕκαστος ὑμῶν ἐκ τῆς τῶν πραγμάτων ἀναγκαζόμενος πείρας, τὴν καθ' ἑαυτὸν Ἐριννὺν πειρώμενος ἐξελεῖν, προσποιεῖται συνεχθλίβειν τὸ ὄμμα πρὸς δάκρυον, ἵνα μὴ καὶ οἱ παῖδες ὑμῶν ποθ' ὕστερον εἴποιεν, Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἐμιάναμεν τὰς χεῖρας ἡμῶν ἐν τῷ αἵματι τοῦ δικαίου ἐκείνου, μαρτυροῦντες καὶ αὐτοὶ ἀθώως, ὅτι υἱοί εἰσι τῶν φονευμάτων τοὺς Προφήτας. Τί οὖν; καὶ πόθεν, εἴποις ἂν, ὕπεστιν ἡμῖν ἐλπίζειν σωτηρίαν; οὐδαμόθεν, ὅτι μὴ ἐκ τῆς παιδείας· πρὶν γὰρ ἴδῃς τῶν Ἑλλήνων τούς γε πολιτικοὺς πεπαιδευμένους, καὶ τοὺς ἱερεῖς σπείροντας τὸν τῆς ἀρετῆς καὶ εὐσεβείας σπόρον ἀπὸ τοῦ Ἄμβωνος κατὰ πᾶσαν Κυρια-

λόγων ἐραστὰς ἐπιδείκνυσθαι εἰς ὅ,τι ἂν ποτ' ὑπαγορεύῃ αὐτοὺς τὸ ἡδόμενον, κἂν μυίας ἐγκώμιον, κἂν φωνηέντων δίκην βούλωνται συντιθέναι· ἀπὸ γὰρ τῶν τοιούτων μεθ' ἡδονῆς ἀρχόμενοι, εἰς τὰ ἐπικαίρια μετὰ σπουδῆς καταλήξουσιν. Ἔπειτα, εἰ θεῖμεν γενέσθαι τῷ ὄντι τοὺς πρεσβεύσαντας ποτὲ ἐς Τροίαν, τίποτ' ἂν φαίημεν ἐνδεῶν ταῖς τοῦ Λιβανίου μελέταις ἐς ἦθος ὑγιὲς, καὶ εὐπρέπειαν λόγων; καὶ τὶ ἂν προσθείη τις ἐκ τῆς ἠθικῆς καὶ τῆς τέχνης, ὃ μὴ περιέχοιτ' ἂν ἐν ἐκείνοις; Οὕτως, ὦ βέλτιστε, οὐκ ἀρκεῖ, εἴτις πῃ εἴρηκε γνώμην ὡς ἔτυχεν, ἁπλῶς ταύτῃ ξυνέπεσθαι ἐκ προλήψεως. Ἀλλὰ σοφὸς γ' ὁ εἰπών· φημὶ κἀγώ· ἀλλὰ σύ γε ἀμαθὴς ὁ ἀκούσας· οὐ γὰρ καλὸν ἑαυτῶν ἀπογνόντας, ἁπλῶς ὥσπερ αἱ χελιδονίδες τὴν τροφὴν, κεχηνότας δέχεσθαι τὰ παρ' ἑτέρων λεγόμενα· ἀλλὰ κρίνοντας πρότερον πολλαχῶς, εἰ καλῶς, εἰ μὴ ἔχοι, οὕτως ἤτοι παρεδέχεσθαι ἐπαινοῦντας, ἢ ἀποστρέφεσθαι ἀποδοκιμάζοντας· ἵνα μὴ, ὥσπερ καὶ ἐν ἄλλοις πολλοῖς, μεταμεληθῆτε, ὁπόθ' ὁ ποιητὴς ἐρεῖ ὑμῖν » Ῥεχθὲν νήπιος ἔγνω » τὸ γὰρ Ἐπιμηθεύεσθαι ἄφρονος· ᾧ τὸ μὲν μέλλειν οὐκ ἔστιν, ἔνεστι δὲ τὸ μεταμέλειν. Ἔρρωσο.

Λεοντίῳ. (439.)

Πάλαι μὲν προὐθέμην, ἀλλ' ἀσχολίας μοι ἐμπεσούσης, ἀνεκόπην ἐς δεῦρο πέμψαι σοι καὶ τὸν Εὐριπίδην μετὰ τῆς Ξυνωρίδος, τοῦθ' ὅπερ μοι νῦν ὁ χρόνος χρέος πεποίηκε. Δέξαι τοίνυν ἐξ ἑκατέρων σώματα δέκα· ὧν τὰ μὲν πέντε σεαυτῷ, καὶ τοῖς ἀμφί σε, οἷς ἄξιον νέμεσθαι, ἐν οἷς καὶ τὸ μειρακύλλιον, ᾧ Ἰωάννης ὄνομα ὁ τοῦ Εὐσταθίου τοῦ Κλήτωρος· τὰ δ' ἄλλ' ἄλλοτε ἐπιστελῶ, ὅπως καὶ οἷστισιν ἀπονεμεθήσεται ἕκαστα. Ἔρρωσο.

όντων ἡμῖν, ἐν μυχοῖς δὲ πραττόντων ὅ,τι δήποτε πράττοιεν, πολλάκις γινώσκομεν, πῶς ἄν τις νοῦν θεοῦ γνοίη τοῦ ἀπειράκις ἀπείρου καὶ μυριάκις τελείου, καὶ ὑπερτελοῦς καὶ πιστευομένου, καὶ ὄντος; τίς γὰρ αὐτοῦ πώποτ' ἐγένετο σύμβουλος; καίτοι ἴσμεν, ὅτι πᾶν τὸ ἐκεῖθεν γιγνόμενον ἐπ' ἀγαθῷ ἡμῖν γίγνεται, κἂν ἀγνοῶμεν τὸ πῶς. Ἀπόσχου τοίνυν τοιούτων θεωρημάτων, ἐῶν τῇ Προνοίᾳ διακυβερνᾷν τὰ ἡμέτερα, ὥσπερ βούλεται· τοὺς γὰρ ὅρους τοῦ νοεῖν ὑπερπηδᾷν καὶ ἡ φιλοσοφία ἀπαγορεύει. Ἔῤῥωσο.

*Γεωργίῳ.* (443.)

Ἄλλοισιν ἄλλος τέρπεται ἀνήρ· ἐμὲ δὲ ἐμφιλοχωρεῖν τὸ γῆρας ὧδε ἰσχυρῶς ἀναπείθει· τά τε γὰρ ἄλλα ἡ τοῦ Αἰγιαλοῦ νῆσος χαρίεσσα, καὶ ὁ ἀὴρ εὐκραέστατος· καὶ γὰρ

„ Ἐνθάδε οὔτι χιὼν ἐπιπίλναται· ἀλλὰ μάλ' αἴθρη
„ Πέπταται ἀννέφελος, λευκὴ δ' ἐπιδέδραμεν αἴγλη·
„ Τῇ ἔνι τέρπονται ἀβληχροὶ ἤματα πάντα.

Παρ' ὑμῖν δ', εἴτις ἐξέλοι τὰ ἀρχαῖα, ἃ καὶ αὐτὰ οὐ μᾶλλον τέρψιν ἐμποιεῖ θεωμένοις, ἢ καὶ λύπην πολλάκις ἐνῆκεν, ἐπειδάν τις ἀναδράμῃ τῇ μνήμῃ, ἀφ' οἵων εἰς οἷα μεταβεβήκαμεν, οὐδὲν ἄλλ' ὁρᾷ, ἢ αὐχήματα καὶ γαυριάματα πολιτικῶν σοβούντων διὰ τῆς ἀγορᾶς, καὶ ἀπὸ θρόνων ἀργυροήλων μέγα ἐρυγκανόντων, ὥσπερ ἵπποι, τῷ χρυσῷ, εἴπου τύχοι, ζυγῷ καὶ τοῖς ἐλεφαντίνοις χαλινοῖς, τοῖς ἑαυτῶν περιτραχηλίοις, καὶ ταῖς κομψαῖς ἐπωμίσιν ἀγαλλομένων· ἃ τοῖς μὲν νέοις ὑμῖν ἔχει τέρψιν· γέρουσι δὲ τοῖς κατεψυγμένοις, οὓς μετὰ τῆς ἡλικίας καὶ τὰ πάθη κατέλιπον, οὐδὲν ταῦτ', ἢ ὄχλος καὶ θόρυβος πολὺς καὶ ματαιότης ματαιοτήτων, πομφόλυξιν ὅμοια, ταχὺ μὲν συνισταμέναις, τάχιον δὲ διαῤῥηγνυμέναις, κἀπὶ τὸ μηδὲν ἠκούσαις. Ἔῤῥωσο.

Ἰωάννῃ. (445.)

Σπινθὴρ καὶ βραχὺς ὑπ' αἰθάλῃ κρυπτόμενος, πολλὴν ἀναῤῥιπιζόμενος ἀναδίδωσι φλόγα· τοιαύτην ἀρχὴν τῆς πατρῴας σοφίας οἴομαι τὴν νῆσον Πάτμον γενέσθαι τοῖς Ἕλλησιν· ἦν γὰρ ἡμῖν πρὸ αἰῶνος ὅλου τὰ πράγματ' ἐς τοσοῦτον ζοφερὰ καὶ γνοφώδη, ὥστ' οὐδ' ἐν τῷ Πατριαρχείῳ ἦν εὑρίσκειν ἄνδρ' οἷον εἰδέναι γράφειν ὀρθῶς· εἶθ' οὕτω φωτὸς πρῶτον ἐν τῇ νήσῳ ταύτῃ ὑποφανέντος, καὶ διαδοχῇ τεσσάρων σοφῶν διδασκάλων αὐξηθέντος σὺν λόγῳ, διασκεδασθέντος οὕτω τοῦ σκότους, εἴδομεν θεοῦ συναιρουμένου ἡμέραν. Πῶς οὖν ἂν ἔγωγ' ἐπιλαθοίμην τῆς φωτοδότου καὶ σωτηρίου, δι' ἣν καὶ αὐτός εἰμι, ὅ εἰμι; μικρὸς μὲν, ἀλλ' οἷός γ' εὐγνώμων πρὸς τὴν εὐεργέτιδα εἶναι· δίκαιος γὰρ ἂν εἴην καὶ προσεπιδαψιλεῦσαι αὐτῇ τὰς βίβλους, καὶ τυχὼν τοῦ κομίσοντος τοῦτο δράσω, τοῦτ' αὐτὸ αὐτῇ ἀποδοὺς, ὅπερ τυγχάνω ποτὲ παρ' αὐτῆς εἰληφώς. Ἔῤῥωσο.

Κωνσταντίνῳ. (446.)

Ὡμολόγηται παρὰ πᾶσιν, ὡς οὐδεμία ἀρετὴ ἄνευ προηγουμένης φρονήσεως κατορθοῦται· οὐ δεῖ τοίνυν ζητεῖν, πόθεν οὕτω κακῶς ἡμῖν νῦν τὰ πράγματα ἔχει· τὴν γὰρ μόνην φρόνησιν τῆς Ἑλλάδος, τὸν ἄριστον, φημὶ, ἄνδρα λαβόντες ἀνείλομεν ἐν τῷ ἱερῷ ναῷ τοῦ θεοῦ, ἵνα μετὰ ἀειμνήστου μαρτυρίας τὴν ἀνομίαν ἡμῶν τοῖς εἰσέπειτα παραδῶμεν· καὶ νῦν πάσχομεν ἀνεπιστημόνως τὸ τῆς γαλῆς, λειχούσης ἡδέως τὴν ῥίνην· δανειζόμενοι γὰρ καὶ ἡμεῖς, ἠρέμ' ἀποφθίνομεν, μὴ εἰδότες τὸ σοφὸν καὶ σωτήριον Σωκράτειον δάνεισμα· οὗ τὸ παράδειγμα ὁ τῆς σωφροσύνης καὶ δικαιοσύνης μέγας ἐκεῖνος διδάσκαλος, ἀφ' ἑαυτοῦ ἀρξάμενος

ὀνομάτων παρεισέφρησε κλίσιν, καὶ τούτων αὐτῶν πολλαχῇ τὸ δυσηχὲς καὶ ἀξύμφυλον, τῶν περὶ τὰ πράγματα πάντων καλῶς ἐχόντων; δόγμα μὲν γὰρ τοῦτ' οὐκ ἂν εἴποιμι, μηκέτι μηδενὸς τοῦ ὀλεθρίου κόμματος τῶν χυδαϊστῶν ὑπολειπομένου, καὶ τῶν πραγμάτων αὐτῶν συναναβαίνειν κἂν τῇ γλώσσῃ, ἀλλ' οὐ καταβαίνειν τρανῇ ὑπαγορευόντων φωνῇ. Δῆλον οὖν, ὅτι χαριζόμενος τοῖς πολλοῖς, ἵνα δῆθεν κἀκείνοις ἐντεῦθεν ὠφέλιμος εἴης, ταῦτα προείλου· ἀλλ' ἄμβροτες, ὡς ἐμαυτὸν πείθω· ἡ γὰρ βίβλος Δηλίου δεῖται κολυμβητοῦ. Ἔῤῥωσο.

## *Μανουήλῳ.* (448.)

Φύσει ἄρα πρὸς κοινωνίαν ἐπιῤῥεπὴς ὁ ἄνθρωπος πέφυκε· καὶ εἴτ' ἀγαθόν τι, ἢ κακόν· εἴτ' ἀστεῖον, ἢ ἀηδὲς ὕπαρ τε καὶ ἐν ὕπνοις ποτὲ πεπονθὼς, τοῦτο φέρων ἡδέως ἐθέλει διηγήσασθαι καὶ πρὸς ἄλλους. Εἴτι οὖν τοιοῦτον ἥκω κἀγὼ σοι κοινῶσαι, τῷ νόμῳ ἑπόμενος, οὐκ ἂν εἴης δίκαιος σμικρολογίαν τινὰ, ἢ ὅλως ἄνοιαν καταγνῶναί μου· πρὸς γὰρ τοῖς ἄλλοις καὶ δεῖγμα φιλίας ἔχει ταῦθ' οὕτω γιγνόμενα, ἅτε δὴ, κἂν τῶν ἡδέων ταῦτ' ᾖ, κἂν τοὐναντίον, κοινὰ τοῖς φιλοῦσι τιθέμενα. Τί οὖν ἐσθ' ὃ βούλομαι λέγειν; ἐπειδὰν ποτ', ἀπασχολῶν ἐμαυτὸν τῶν ἀνὰ χεῖρας κατεπειγόντων, ἀνακλίνωμαι καθ' Ὅμηρον μὲν εἰπεῖν, μέγας μεγαλωστὶ· ὡς δ' ἂν ἔγωγε φαίην, γέρων γεροντιστὶ, περίειμι μὲν τῇ φαντασίᾳ πᾶσαν τῆς γῆς τὴν γνώστην, φιλοχωρῶ δὲ, ἔνθα πλείω διέτριψα χρόνον· κἀπειδὰν πολλάκις πολλὰ ἐκπεριελθὼν, εἰς Βουκουρέστιον γένωμαι, σοὶ καὶ πρώτῳ ἐντυγχάνω, καὶ ἀπὸ σοῦ ἐσχάτως μόγις ἀφίσταμαι· ἕλκει γάρ με ὁ πόθος σὸς ὡς τὸν σίδηρον ἡ μαγνῆτις· καὶ εὑρὼν τὸ ποθούμενον,

με ἔδει· τὰ δ' ἄλλα μενέτωσαν παρά σοι, μέχρις ἂν εὑρεθῶσιν, οἷς πλείω τούτων ὄνησίς ποτε γένοιτ' ἄν. Εἰδέ τινες τῶν παρά σε φοιτώντων τοιούτων ἀκούουσι μαθημάτων, χρήσθωσαν αὐτοῖς ὡς κτήμασι τοῦ Γυμνασίου· δεῖ δ' οὖν αὐτοῖς πρότερον βιβλιοπήγος, ἵνα μὴ κατατρίβοιεν ταῖς χρήσεσιν. Ἔρρωσο.

Γεωργίῳ. (450.)

Χάρις σοι μᾶλλον ὀφείλεται παρ' ἐμοῦ, ἢ δῶρον πέμπεται τὰ βιβλία· ἀγνοήσας γὰρ πρότερον, νῦν ἔχω σὲ ἐν τοῖς μάλιστα, καὶ γεγονέ μοι τῶν βιβλίων ἡ αἴτησις πλούτου προσθήκη, εἴγε δὴ φιλία κτημάτων τὸ τιμιώτατον· οὐκοῦν οὐκ ἐδώκαμεν, ἀλλ' ἀπεδώκαμεν ἀντὶ μεγάλων μικρὰ ἀποτίσαντες. Ἔρρωσο.

Ἰωάννῃ (451.)

Εἰ μὴ μῶμος ἦν, οὐκ ἂν ἡμῖν ἦν προσέχειν, οἷς ἐνασχολούμεθα· οὐδ' ἀρετὴ ἐναργὴς, μὴ πολεμουμένη τῷ φθόνῳ· ἐκ γὰρ τῶν ἐναντίων τἀναντία καταφαίνεται μάλιστα, καὶ τὸ φῶς τὸ λίαν ἀνόμοιον πρὸς τὸ σκότος μᾶλλον εὐδοκιμεῖ παρακείμενον· Τί οὖν μοι δεῖ ἀπολογίας πρὸς τὰς τῶν συκοφαντούντων ἐρεσχελίας; τὰ γὰρ αὐτῶν βέλη ἐκ τῶν ἔργων ἐκπίπτουσι μάταια· ἔπειτ' ἐναπέσβη καὶ ἡμῖν ἤδη τὸ δύσερι διὰ γῆρας· καὶ πρὸς τούτοις οὐκ ἂν ἀξιοῖμεν πρὸς νεωτέρους, οἷς οὐ πέπηγε τὸ φρονεῖν, λόγοις διαπληκτίζεσθαι. ἠβουλόμην μέν τοι μὴ λόγοις αὐτοὺς ἀγράφοις τὰ ἡμέτερα πειρᾶσθαι ἀνασκευάζειν, ἀλλὰ συγγράμμασι τοῖς ἑαυτῶν ἐκεῖνα δεύτερα δεῖξαι· οὕτω γὰρ ἦν ἄν τις καὶ τοῖς Ἕλλησιν ὄνησις· νῦν δ' αὐτοὺς καυχᾶσθαι τὴν Ὄλυνθον καθελεῖν, ἑτέραν βελτίω ἀνεγείρειν μὴ δυναμένους, τοῦτο ζῆλον οὐκ ἔχει. Ἔρρωσο.

ἄλλ' ἐπ' ἄλλοις μονονοὺ καθ' ἑκάστην ἡμέραν παρὰ τῶν εὐγνωμονούντων ἡμῖν ἐπιστέλλεται. Ἀλλ' εἴη μοι μόνον τέλος τῶν ἀνὰ χεῖρας ἰδεῖν, καὶ τὸ λοιπὸν ἀναπαύσομαι· οἱ γὰρ ὑπερβάλλοντες πόνοι καὶ νέοις πολέμιοι κατὰ Πλάτωνα, ἧπού γε δὴ γεγηρακόσι βαρεῖς καὶ δυσφόρητοι. Ἔῤῥωσο.

Σπυρίδωνι. (454.)

Τὸ πᾶν μέτρον ἄριστον εἰ μὴ μέγ' ἦν, οὐκ ἂν τοσοῦτον χρόνον ἐν ταῖς τῶν ἀνθρώπων ἐσπουδάζετο μνήμαις· καὶ τοσοῦτόν γε μέγα, ὅσον καὶ τυχεῖν τούτου, ἐν οἷς πράττομεν ἐν τῷ βίῳ, μόνοις τοῖς ἀμφὶ Σωκράτην καὶ Πλάτωνα τεταμίευται· οὐκοῦν καὶ τὸ ἐπαινεῖν ἐν τῷ μέτρῳ ἔσχηκε τὴν ἀκμήν· ἀλλ' ἐπειδὴ τοῦτο δυσέφικτον, ὥσπερ ἔφημεν, γίγνεται, ἄμεινον ἐλλείπειν, ἢ ὑπερβάλλειν· ἐν μὲν γὰρ τῷ, οὐδὲν ἂν ἡμῶν, ἢ λόγου ἀδυναμίαν οἱ ἐπαινούμενοι καταγνοῖεν· ἐν δὲ τῷ ὑπερβάλλειν οὐκ ἂν εἴημεν καθαροὶ κολακείας, οὐδὲ τῆς ἄλλης κακοηθείας. Ἐπειδὴ τοίνυν καὶ κατὰ τὸν σοφὸν Ἰσοκράτην δυσκαταμαθήτως τὸ μέσον ἔχει, ἐλλείπειν αἱροῦ καὶ μὴ πλεονάζειν· τούτῳ γὰρ τῷ κανόνι καὶ οἱ ὀψοποιοὶ ἐν τῷ ἅλατι καὶ τοῖς ἄλλοις χρώμενοι καρυκεύμασιν, ἧττον ἀποτυγχάνουσι· τὸ μὲν γὰρ ἐλλιπὲς ἔξεσται ἀναπληροῦν· τὸ δ' ὑπερβάλλον χαλεπὸν ἀφαιρεῖν. Ἔῤῥωσο.

Νικολάῳ. (455.)

Οὗ τις τὴν γνῶσιν ἀφήρηται, τούτου κατηγορεῖ προχειρότατα· τοῦτο μὲν εἴρηται πάλαι, ἀλλ' οὐκ ἂν δόξειεν ἀπεμφαῖνον εἰρῆσθαι καὶ νῦν περὶ σοῦ· πολλάκις γὰρ ἀκούσας σου μέγ' ἔγκλημα ποιουμένου τῷ ἀγαθῷ Κυβερνήτῃ ἄλλα τε πολλὰ καὶ τὸ μὴ ἐκστρατεῦσαι τοὺς Ἕλληνας ἐπὶ τοὺς Ὀθωμανούς, ὁπότ'

λόγοις, εὐσέβεια μᾶλλον ἂν εἴη· εἰδέ τις καὶ ὑπὲρ ὃ ὀφείλει, εὖ ποιεῖν προαιροῖτο, τοῦτ' εὐποιΐα ἐστίν· ἔστι δὲ τούτων τὸ μὲν τῆς φύσεως· τὸ δὲ, τῆς ἐντολῆς· τὸ δὲ τρίτον ἄντικρυς τῆς θελήσεως· κἀκεῖνα ἄμφω ἑτεροκίνητα καὶ ἀναγκαστά· τοῦτο δὲ αὐθαίρετον, ἀναγκαστον, ἀπολύτως ἐλεύθερον· καὶ παρὸν μὲν, ὡς εἰκὸς, ἐπαινούμενον, καὶ ἀπὸν οὐ ψεγόμενον· εὐθύνη γάρ ἐστιν ἁπάσης ἐπέκεινα· ὅσῳ τοίνυν ἀνάγκης κρεῖττον προαίρεσις, τοσούτῳ, ἅ σοι κατ' εὐεργέτου τετόλμηται, ἄξια μέμψεως. Ἔῤῥωσο.

*Τοῖς Μαινομένοις.* (457.)

Παράδοξοι ἄνθρωποι, διεφθορότες τὰ ἤθη, δουλεύοντες πάθεσι, τίνας ὑμᾶς ὀνομάσω; ὧν λόγοι μὲν ἐκ τῶν χειλέων ἐκπίπτουσιν, ὅπως ἂν τύχῃ, συχνοὶ, νοῦς δ' αὐτοῖς ἐνυπάρχει οὐδ' ὁστισοῦν· εἰ μὲν γὰρ βούλοισθε πείθειν ἡμᾶς, ταῦτα λέγοντες, ἑαυτοὺς δεῖ πολλῷ πρότερον πεῖσαι, εἴγ' ἐσωτερικῶς τὸ συνειδὸς ὑμῖν ὑγιαίνει, καὶ οὔπω παντάπασι κεκιβδήλωται· πῶς γὰρ τύραννος ὁ πρᾳότατος Καποδίστριας, ὁ μόνος ἐν Ἕλλησιν ἀνὴρ ἀγαθός; πῶς ἐχθρὸς τῆς Ἑλλάδος ὁ σωτὴρ τῶν Ἑλλήνων, οὗ ἄνευ οὔτ' ἐλευθερίας ἂν ἐμνήσθημεν πώποτε, καὶ μνησθέντες κατεσφάγημεν ἂν, μηδὲν ὧν ἕνεκα ἐπανέστημεν, κατορθώσαντες; τίνας πώποτ' ἠδίκησεν ὁ κατὰ πᾶσαν τὴν Εὐρώπην ζυγὸς δικαιοσύνης γενόμενος; τυράννου γὰρ ἔργα ἐκεῖνα, φονεύειν, ὃν ἂν βούληται, παρανόμως· ὁ δὲ ἀφήει καὶ τοὺς ὑπὸ τῶν νόμων ἁλισκομένους φόνου, εἰ μὴ τοῦτ' αὐτὸ τὸ ἐπιεικὲς τοῦ ἀνδρὸς παράβασιν καλεῖς νόμου. Μοιχεύειν· ὁ δὲ σωφροσύνης ὁμολογουμένως ἦν εἰκὼν καὶ παράδειγμα. Ἁρπάζειν τὰ τῶν ἄλλων· ὁ δὲ οὐ μόνον τούτου ἀπείχετο ἰσχυρῶς, ἀλλὰ καὶ τὰ ἑαυτοῦ ἅπαντα φέρων, προὔθηκεν ἐν τῷ μέσῳ, ἄφθονον τῷ κοινῷ

εἰ δέ τις τοὐναντίον, ἀφ' ὑψηλοτέρας διανοίας ὁρμώμενος, χρῆται ἀδείᾳ πρὸς εὐεργεσίαν τῶν ὑπηκόων, μιμούμενος πρὸς τοῦτο καὶ τὸν θεὸν τὸν ἁπλῶς Αὐθέρετον ὄντα, καὶ δεσπότην ἀπόλυτον, τίποθ' οὕτως εὐεργετούμενοι παρ' αὐτοῦ, ἐνοχλεῖσθε; καὶ τί ἂν εἴποιτε, πλέοντες τὸν μέγαν Ὠκεανὸν, ὑφ' ἑνὸς κυβερνήτου τοῦ σκάφους ἐν πολλοῖς κυβερνωμένου κινδύνοις; ἐδυσχεραίνετ' ἂν καὶ τότε οὕτως αὐθαιρέτως ὑπ' ἐκείνου σωζόμενοι; οὐκ ἂν εἴποιτε τοῦτο, εἰ μὴ ὅλως ἐξίστητε ἑαυτῶν. Ἔδει ἄρα ἐν κακοῖς ἡμᾶς γενομένους ἑκόντας, δίκην νῦν οὐκ ἀνοίας, ἀλλὰ μανίας ἐκτίειν, ὅμοια τοῖς τὸν Σωκράτην φονεύσασι πράξαντας· καί τοι ἐκείνου μὲν ἀποθανόντος οὐδὲν χεῖρον τοῖς Ἀθηναίοις τὰ πράγματ' ἔσχεν· ἡμῖν δ' οὐδ' ἂν εἴποι τις κατ' ἀξίαν ὅσων κακῶν τοῦτο αἰτία ἐγένετο· ὥστ' εἰ ἐξῆν τοῖς Ἕλλησιν ἱματίοις ἀμφιέσασθαι μέλασιν, εἶδες ἂν οὐχ ἕνα τὸν Ἰσοκράτην μόνον, καὶ ἄλλους τινὰς ἐλαχίστους, ἀλλ' ἅπαντας ἀθρόους τοὺς Ἕλληνας, πλὴν τῶν αὐτουργῶν τοῦ φόνου, μελονειμονοῦντας καὶ τὴν κόμην ἅπασαν κεκαρμένους. Ἔῤῥωσο.

*Μανουήλῳ.* (458.)

Αἱ μὲν Ἀθῆναι ἤδη ἀνεγείρονται σὺν σπουδῇ, οἷα εἰκὸς, βασιλέως ψήφῳ καθέδρα ἐσόμεναι· ἐγὼ δὲ ὁ πολλάκις εὐξάμενος μὴ ἰδεῖν θάνατον πρὶν ἰδεῖν τὰ τοῦ Περικλέους Προπύλαια. οὔπω ἀφῖγμαι ἐκεῖσε, τέταρτον ἔτος τοῦτο παροικῶν ἐν Αἰγίνῃ, οὐ πλέον ἢ τρίτον ἡμιώριον μόλις τοῦ Πειραιῶς ἀπεχούσῃ. Τί δὲ τοῦθ' οὕτως ἐναντίον, ὧν πάλαι διατελῶ ἐφιέμενος, μηχανῶμαι; ἐγὼ μὲν ἐγκράτειαν ἀκριβῆ ἂν εἴποιμι τὸ γιγνόμενον· σὺ δὲ προσθεὶς τί, ἰσχυρογνωμίαν φαίης ἂν δικαιότερον· οὐ μὴ γὰρ καταλίπω τὴν Αἴγιναν, πρὶν ἂν τέλος ἐπιθῶ, οἷς πεπόνηκα· οὐ γὰρ σμικρὰν ἐντεῦθεν διορθῶ

σαίμεθα ἴσως τοῦτό σε ὀνομάζοντες, φιλομαθῆ δὲ οὐκ ἄν σε εἴποιμι ἔγωγε· πάλαι γὰρ, εἴπερ, ἐγεγράφεις μοι ἂν, τοὐπιβάλλον μέρος τῶν διανεμομένων βίβλων αἰτῶν καὶ αὐτὸς, καὶ μάλιστ' ἐμὸς μαθητής ποτε γεγονώς· ὃν γὰρ ἔδει πρὸ πάντων τῶν ἐς τὴν τράπεζαν κεκλημένων παραγενέσθαι, οὗτος εὑρέθη πάντων ἀνορεκτότερος. Ἀνάγκης οὖν οὔσης σοι νῦν γ', ὡς διδασκάλου ἀναδεξαμένῳ ἐπάγγελμα, διερεθίσαι τὸν στόμαχον, πέμπω σοι, καὶ μὴ βουλομένῳ ἴσως τὰς ἀνὰ χεῖρας βίβλους, αἷς χρώμενος ἐκ διαίτης ὀρθῆς, εὑρήσεις ἐν αὐταῖς τῆς ἀνορεξίας τὸ ἀντιφάρμακον νηπενθὲς, ἄχολον, κακῶν ἐπίληθον ἁπάντων· κἀνταῦθα συχνοτέρῳ τῷ γαργάρῳ χρησάμενος, ἐπιθυμήσεις ποτὲ πεινήσας, καὶ εἰς κόρον ἐλθεῖν· καὶ ἐνταῦθα γενόμενος, αἴτει τηνικαῦτα καὶ ὧν μέλλω ἐκδώσειν τὸ μέρος· οὐ γὰρ ἱκανὰ ἐκεῖνα δημοσίου διδασκάλου γασέρα ἐμπλῆσαι, ἵν' ἐκ πάντων τε τούτων κἀξ ἄλλων πολλῶν ἱκανῶς ἐφοδιασθεὶς, ἄξιος ᾖς καλεῖσθαι διδάσκαλος· σκοπεῖσθαι δ' οὖν σε ἐν πᾶσι χρὴ, ὅπως τῷ κοινῷ ὠφελιμώτερος ἔσῃ· ἐν τούτῳ γὰρ γνώσονται πάντες, ὅτι Ἕλλην εἶ, καὶ ὄντως Φιλοπατρίδης τε, καὶ ἐμὸς μαθητής. Ἔρρωσο.

### *Καλλινίκῳ.* (461.)

Ἄριστα ἐποίησας γράψας μοι περὶ τῶν βιβλίων· ἄλλως γὰρ οὐκ ἂν ἔλαβες· πῶς γὰρ ἂν, ὁπότε μήτε τοὺς ἐν αὐτῇ τῇ Ἑλλάδι διδασκάλους διαγιγνώσκω πάντας, ἐπὶ τὴν Μασσαλίαν ἀφικοίμην τῇ διανοίᾳ, ὥστε καὶ βίβλους πέμψαι; διὸ καὶ χάρις σοι παρ' ἐμοῦ προσοφείλεται, ὅτι πρὸς τῷ φίλος μοι γενέσθαι, γέγονας αἰτία τοῦ διαδοθῆναι τοὺς ἐμοὺς πόνους καὶ ἐκτὸς τῶν ἡμετέρων ὅρων. Λάβε τοίνυν πρὸς τὸ παρὸν τὴν Τετρακτὺν, τὴν Ξυνωρίδα, τὸν Σοφοκλέα, καὶ τὸν Εὐρι-

ἐπειράθην κἀγὼ διακαρτερῆσαι γενναιότερον τῇ ὀδύνῃ, τῷ ἐκείνου ἑπόμενος δόγματι, καὶ ἀπαγαγὼν τὸν νοῦν ἀπὸ τῶν ἐπικήρων ἐπὶ τὰ ἀκήρατα, ἵνα δῆθεν πόῤῥω γενόμενος τῆς σαρκὸς, καὶ μετεωρότερος τῆς ὕλης φερόμενος, ὡς οἱ Βορεάδες, ἀνάλγητος ὅλως ἀποβῶ πρὸς τὸ πάθος, οὐχ' οἷός τε ἐγενόμην ῥᾷον σχεῖν, τῆς σιαγῶνος διὰ πάσης σπαραττομένης τῷ ῥεύματι, καὶ ἀνασχολούσης τὸν νοῦν εἰς θεωρίας ἀνωτέρας τῆς ὕλης ἀνίπτασθαι. Ἐντεῦθεν οὖν γενόμενος αὖ ἐμαυτοῦ, ἔδοξά μοι ἀμωσγέπως ἀκοῦσαι τῆς Φύσεως αὐτῆς κελευούσης μοι ἐνδομύχως τοὐναντίον ὡς ἐκ τῶν ἀδύτων. Οὗτος, τί δρᾷς αὐτὸς, ἐναντίον τοῖς ἐμοῖς βουλόμενος βαίνειν νόμοις; ἢ σπεύδεις, ὅπως τάχιστα παρὰ τὸ πεπρωμένον ἀπαλλάξῃς τῶν τῇδε; σώματος γὰρ πρὸς ψυχὴν παρ' ἐμοὶ σύνδεσμος ὁ αὐτὸς τάθ' ἰδέα καὶ μὴ, κοινὰ αὐτοῖς εἶναι καὶ κατὰ συμπάθειαν, ἣν αὐτὴ ἤδ' αὐτοῖς ἐνεφύτευσα, ἀλλήλοις ἐπαρκεῖν ὁτιδήποτε. Εἰδὼς οὖν αὐτὸς ἄνθρωπος ὢν, ἐκ θνητοῦ καὶ ἀθανάτου συγκείμενος, ὀφείλεις ἀμφοτέρων ἐπιμελεῖσθαι τὸ εἰκὸς ἑκατέρῳ, ἀπεχόμενος μὲν δογμάτων ἀγυρτικῶν φιλοσόφων ὑπερφιάλων, φέρων δ' ἐν ἑκατέροις, ὡς τὸ φέρον σε φέρει. Ταῦτ' οὖν ἀκούσας ἐκείνης, ἐμνήσθην πρὸς ἐμαυτὸν, ὅπερ ἤκουσά σου ποτὲ εἰπόντος, φάρμακον ἀκεσώδυνόν τι εἰδέναι, οἷον ἀπαλλάξαι τῆς ὀδονταλγίας τὸν πάσχοντα. Εἰ οὖν οὕτως ἔχοι, δέομαί σου τούτου τυχεῖν, καὶ ἀπαλλαγεὶς σὺν θεῷ, ἀφθονωτέραις ταῖς εὐχαῖς καὶ εὐλογίαις τὸν ἐμὸν Ἀσκληπιάδην ἀμείψομαι. Ἔῤῥωσο.

## *Εἰρηναίῳ.* (464.

Γήρᾳ καμφθέντες ἀμφότεροι, τὰ ἀπὸ τούτου χαλεπὰ ἤδη πάσχομεν· οὗτος γὰρ ὁ τῆς φύσεως νόμος· ἡμᾶς δὴ χρὴ γενναίως τὰ παρ' ἐκείνης φέρειν, τὴν ἀνάγκην ποιουμένους

Κωνσταντίνῳ. (466.)

Χθὲς διὰ πάντων τῶν ὀδόντων μοι ὀδύνη διῆξε σφοδρά· ἔπειτα ῥᾷον σχὼν, ἡδέως διενυκτέρευσα καθευδήσας· ἀλλ᾽ ἅμα ἕῳ ἐξεγερθεὶς, ὁρῶ τὴν Μαρίαν ὁρῶσαν πρὸς ἐμὲ σὺν πτοήσει, καί πως ὑποδεδακρυμένην· ὁ δ᾽ αὖ Γεώργιος καὶ αὐτὸς προσιὼν ἐν μέρει, Εὖγε, φασὶ πρὸς ἐμέ· νῦν γὰρ γεραρῷ ἔοικας ἀνδρὶ, εἴγ᾽ ὅλως ὅμοιος τῷ τῆς Κορίνθου γέγονας Ἐπισκόπῳ· ἐξογκωθεισῶν γάρ μοι τῷ πόνῳ τῶν παρειῶν, ὥστε τοὺς ὀφθαλμοὺς ἀποκρυβῆναι ἐν τοῖς κοιλώμασιν ἐκ τοῦ πέριξ οἰδήματος, ἀπέβην παρὰ δόξαν ὁ ἰσχνὸς καὶ σφηνοπόγων ἐγὼ, λιπαρὸς καὶ ἁβρὸς, καὶ σφαιροκέφαλος ὅλως· ἵνα οὖν μὴ ἐπὶ πολὺ τὸ τοῦ Ἐπισκόπου ἐκείνου περιφέρωμεν ὄνειδος, εἰπὲ τῷ ἰατρῷ, ἐπειδὰν τάχιστ᾽ ἐπισκέψηται, οὗ τῶν νοσούντων τυγχάνει ἰώμενος, παριέναι κἀντεῦθεν τοῦτ᾽ αὐτὸ ποιήσοντα καὶ ὃν ὁ Χάρων συνεχέστερον ἤδη δάκνων προμηνύει τὴν ἔξοδον. Ἔρρωσο.

Γεωργίῳ. (467.)

Τίποθ᾽ οἱ φίλοι ἔντ᾽ εὐτυχίαις καὶ μὴ, πεφύκασι μάλιστα τὰ ἑαυτῶν διεξέρχεσθαι πρὸς ἀλλήλους; συμπάθειαν γὰρ τοῦτ᾽ ἔγωγ᾽ ἂν εἴποιμι, ἵνα κἀκεῖνοι τοῖς μὲν συμμετασχόντες, εὐφραίνωνται, τοῖς δὲ ἐπὶ τοῖς δυστυχήμασι συλλυπῶνται· οὔτε γὰρ ὁ εὐτυχῶν εὐτυχὴς ἂν εἴη, ἀφανῶς τοῦτο πλεονεκτῶν, εἰ μήτι μεταδοίη καὶ τοῖς ἑταίροις, οὔτ᾽ αὖθις δυστυχῶν μετρίως ἂν ἐνέγκοι τὸ πάθος, εἰ μὴ ἔχοι τὸν συμπαθοῦντα· ἐντεῦθεν ἄρ᾽, ἃ πάσχομεν, γλιχόμεθα διηγεῖσθαι κἀκείνοις, ἵν᾽ ἐκ τῆς συμπαθείας αὐτῶν εὕροιμεν ἡμῖν αὐτοῖς τῶν παρόντων κακῶν ἀνακούφισιν. Εἰ οὖν καί σοι φίλον, τἀμὰ μεριζόμενον χαλεπὰ, φίλον ὄντα, περιελεῖν τούτων τι,

ποτὲ, πέμψαι τὰς αἰτηθείσας βίβλους, ἐλλίποιμι γράμμασιν. Ἀλλ' ἥδονται, φὴς, αὐτῶν οἱ πλείους καὶ γράμμασιν ἡμῶν ἐντυγχάνειν, οἶδα κἀγὼ τὸ τῶν νέων φιλότιμον, ἐν μοίρᾳ τιμῆς τὰ τῶν γεραιτέρων γράμματα τιθεμένων· ἀλλ' ἀνδρὶ γήρᾳ καὶ πόνοις κεκυφότι ἤδη καὶ τρυχομένῳ ἐπὶ πολλῷ ἂν εἴη ταῦθ' οὕτω γιγνόμενα κατ' ἐπίδειξιν· οὐδὲ γὰρ ἄλλως σχολάζομεν, ἵνα καὶ πρὸς ταῦτ' ἐκ διαλειμμάτων χρονικῶν ἠρέμ' ἐπαρκῶμεν· ἀλλ' ἅμ' ἕῳ τῶν ἔργων ἁπτόμενοι, ἐς μέσην ἡμέραν τοὺς πόνους ἐντείνομεν· καὶ μικρὸν διαλιπόντες, ὅσον προσαναπαύσασθαι, ἀναλαβόντες αὖ τὴν γραφίδα, ἐς τρίτην ὥραν τῆς νυκτὸς καταλήγομεν. Δίκαιοι τοίνυν ἂν εἶεν ἐκεῖνοι ἀρκεῖσθαι μὲν τοῖς δωρουμένοις, μὴ μέμφεσθαι δὲ τοῖς ἐλλείμμασιν. Ἔρρωσο

*Τῷ Δούκᾳ.* (470.)

Ἐμοὶ μὲν, ὦ φίλτατε, τὸ τοῦ βίου τέλος ὅσον οὔπω πάρεστιν ἤδη· ἐξ ἄλλων τε γὰρ πολλῶν τοῦθ' ὁρῶ, καὶ ἐξ ὧν ἐξῃτησάμην ποτὲ θεόθεν μὴ πρότερόν μοι γενέσθαι θάνατον ἰδεῖν, πρίν μοι τέλος λαβεῖν, ἅπερ ἐν πολλοῖς μοι πεπόνηται πόνοις. Τούτων οὖν ὡς αὐτίκα πέρας ἑξόντων, καὶ τῆς προθεσμίας τοῦ βίου περαιωθείσης, δεῖ με νῦν γε μελέτην θανάτου πρακτικωτέραν ποιήσασθαι· καὶ πρὸς τοῦτο ἤδη παρασκευάζομαι. Ἵν' οὖν ὡς εὐπάρυφόν με κηδεύητε, δεήσει με κἂν τῇ σορῷ προτιθέμενον, κοσμιώτερον, οἷα γε εἰκὸς, περιεσταλμένον ὁρᾶσθαι. Οὐκοῦν ταφίου μοι πρῶτον δεῖ, καὶ τούτου ἐξ ἀώτου οἶος ἄκρου· ὅ ἐστιν ἔριον λεπτὸν τῶν ἐκ Μακεδονίας φασὶ, νεμομένων προβάτων. Τούτου τοίνυν βουλοίμην ἂν τυχεῖν παρὰ σοῦ, ὅθεν οἶδας αὐτόθεν, πορίσαντος, ὅσον ἱκανὸν πρὸς τὸ σπεῖρον· ἡ δὲ Μαρία, αὕτη δὴ ἡ ἐμὴ περίφρων Πηνελόπεια, ἐξυφανεῖ τοῦτό γε οὐκ ἐς τριετίαν ὥσπερ ἐκείνη, ἀλλ' οὐδὲ μῆν' ὅλον τῷ ἑαυτῆς Λαερτίῳ. Ἔρρωσο.

ἐξ ἀκάνθης ἀποδρέψασθαι ῥόδον, καὶ ἐξ ὀνώνεως ἄνθος, τὸν τὰς μελίσσας μιμεῖσθαι βουλόμενον· ἦν δ' ἡ γνώμη τίς; Τρία τινὰ, ἔφη, φυλάττειν χρὴ τὸν μέτρῳ καὶ στάθμῃ τὸν βίον πορεύεσθαι θέλοντα· πρῶτον μὲν τὸ ἀνὰ χεῖρας ἔργον μηδέποτε ἀναβάλλεσθαι ἐς τὴν αὔριον· ἡ γὰρ ἐπιοῦσα εὑρήσει τὸ ἑαυτῆς· δεύτερον, ἀφ' ὧν τις τρέφεται τήμερον, μέρος τι τούτων περιελόμενον, ἀποτίθεσθαι πρὸς τὴν μετὰ ταύτην· οὐδεὶς γὰρ οἶδεν ὅ,τι ποτ' ἐποίσει αὔριον ἡ πολύστροφος τύχη· καὶ τρίτον λέγειν ἐν ἅπασι τὴν ἀλήθειαν· ἀσφάλεια γὰρ αὕτη καὶ ῥίζα τῆς ἠθικῆς ἀρετῆς, τοῦ ψεύδους πολυσχεδοῦς καὶ ἀστάτου ἐξελεγχομένου. Σὺ δ' οὐκ ἂν εἴποις μὲν τὸν ἄγρικον ἐκεῖνον μὴ φιλόσοφον τὸ ἐπὶ τούτοις εἶναι, ἐξελέγχῃ δὲ σύμπαντα ταῦτα παραβεβηκέναι, καὶ μάλιστά γε τὸ πρῶτον· Ἀπόμαθε τοίνυν τὸ ἔθος, ὦ βέλτιστε, τὸ παρὸν τοῦ ἀπόντος οἴεσθαι δυσχερέστερον, κἀπὶ τὰς ἀναβολὰς καταφεύγειν, ἐνδιδοὺς ῥαθυμίᾳ. τὸ δὲ μέλλον μᾶλλον προλάμβανε ταῖς μελέταις· οὕτω γὰρ ὁρῶμεν ἐν ἅπασι γιγνομένας τὰς ἐπιδόσεις· δηλοῦσι δὲ τοῦτο καὶ οἱ γραφεῖς, οἳ τὸν χρόνον ἔμπροσθεν μὲν δασὺν, ὄπισθεν δὲ, γράφουσι φαλακρὸν, παιδεύοντες ἡμᾶς μὴ ὄπισθεν, ὅθεν ἡ χεὶρ ἐξολισθανεῖ, ἀλλὰ τῶν δασέων αὐτοῦ δραττομένους, ἐργάζεσθαι ὅ,τι δήποτε, εἴγε μέλλοιμεν κατορθοῦν. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (473.)

Βίκος οἴνου ἐξ Ἀμοργοῦς ἡμῖν δῶρον ἧκεν, ἀντὶ τῶν βίβλων τοῦτ' ἀποδόντων ἡμῖν τῶν χρηστῶν Ἀμοργέων· Τοῦτ' οὖν ἴθι παρὰ τὸ τελωνεῖον ληψόμενος, καὶ ἀχθοφόρῳ τῷ τῶν κατὰ τὴν ἀγορὰν ἐπιθεὶς, κόμισον οἴκαδε, ἵνα πιὼν, εὐλογήσω ὡς ὁ Ἰακὼβ τὸν υἱὸν, τοὺς εὐγνώμονας Ἀμοργεῖς· μήδ' εἴπῃς τὸ σύνηθες Αὔριον, ἵνα μήτις ἀφελόμενος τὸ

Λευκίᾳ. (476.)

Φιλέταιρος ὁ τὰ ἀνὰ χεῖράς σοι γράμματα ἐπιθεὶς, μαθητεύσας ποτὲ παρ' ἐμοὶ, νῦν δὲ καὶ συνδιδάσκων, ὡς ὑπό τινος ἤδη κατεχόμενος νόσου, δεῖται Ἀσκληπιάδου. Τοῦτον οὖν ἥτε φήμη παραπέμπει πρὸς σὲ, καὶ ἡμεῖς τῇ φήμῃ πιστεύσαντες ὡς θεῷ καθ' Ἡσίοδον, οὐ μὴν ἀλλὰ καὶ τῇ ἐκ τῶν πραγμάτων αὐτῶν πειθόμενοι ἀληθείᾳ, συνιστῶμεν τὸν ἄνδρα, εὐχόμενοι ὑγιέστερον μὲν ἑαυτοῦ Πανακείας δυνάμει, τάχιον δὲ, ἢ ἐλπίζομεν, τοῦ ἐπαγγέλματος ἀναγκάζοντος, πάλιν ὡς ἡμᾶς αὐτὸν ἀποστεῖλαι. Ἔῤῥωσο.

Περγαμενῷ. (477.)

Σὺ μὲν δ' ἐφέσεως ἔχειν φὴς, τὰς ἐμὰς ἐπικτησάμενος βίβλους, ἡδέως αὐταῖς ἐπιχρήσασθαι· ἐγὼ δὲ δοκῶμοι ἥδιον τὰ σὰ κομίσασθαι γράμματα, ὡς μετὰ τῶν γραμμάτων δεξάμενος καὶ τὸ τιμαλφέστατον τῆς φιλίας κειμήλιον. ἔοικα γὰρ οὕτως ἀνδρὸς ἐμπόρου ἔργον ποιεῖν· ὃς ἐν ἐλαχίστῳ χρόνῳ ἐγένετο ὀλβιώτατος, μαργαρίτας δι' ἐλαχίστων ὠνούμενος, καὶ ἑκατόμβοι' ἐννεαβοίων ἀνταλλαττόμενος. Λαβὼν οὖν παρὰ Λεοντίου, ἃς ἐξητήσω βίβλους, ποίησον ὁπωσδήποτε καὶ ἐς ἄλλους ὁμοίους αὐξηθῆναί μοι τὸ τοιοῦτον τῆς φιλίας συμβόλαιον. Ἔῤῥωσο.

Λεοντίῳ. (478.)

Περγαμενὸς ὁ διδάσκαλος, ἐδεήθη μου γράψας πέμψαι καὶ αὐτῷ τὰς γ' ἐκδεδομένας ἤδη τῶν βίβλων· ἐγὼ δ' ἐπηγγειλάμην καὶ μὴ δεομένοις, οἷς γε λόγων ἔρως ἐντέτηκεν, ἐν τοιούτῳ ἐπαρκέσειν αὐχμῷ· Ἀπόδος οὖν αὐτῷ τε καὶ ἄλλοις τοιούτοις ἀπὸ τῶν παρόντων, ὅ,τι ἐλλιπὲς αὐτῷ

ὄντα φιλοψυχότατον, οὐδ' ἂν ἑκόντα ἀπολιπόντα τὸ φῶς; Μὴ οὖν ἐκπλήττου, εἰ τὸ ἀπὸ τῶν ὀδόντων ὑποκοριζόμενοι ἄλγος, εἰς ἡρωϊκοὺς οὕτω παρὰ καιρὸν παρηνέχθημεν λόγους· ἔθος γὰρ ἔμοιγε τοῦτο τάτ' ἄλλα πάθη, ε τύχοι, καὶ τὰς τοῦ σώματος ἀλγηδόνας οὕτως ἀμύνεσθαι παίζοντα. Ἔρρωσο.

## Γερασίμῳ. (481.)

Οὐκ οἶδ' ὁπότερον, τὸν ποιμένα διὰ τοὺς ποιμαινομένους δεῖ μακαρίζειν, ἢ τούτους αὐτοὺς διὰ σὲ, Πανιερώτατε Πάτερ· σύ τε γὰρ ἀγρύπνως εἰς τὴν τῆς σωτηρίας ὁδὸν αὐτοὺς διευθύνων, ἐνσπείρεις ταῖς ψυχαῖς αὐτῶν, ὡς ἀγαθὸς γεωργὸς, σοφὰ παραγγέλματα, κᾀκεῖνοι εὐπειθεῖς ἑαυτοὺς παρεχόμενοι, ὑποδέχονται δίκην γῆς ἀγαθῆς ταῦθ', ὥσπερ σπέρματα ἀληθείας, εὐσεβείας, καὶ δικαιοσύνης, ἵν' ἐν καιρῷ τῷ προσήκοντι ἀποδῶσι τῷ γεωργῷ ἐν μέτρῳ Εὐαγγελικῷ ἓν μὲν τριάκοντα, ἓν δ' ἑξήκοντα, ἓν δ' ἑκατόν. ἃ γὰρ οἱ γενναῖοι Ὑδραῖοι τάτ' ἄλλα εὖ τυγχάνουσι δημαρχούμενοι, καὶ νῦν, ὡς ἡ φήμη διαφοιτῶσα κηρύττει, ἔνδοξον ἀγῶνα περὶ τοῦ σχολείου φαίνονται ἐνστησάμενοι· καὶ ἁμιλλώμενοι, ὥσπερ ἐπὶ πᾶσι, κᾀν τούτῳ πασῶν τῶν ἄλλων πρωτεύειν πεφιλοτίμηνται πόλεων· δεῖ γὰρ δὴ τοὺς εὐδαιμονεῖν αἱρουμένους ταῦτα περὶ πλείστου ποιεῖσθαι, ἐξ ὧν, ὡς ἀπὸ τοῦ κέρως τῆς Ἀμαλθείας, περιχεῖται τὸ εὔδαιμον· καὶ τοιοῦτόν ἐστιν ἡ παιδεία ἀνενδοιάστως καὶ πρῶτον μαρτυρούμενον καὶ ἔσχατον βεβαιούμενον.

Ἐκ τούτων οὖν καὶ σὲ μὲν πολλὰ καὶ πολλάκις ἐπῆλθέ μοι μακαρίσαι, καὶ αὐτὸς δὲ προήχθην τεθαῤῥηκότως προσθεῖναί τι καὶ παρ' ἐμαυτοῦ, εἴτι που εἴη καὶ παρ' ἐμοῦ καλὸν πρὸς τὴν τῶν Ὑδραίων δόξαν καὶ εὔκλειαν.

Πολλῶν μὲν οὖν ἡμῖν δεῖ καὶ ἄλλων, εἴγε μέλλοιμεν εὐκλεοῦς ἔθνους ὄνομα φέρεσθαι· τὸ δὲ μέγιστον ἐστὶν ἡ τῶν

ἀειμνήστου μαρτυρίας τὴν ἑαυτῶν ἐπισφραγίσωσιν ἀνομίαν·

Ἀλλ' ὅπως ἔδει ταῦτα γενέσθαι, ὡς ἀπὸ τοῦ κοινοῦ τῶν Ἑλλήνων μακρὸν ἂν εἴη λέγειν· ἔπειτ' οὐδ' ἀνύσιμα ἐσόμενα ταῦθ' ὁρῶ, τῶν ἀρχόντων κεκουφωμένων, καὶ δέον τὰ ὦτ' αὐτοῖς ἰάσασθαι πρῶτον τοὺς ἐγχεῖν τι χρήσιμον αὐτοῖς βουλομένους· λέγωμεν δὴ μόνον, ὃ μόνον ἐστὶ δυνατὸν γενέσθαι, καὶ γενόμενον, κἂν μικρὸν δοκῇ εἶναι, ἀλλὰ θαμὰ ἀρδευόμενον, μειζόνων τῷ χρόνῳ αἴτιον ἔσται· σπινθὴρ γὰρ, ἡ θεολόγος φησὶ φωνὴ, καὶ βραχὺς ὢν, ἀλλὰ πολλὴν ἀναῤῥιπιζόμενος, ἀναδίδωσι φλόγα. Ἀλλὰ τίποτ' ἂν εἴη τοῦτο; ἢ δι' ὃ προήχθην ἐν προοιμίοις μακαρίσαι τὸν σοφὸν καὶ σεβαστὸν Ἱεράρχην τῆς Ὕδρας· ἐπειδὴ γὰρ οἱ γενναῖοι Ὑδραῖοι ἀναπληροῦσι τὸ ἑαυτῶν σχολεῖον εἰς Λύκιον (τοῦτο γὰρ ἀκούομεν) δεδόχθω ἀπὸ κοινοῦ ψηφίσματος διδάσκεσθαι καὶ τοὺς ἱερεῖς ἐν αὐτῷ καὶ ἑκόντας καὶ ἄκοντας, ἤτοι πάντας, ἢ τούς γε νεωτέρους τήν τε γλῶσσαν τῶν προγόνων, καὶ ὁτιδήποτε Ἐκκλησιαστικὸν μάθημα γένηται δυνατόν· ἀκούω γὰρ πολλοὺς πολλαχῇ εἰκῇ καὶ οὐ κατὰ κόσμον περιφέρεσθαι κατὰ πᾶσαν τὴν πόλιν, μηδὲν ποιοῦντας. Ὁπότ' οὖν ἀναλίσκουσι τὸ πλεῖστον τοῦ χρόνου, ἐφ' ἃ μὴ δεῖ, τί ὅτι μὴ ἀναγκαστέον αὐτοὺς δόγματι κοινῷ φοιτᾷν, ἐφ' ἃ δεῖ; Τοῦτο δὴ οὕτω γενόμενον λιτὸν μὲν ἴσως πρὸς ἃς ἔσχομεν ἐλπίδας ἐν τοῖς προοιμίοις τῆς ἐλευθερίας, δόξειεν ἄν· ἀλλὰ τό γ' ἔθος οὐ σμικρὸν, ἐπειδὰν ἀρχὴν ἀξίαν λάβῃ· οὕτω γὰρ ὁρῶμεν καὶ τῶν ἄλλων τὰς ἐπιδόσεις ἀπὸ ἐλαχίστων μὲν ἀρχομένας, εἰς μέγιστον δὲ κλέος περαιουμένας.

Τὸν μὲν οὖν ἀγῶνα τῆς τῶν ἱερέων παιδείας, εἰ μὲν νεώτερος ἦν, ἠβουλόμην αὐτὸς ἀναδέξασθαι, φιλοτίμημα ἄξιον, καὶ χρέος μοι ὀφειλόμενον οἰόμενος τοῦτο μάλιστα εἶναι· νῦν δ' ἐπειδὴ ἡ φύσις, ἀσθενείᾳ πεδήσασα γήρως, ἀφεῖλέ μου

θυμος εἶ πολλαπλασιάσαι. Λάβε τοίνυν ἐξ ὧν ἀπέσιλα τῇ αὐτῇ σχολῇ πρὸς τὸν Πέτρον Μαυρομιχάλην βίβλων, ἀντίτυπον ἓν ἐξ ἁπάντων· καὶ μέμνησο, ἐπειδὰν ἀκούσῃς προκύψαι καὶ τὰς ἄλλας τοῦ τύπου, κἀκείνας προσαπαιτῆσαι· αἰτεῖτε γὰρ, φησὶ, καὶ δοθήσεται ὑμῖν. Ἔῤῥωσο.

### Φιλεταίρῳ. (484.)

Πενθημέρου σοι προθεσμίας ἀποδημῆσαι ἐπιτραπείσης, πέμπτη καὶ δεκάτη ἐστὶν αὕτη, ἀφ' ἧς ἀπῆρας. Εἰ μὲν οὖν ὁ ἰατρὸς διεκώλυσέ σε ἐπανελθεῖν, πλείονος χρόνου πρὸς τὸ νόσημα δεομένην προσαγαγὼν θεραπείαν, συγγνώμη· εἰ δὲ φιλοχωρεῖς, τὰ ἐν Ἀθήναις καλὰ ὑποτρέχων τῇ θέᾳ, οὐκ ἂν ἀνεπίληπτος εἴης· οἱ γὰρ ὑπό σοι παιδευόμενοι, σφριγῶντες πρὸς τὰ μαθήματα, περισκοποῦσι τὸν λιμένα, εἴποθεν ἴδοιεν τὸν ἑαυτῶν διδάσκαλον καταγόμενον· Ἔῤῥωσο.

### Στεφάνῳ (485.)

Ἄσμενος μὲν ἐκομισάμην, ἅ μοι ἀπέστειλας γράμματα· ἀλλ' οὐχ ὁμοίως ἡδέως διῆλθον καὶ τὰ ἐπεσταλμένα· τὸ γὰρ τῶν ἐπαίνων ὑπερβάλλον καρύκευμα, ὡς ἀπονεῦον μᾶλλον πρὸς κολακείαν, ἀηδίας μοι κατέστη αἰτία· διὸ οὐδενὶ παρέσχον ἀναγνῶναι τὰ γράμματα, καί τοι γ' ἄλλως λέξει καὶ κάλλει λόγου οὐδενὸς ἀπολείπεται, ἵνα μήτις, ὡς ἐπτοημένου περὶ τὰ ἐγκώμια, καταγνῷ μου σμικρολογίαν· δεῖ γὰρ ὡς ἐν πᾶσιν, οὕτω κἀν τοῖς ἐπαίνοις τὸ μέσον αἱρεῖσθαι, τὸ τῶν ἀρχαίων ἀπὸ τοῦ μεγαλοφυοῦς καὶ σεμνοῦ μιμουμένους ἦθος. Ἀριστοτέλης γὰρ ἀμφοτέραις ταῖς ἰδέαις πρὸς τὸν αὐτὸν χρησάμενος Πλάτωνα, ἄριστον τοῦ ἐπαινεῖν τε καὶ ψέγειν ἡμῖν παρέσχεν κανόνα, ἐν οἷς μὲν ὀρθῶς, εἰπὼν, ἔφη Πλάτων· ἐν οἷς δὲ, οὐκ ὀρθῶς ἔφη Πλάτων· τοῦτο γὰρ ἔθος Ἑλληνικὸν

Τῷ αὐτῷ. (487.)

Δυσχεραίνειν φὴς τῶν εἴσω λόγων τινὰς, ἐφ' οἷς ἐν τῇ ἀρχαίᾳ φωνῇ τόγε πλεῖστον πρὸς αὐτοὺς εἰώθαμεν ἐπιστέλλειν· ἀλλ' εἰ μὲν πρὸς ἀμαθεῖς τινὰς καὶ τῶν ἐκ τοῦ πάτου τοῦτ' ἐκαινοτομοῦμεν, δίκαιοι ἂν εἶεν πολὺν γέλωθ' ἡμῶν καταχέαι, ἐπίσημον οὕτως εἴτε ἀβελτερίαν, εἴτε κόρυζαν ἀπειρόκαλον τοῦτ' ἂν εἴποις, μεμφόμενοι· νῦν δὲ γράφοντες πρὸς Ἕλληνας, οἷς λόγοι τὸ μέλημα, καὶ ὧν ἅπας ὁ βίος μελέτη ἐστὶ Μουσῶν, πῶς ἂν δικαίως κακῶς παρ' αὐτῶν ἀκούοιμεν διὰ ταῦτα, ἀλλ' οὐ καὶ αὐτοὶ μᾶλλον μιμηταὶ ἡμῶν γένοιντο; ἔπειτ' εἴτισιν ἀπαρέσκοιμεν πατρώζοντες οὕτως, ἴσμεν τοὺς πλείους ἀρέσκοντας· τεκμήριον δέ· οὐ γὰρ ἂν, εἴπερ μὴ, ἐκ τῆς αὐτῆς Μούσης οἵγε πλείους ὁρμώμενοι, ἀπήντων, πρὸς ἃ ἐπιστέλλομεν· οὐδ' ἂν οὕτω φιλοτίμως πρὸς τὸ κληρονόμημα τοῦτ' ἐπεδείκνυντο· καὶ γ' ὁρῶ ἐκ τούτων, ὥσπερ ἐξ αἰθάλης τὸ πατρῷον ζώπυρον, ὑπὸ συχνοτέρων οὑτωσὶν ἀναῤῥιπιζόμενον, εἴποτε τύχοι ὕλης ἀφθονωτέρας, ὡς εἰκὸς ἐν καιρῷ, εἰς πυρσὸν ἀρθησόμενον. Ἐγὼ δ' οὖν κατεῤῥίκνωμαι ἤδη πόνῳ καὶ γήρᾳ, κοὐκέτι δέομαι πρὸς τοιούτους αὐθεκάστους διαπληκτίζεσθαι, τοῦ βραχίονος διὰ βίου ὑπὲρ τούτου καμόντος μου· οὐδ' ἂν ἄλλως βουλοίμην ἂν βλάσφημόν τι καὶ βαρὺ πρὸς αὐτοὺς ἐκτοξεῦσαι· εὔχομαι δ' Εὐαγγελικῶς τῷ θεῷ ἐπιδοῦναι αὐτοῖς νοῦν, ὃν ἀλάστωρ τις δοκεῖ αὐτοὺς ἀφελεῖν. Ἔῤῥωσο.

Ἰγνατίῳ. (488.)

Καὶ πάλαι μὲν ἧκέ μοι γράμματα παρά σου, Πανιερώτατε πάτερ· καὶ νῦν δ' ἐσχάτως, τὰ αὐτὰ ἀξιοῦντα· ἀξιοῦσι δὲ δίκαια· ἀλλ' ἐγὼ, καὶ εἰ ἔδοξα ἐν τοῖς πρώτοις ἠμεληκέ-

ἑτέρων εὑράμενος, καὶ ἄρτῳ μόνῳ διαπύρῳ ἀπὸ τούτων ἐς τέταρτον τρεφόμενος ἔτος, ἐγενόμην ὁπωσδήποτε τοὐπράγματος ἐγκρατής· οὕτω δέ πως καί σοι τὰ ἀπὸ τῆς τύχης, οἶμαι, συνέβη γενέσθαι· ἀλλὰ σύνισμεν ἀνδρωθέντες οὗτοι γλίσρον ἀποτίσαντες τῇ πατρίδι τὸ δάνειον· (συγχωρείσθω γὰρ ἐμοίγε καὶ σοὶ τὰ τοιαῦτα καυχήσασθαι, ὧν τὸν λόγον οὐδεὶς οὐδετέρου ἡμῶν ἀφαιρήσεται). Οὐκ ἄρ' ἀμελητέον τῶν μειρακίων, παιδείας τυχεῖν γλιχομένων· δυνατὸν γὰρ ἕνα τινὰ τούτων ἀντὶ πολλῶν χρήσιμον γενέσθαι τοῖς Ἕλλησιν, εἴγ' ἐκ τῆς παιδείας τὴν τῶν πραγμάτων προσδοκῶμεν βελτίωσιν. Πρὸς τί οὖν ταῦτά μοι εἴρηται; Δημήτριος ὁ σὸς μέν ποτε ὑπηρέτης, νῦν δ' ἐμὸς φίλος μαθητὴς, ἐπιθυμεῖ μὲν τελειωθεὶς, διδασκαλικὸν ἀναδέξασθαι βίον· κωλύει δ' αὐτὸν ἀντιστρατηγοῦσα ἡ τύχη, ἐνδείᾳ πεδήσασα. Βιβλίων τοίνυν, ὅσον γ' ἐξείη, οὐκ ἂν ἀτυχήσειε παρ' ἐμοῦ· τὸ δ' ἀργύριον, ὃ ἐκ πολλοῦ ἀποτεταμίευτό μοι ἐς γῆρας ἐφόδιον, τοῦτ' ἐξήντληται ἅπαν, τοῦ Κορομηλᾶ ὡς βαθείαις ἀρυσαμένου ἀντλίαις. Γενέσθω τοίνυν πρὸς τοῦ Ὁμογνύου τῷ νεανίσκῳ αὐτόθεν παρά τε τῶν συγγενῶν καὶ δημοτῶν, ὅσον ἐπαρκέσαι αὐτῷ εἰς διετίαν ἐφόδιον· καὶ ἴστωσαν, ὡς εἰ καὶ σφόδρα φειδομένως καταβαλοῦσι τὰ σπέρματα, θεριοῦσιν ἐπ' εὐλογίαις, ἓν μὲν τριάκοντα, ἓν δ' ἑξήκοντα, ἓν δ' ἑκατόν. Ἔῤῥωσο.

*Γεωργίῳ.* (491.)

Θεὸς καὶ φύσις μόνα, ἐν οἷς δημιουργοῦσιν, ἀπὸ τῶν καθόλου χωροῦσιν ἐπὶ τὰ μερικώτερα, καὶ μόνα ἐκ πρώτης ἐνεργείας τὰ δημιουργούμενα τέλεια ἀπεργάζονται· ἄνθρωπος δὲ, ὡς ἀσθενείας ὑπόδειγμα ὢν, τἀνάπαλιν βαίνει, ἀπὸ τῶν μερικῶν ἐπὶ τὰ γενικώτερα προϊὼν, καὶ κατὰ μικρὸν ἐκλεπτουργῶν, περὶ ἃ ἐνασχολεῖται, τὸ κατὰ δύναμιν αὐτοῖς προ-

τῶν προσκεκλημένων ἀπὸ τῶν ἐκδοθέντων μέχρι τοῦ Εὐριπίδου εἰς τόμους δέκα· τὰ δὲ λοιπὰ ἀποδοθήσεταί σοι, ἐπειδὰν σὺν θεῷ καὶ ταῦτα γένηται κοινά. Ἔρρωσο.

## Σκαρλάτῳ. (49[illegible].)

Ἥν μοι πέπομφας βίβλον πρῴην, καὶ ἧς μόλις τηνικαῦτα διῆλθον τὰ προλεγόμενα, καὶ ταῦτα μάλ' ἐσπευμένως (ἐπὶ πολλὰ γὰρ μεμερισμένῳ οὐκ ἦν σὺν πλείονι ἐγκύψαι ἐπιστασίᾳ) ταύτην ἕτερός τις λαβὼν ἀπὸ μέσης τῆς ἀναγνώσεως, κἀξ ἐκείνου ἕτερος αὖθις, μόλις ἤδη τρίτῳ μηνί μοι ταύτην ἀποδεδώκασι. Τὰ μὲν οὖν τηνικαῦτά μοι δόξαντα, ὑποκλέψας ὁπωσδήποτε μεταξὺ τὸν ἱκνούμενον χρόνον πρὸς μέτρον τῶν γεγραμμένων, ἔγραψά σοι τόθ' ὅ,τι δήποτε ἔγραψα· νῦν δ' ἐπαναλαβὼν αὖθις ἐξ ὑπαρχῆς τὴν ἀνάγνωσιν, μέχρι μὲν τῆς ἕκτης σελίδος,

„ Ἐπλέομεν Βορέῃ ἀνέμῳ ἀκραέϊ, καλῷ
„ Ῥηϊδίως, ὡσεί τε κατὰ ῥόον . . . . . .

πνεῦμ' οὔριον πρύμνηθεν τοῦ θεοῦ ἐπαφέντος πλησίστιον· ὡς δὲ παραμειψάμενος, ταῦτα, ὅλον διέβαλλον πέλαγος, εὐθὺς

„ Καπνὸν καὶ μέγα κῦμα ἴδον, καὶ δοῦπον ἄκουσα,

κυανῆν νεφέλην ἄνωθεν παρὰ προσδοκίαν τοῦ Κρονίωνος στήσαντος, καὶ τοῦ πόντου πανταχόθεν ἀχλύσαντος περὶ τὸ σκαφίδιον, ὥστ' οὐκέτ' ἐξῆν τῇ αὐτῇ εὐπλοίᾳ χωρεῖν τοῦ πρόσω, συνεστηκυίας ὑποφανείσης νεφέλης· ἐνταῦθα γὰρ ἀλλοῖός μοι φαίνῃ, ὦ θαυμάσιε, ἢ ὲ πάροιθεν· διελὼν γὰρ τοὺς γράφοντας εἰς Χυδαϊστὰς καὶ Ἑλληνιστὰς, (συγχωρείσθω μοι τὰ ὀνόματα) εἶτ' οὐδὲν ὡρισμένως εἰπὼν ἐκ τῶν περιστάσεων, τοὺς μὲν φὴς ἀξιοῦν γράφειν πάντα χυδαϊσὶ,

σφαλερᾶς εἰς ἐπίσημον ἐξοκείλαντες ψεῦδος· οὕτως ἀταλαιπώρως, ἥ φησι Θουκυδίδης, πρὸς τἀληθὲς ἔχουσιν οἱ ῥᾳδίως τὰ παρὰ τῶν πολλῶν ἐν γωνίαις θρυλλούμενα αὐτοί τε παραδεχόμενοι, καὶ ἐς τοὺς ἐπιγιγνομένους ἑτοιμότερον παραπέμποντες· ἢ δειξάτω μοί τις, τίς, ποῦ ποτ' ἐστὶν ὁ τὴν γνώμην ταύτην εἰπών; ἃ γὰρ εἴρηται ἑκατέροις ταῦθ' ὡς καὶ τύποις ἐκδεδομένα, οὐκ ἂν γένοιντο οὔτ' ἀπόῤῥητα, οὔτε μὴν παλινάγρετα. Ἀλλ' ἐχέτω ταῦθ' ὅπως ἔτυχε γεγονότα· νῦν δ' ἐκεῖνό σου πυθέσθαι προάγομαι, πότερον δεῖν φὴς αὐτὸς, γράφειν καί ποτ', εἰ τύχοι, τοὺς Ἕλληνας ἐν τῇ ἀρχαίᾳ, ἢ οὔ; ἔοικας γὰρ, ἐξ ὧν εἴρηταί σοι, καί περ ταλαντευόμενος, ἀλλ' οὖν πρὸς τὸ πρῶτον ἐπιῤῥεπέστερον ἔχειν. Εἰ οὖν τοῦτο, πυνθάνομαι δεύτερον, πότερον ταὐτὰ φρονεῖς, οἷς ἔν τε ἄλλοις πολλοῖς, καὶ δὴ κἀν τῇ Τετρακτύϊ ἐσχάτως ἐξέδωκα, ἢ διαφόρως; εἰ μὲν γὰρ τὸ πρῶτον, μάτην ἔῤῥιπταί σοι ὁ λόγος περὶ τῶν πρώτων· μάτην δέπως καὶ περὶ τῶν δευτέρων· τὸ γὰρ μέσον οἰόμενος τέμνειν, τοὺς μὲν ἐκείνων αὐτοῦ καθιδρύεις πῃ ἐν τῇ ὑπωρείᾳ τοῦ Ἑλλικῶνος, τοὺς δ' αὖ εἰς τὴν ὑπερτάτην ἀνεβίβασας κορυφὴν, ὥστε μηδὲ βλέπειν κάτω ἀνέχεσθαι, ἅτε δὴ μηδενὸς κοινοῦ ὅρου καταλειφθέντος αὐτοῖς μεταξύ· ἀλλ' ἔλαθες, οἶμαι, ἐκπεπτωκὼς τῆς ὑποτιθεμένης μεσότητος, αὐτὸς ἐξαλλώμενος ταύτης, καὶ πρὸς ἑκατέρους ἀντικυβιστῶν ἄλλοτ' ἄλλως, νῦν μὲν χυδαΐζων, νῦν δὲ μακαρονίζων ἀσυγγνωστότερον, ῥοπῇ ἀστάτῳ κατὰ τὰ συμβαίνοντα μεταφοιτῶν ἐφ' ἑκάτερα· ὁτὲ μὲν γὰρ ναυτιῶν πρὸς τὸ, Δύνασθαι καὶ Ἀγνοεῖν, ὡς ἀπόζοντα ταῦτ' ἀρχαιότητος, αἱρῇ μᾶλλον τὸ, *δὲν 'ξεύρω*, καὶ, δὲν *'μπορῶ*, ὥσπερ ἀρτιτόκου ὄϊος γάλα· ὁτὲ δ' αὖ, *πίνους*, καὶ *κρωγμοὺς*, καὶ *ἐνδόσιμα* παρεισάγων, καὶ τὸ θαυμαστότερον ἐπὶ τὴν *'Εκφυλλοφορίαν* τῶν Συρακουσίων

ὕλης καὶ εἴδους γίγνεται, οὕτω καὶ ἡ γλῶσσα ἐκ τῶν αὐτῶν βελτιοῦται· ἔσται δ' αὐτῇ ὕλη μὲν αἱ φωναί· εἶδος δὲ, ἡ πρὸς ἀλλήλας τούτων συνθήκη καὶ συμπλοκή· ὀνομάτων ἄρ' ἡμῖν καὶ φράσεων δεῖ εἰς τὴν τελειότητα ταύτης· Ταῦτα δὲ πότερον, ἄλλοθέν ποθεν πορισόμεθα, ἢ αὐτοὶ ἀφ' ἑαυτῶν αὐθαιρέτως χαλκεύσομεν ἕκαστος, ὅπως τύχοι; οὐκ ἂν εἴποις τοῦτ', ἀλλ' ἐκ τῆς ἀρχαίας ἅλωος τῆς παμφόρου ἀμφότερα· Καὶ μὴν ὁ Κοραῆς βουλόμενος μεταξὺ μητρὸς καὶ θυγατρὸς θεῖναι ὅρους, προσδιώρισε τὸν κατ' αὐτὸν Μακαρονισμὸν, ἐν οἷς αὐτὸς οὐχ ἡδύνετο, οἷόν ἐςι τὸ, *Βέλτιον, ἄμεινον, κρεῖττον, ἧττον, ἔλαττον, μεῖζον, φρυάττειν, ἐπιτρέπειν, χαλεπαίνειν*· εἰσαγαγὼν δὲ τὰ ἀσύμφυλα συρφετὸν ὅλον, ἐν οἷς ὡς μάλιστ' ἐθέλγετο, ἀπείρηκε χλευασμῷ μηδένα τούτων ὑπερβάθμιον πόδα αἴρειν, μὴ εἰδὼς αὔλακι τὴν θάλατταν διαιρῶν, καὶ τὸ δὴ λεγόμενον, ἐφ' ὕδατος γράφων. Ἀλλὰ τίποτε ἂν εἴποιμεν κατωρθωκέναι ἐν τούτοις ἐκεῖνον; οὐδὲν πλὴν τοῦ δῆλος γενέσθαι, ἡλίκοις σχοίνοις, καὶ ὅσαις παρασάγκαις τὴν θυγατέρα τῆς μητρὸς ἀπαλλοτριῶσαι βεβούλευται, εἴγ' ἤμελλέ τις τοῖς αὐτοῦ πείθεσθαι λόγοις· ἀλλ' ὁ χρόνος σοφώτερος, καὶ ἅμα δραστηριώτερος ὢν τῶν ἀνθρωπίνων ἐπινοιῶν καὶ βουλῶν, ἐνῆκεν ἤδη τὰ ὑπ' ἐκείνου ἀπηγορευμένα καὶ τοῖς στόμασι αὐτῶν τῶν χυδαίων καὶ θελόντων καὶ μὴ θελόντων, τοῦτε γηραιοῦ ἐκείνου πολλὴν κόρυζαν καταχέας, καὶ τοὺς νῦν παιδεύων μὴ φείδεσθαι τὰ καλὰ σπείρειν σπέρματα εἰς γῆν ἀγαθήν· ἵνα ποθ' ὕστερον σχοῖεν τὸ λήϊνον λίαν εὔσταχυ καὶ βαθύ· ὃς γὰρ σπείρει φειδομένως, φειδομένως καὶ θερίσει· ὃς δὲ ἐπ' εὐλογίαις, ἓν μὲν τριάκοντα, ἓν δὲ ἑξήκοντα, ἓν δ' ἑκατόν. Ἐπειδὴ τοίνυν καὶ αὐτὸς, καλῶς τοῦτ' εἰπὼν, ἀπὸ τῆς ἀρχαίας ὁρμουμένους, οὕτω πρὸς αὐτὴν ταύτην προσθέσει τε καὶ ἀφαιρέσει τῶν τε

οἶδα γὰρ αὐτοὺς μάλιστα φιλανθρώπους γεγενημένους· ἀλλὰ ταῦθ' οὕτως ὑπὸ τῶν ἀπειροκάλων τούτων οὕτως ἀφιλοτίμως ὀνθυλευόμενα, Ἡρακλέους αὖθις δεήσει τοῖς ἐπιγιγνομένοις ἀνακαθᾶραι, ὡς πολλῆς δυσοσμίας ἀπόζοντα. Ἔῤῥωσο.

Τῷ αὐτῷ (495.)

Πάλιν γράμματα εἴποις ἂν, τὰ ἀνὰ χεῖρας σοι κομισάμενος αὖθις, καὶ πάλιν πράγματα παρέχει μοι τὸ γερόντιον, καὶ οὔπω ὑπείκει τῇ φύσει, σπεύδειν ἤδη ἐπὶ τὴν σορὸν μάλιστα κελευούσῃ· καίτοι ἔγωγε κἀκεῖθεν, εἴγ' ἐξῆν, οὐκ ἂν σιγῷμι μὴ ταὐτὰ γράφειν πρὸς οὓς μοι περὶ τῶν κοινῇ συμφερόντων σπουδάζεται. τὶ γὰρ ἂν καὶ πάθοι τις τῶν πραγμάτων ἀναγκαζόντων, καὶ ταῦθ' ὁπότε φίλος τις ὢν, πρὸς ταῦτα βιάζοιτο; τὸ γὰρ ταὐτὰ φρονεῖν, φύσει ἐπαγωγὸν πρὸς φιλίαν ὑπάρχον, θερμοτέραν πρὸς ἀλλήλους συνάγει τὴν εὔνοιαν· εὐνοεῖν δ' ἂν εἴη τάθ' ὑγιῶς ἔχοντα ἐπαινεῖν, ἢ τοιαῦτα, τοῖς φίλοις, καὶ εἴτι σαθρὸν ὕπεστί πῃ λανθάνον, τοῦτ' ἐξελέγχοντες ἀμοιβαίως πυρὶ καὶ σιδήρῳ, ὡς λόγου ὄντα νοσήματα, ἐθέλειν ἰᾶσθαι· οἱ γὰρ γράφοντες ἰατρῶν ἐοίκασιν ἔργον μιμεῖσθαι· ἐκείνων γὰρ εἴτις ποτὲ ἐπικινδύνῳ περιπέσοι νοσήματι, οὐκέτι θαῤῥεῖ ἑαυτῷ, τῆς φαντασίας διαφθαρείσης, ἀλλ' ἑτέρους ἐπὶ τὴν θεραπείαν καλῶν, οἷς ἡ κρίσις συνυγιαίνει τῷ σώματι, τούτοις ἐπιτρέπει ἐπισκεψομένους, καὶ πάντα προεξετάσαντας, ἐπάγειν τὴν ἴασιν· ταῦτα δὲ ὁρῶμεν ποιοῦντας καὶ τοὺς ἐν ταῖς τέχναις βουλομένους ἐπιδιδόναι· μανθάνομεν γὰρ ἀκοῇ Λίσιππον, Ἀπελλῆν, καὶ τοῦτον αὖθις ἐκεῖνον εἰς τὰς ἑαυτῶν εἰσαγηοχότας γραφὰς, ὡς ὑφορῶντας τὸ φίλαυτον. Ἐπειδὴ τοίνυν καὶ αὐτὸς ἐπέτρεψάς μοι πως ὡς δι' αἰνιγμάτων, ἐν οἷς μοι ἐπέστειλας, κρίνειν τὰ σὰ φιλίας νόμῳ· ἡ δὲ, ἑαυτῆς οὖσα, ἀποστρεφομένη

οὖσα, ὡς δεύτερον καὶ αὕτη εἰσῆκται προοίμιον παρά τε τοὺς κανόνας τῆς τέχνης καὶ τὴν φύσιν τῆς γλώττης; εἰ μὲν γὰρ τὸ πρῶτον, ἔδει καὶ κατασκευάσαι· τοῦτο δ' οὐκ ἂν γένοιτο ἄνευ τῶν πρὸς τοῦθ' ὑπηρετούντων μορίων· εἰ δὲ τὸ δεύτερον, τὸ τῆς Γαλλικῆς ὑπεμφαίνει ἰδίωμα· ὃ ἄλλοι τε πολλοὶ τῶν ἡμετέρων, καὶ πρὸ πάντων πέπονθεν ὁ ἐν συγγραφεῦσι θαυμαζόμενος παρὰ σοῦ σοφὸς Κοραῆς· ὁμοίως δ' ἔχει σοι καὶ ἡ τρίτη περίοδος. *Σύνταγμα* γὰρ καὶ αὐτὴ ἐπαγγέλλεται ἐν Μεγάροις, καὶ δημοκρατίαν ἐν Ναυπλίῳ ἀπεριόριστον· (ἴδε Τετρακ. σελ. κά. καὶ λή.) Εἰ δ' αὖ σοι μεταβατικῶς, (εἴποις γὰρ ἂν καὶ τοῦτο) τὰ τοιαῦτα ἐξείληπται, ἔδει καὶ οὕτω προσθεῖναι τὰ τῆς μεταβάσεως μόρια, τὸ Ἀλλὰ, τὸ Δὲ, ὁ,τιοῦν ἕτερον· τοῦτο γὰρ πρὸς τὰς ἄλλας γλώσσας τῆς ἡμετέρας μάλιστα ἡ ὑπεροχή· ἀλλ' εἶεν ταῦτα. Τὸ δὲ τῆς τρίτης περιόδου ὑποκατάρχον τὸ »*Ἐπιδεκτικὸν αἰωνίας ἐπαυξήσεως*» τὸ ἀπολωλὸς, φημὶ, τοῦτο καὶ μεμονωμένον κόμμα ποῦ ἀποδοτέον; ἀφελὼν γὰρ τὸ συνδεσμικὸν Ὂν, συναφεῖλες καὶ τῆς Ἑλληνικῆς γλώσσης τὴν ἰδιότητα, Γαλλισμῷ περιπεσὼν ἐπισήμῳ. Ταῦτ' οὖν εἰδὼς, εἴγ' εὐμενῶς παρ' ἐμοῦ δέχῃ ταῦτα, μηκέτι μέμφου τοὺς τὰ οἰκεῖα ἐξ οἰκείων φιλοτιμουμένους ἐπικοσμεῖν, ἀλλὰ τοὺς ἐξ ἀλλοτρίων κοσμημάτων ἐπιβαλλομένους ἐπιχρωννύναι ἀσυμφύλως τὸ καλὸν εἶδος τῆς ἡμετέρας· εἰ γὰρ ἐκεῖνοι δοκοῦντες πῃ ἐκ φιλοκαλίας καὶ ὑπερβάλλειν τὸ μέτρον, ἐπισπῶνται, ὡς φῄς, τὴν παρὰ τῶν πολλῶν κατάμεμψιν, ἤπου γε οὗτοι, ἅτε δὴ παρανομοῦντες περὶ τὰ πάτρια, δίκαιοι ἂν εἶεν παρά γε τοῖς εὖ φρονοῦσιν οὐχ' ὅπως φυλακῆς, ἀλλὰ καὶ δεσμῶν ἀξιοῦσθαι. Ἔρρωσο.

*Τῷ αὐτῷ.* (496.)

Ἐγέλασα· οὐ μὴν ἄκαιρον, οὐδὲ σαρδώνιον ἄλλως ἐγέλασα γέλωτα· ἀνοίξας γὰρ αὖθις τὸ σὸν βιβλίον, ἐνέτυχον

προσαγόμενοι· τὸ γὰρ *Ἀμὴ εἰς τὸ Ἀμμὴ*, καὶ τὸ Πωρνὸν εἰς τὸ Πρωνὸν, καὶ μυρία τοιαῦτα, ἐδέξαντο πολλοὶ καὶ τῶν ἐλλογιμωτέρων, ἅμ' ἰδόντες τὸ φῶς ἀνατέλλουν ἀπὸ τῶν Παρισίων· ἐλάττους δὲ οἱ αὐθέκαστοι καὶ ἀκάμπτως ἐπὶ τὴν τραχεῖαν ἀεὶ, ἀλλὰ μὴ τὴν ῥᾳδίαν ἀνάγοντες. Ἐκεῖνοι μὲν οὖν εἰσιν εὐτυχεῖς, ὡς πολλῶν μαθητῶν εὐμοιρήσαντες, οὗτοι δὲ δυστυχεῖς, ὡς ὑπ' ἐλαχίστων παραπεμπόμενοι· δυστυχέστεροι δ' ὅμως οἱ τὴν ὀρθογραφίαν ἐπιβαλλόμενοι ἀφελεῖν, οὐχ ὡς μὴ διδάξαντες καὶ οὗτοι τὰ πάντων παραδοξότερα, ἀλλ' ὡς ἐπιπόνου ὄντος μεταβαλεῖν τὴν ἕξιν, ἣν ἐν τῷ γράφειν ἐκ πολλῶν ἐτῶν ἐκτήσαντο ἕκαστος· τὸ γὰρ δυσχερὲς βαρὺ καὶ ἀψίκορον· καίτοι καὶ τούτων ἀνεφάνησαν τρεῖς, ἢ δύο· Σοὶ δὲ, ὦ θαυμάσιε, οὐδὲ εἷς πω ὀπαδὸς ἀνεφάνη· Σὺ ἄρ' ἂν εἴης, φίλτατέ μοι Βυζάντιε, πάντων ὁ δυστυχέστατος· τίς γὰρ ἂν ἀνάσχοιτο ἑκὼν εἶναι, μηδ' ἂν βλάξ τις αὐτόχρημα ᾖ, τοσούτοις ἀγκύστροις, κατάρχων καὶ καταλήγων πανταχοῦ, περιστέψαι τὰς λέξεις, ἀλλ' οὐχὶ μᾶλλον ὑπειπὼν τὸ τοῦ μύθου, Εἰ τοιαύτας κτίζεις πόλεις, ἐλαχίστους ἕξεις τοὺς ἐνοικοῦντας, ἐρεῖ, Οἶκος φίλος, οἶκος ἄριστος; Ἔρρωσο.

## Τῷ αὐτῷ. (498.)

Οἶδά σε μεταμεληθέντα, ἐφ' οἷς τὴν βίβλον μοι ἔπεμψας· οὐδὲ γὰρ ἂν, οἶμαι, προείλου αὐτήν μοι δωρήσασθαι, εἴπερ ᾔδεις με ἀχάρισθ' οὕτω σοι διὰ ταύτην παρέξοντα πράγματα· οὐδ' εἰ ἤμελλες ἅψασθαι, τὸ δὴ λεγόμενον, τῆς τοῦ τέττιγος πτέρυγος· καί μοι δοκῶ ἀκούειν ὡς ἐκ τῶν ἀδύτων σου ἐν τῷ ἀναγινώσκειν τὰ γράμματα, λέγοντος, ὡς σφόδρα λάλον ἐστὶ τὸ γερόντιον· καίγε εἰκότως· αἰτία δ' οὖν· πρὸς τίνα γὰρ ἂν γράφοιμι, ὥστε θεραπεῦσαι τὰ ἐμαυτοῦ παιδικὰ, ἢ πρὸς τὸν ταὐτά καὶ βουλόμενον, καὶ φρονοῦντα, καὶ

*Ἐμπορεῖν*· τὸν δὲ, τῷ *Ἀπου*· τὸν δὲ, *Γενῆν*, *Ἀναβῆν*· τὸν δὲ, ἄλλον ἄλλῳ τῳ ἀγλαϊζομένους, καὶ φέροντας ταῦθ' ὡς σύμβολα φατρίας τῆς ἑαυτῶν, καθάπερ οἱ τὰ βασιλικὰ περίαπτα ἐκ τῶν τραχήλων ἐπικρεμαννύντες. Τοιαῦτα, φημὶ, ἀναγκαίως ἐν πάσαις συμβαίνουσι ταῖς μεταβολαῖς τῶν ἀνθρώπων, ἀνατρεχόντων φύσει πρὸς τὸ δοκοῦν τελειότερον· ἀλλ' οὐκ ἔδει κἀπὶ γλώσσης ποτὲ μὲν ὑγιαινούσης, νῦν δ' ἀσθενούσης, ἐπ' ἀδείας, ὅθεν ἂν τύχῃ, καὶ ὡς τύχῃ, χρῆσθαι τοῖς τυχοῦσι φαρμάκοις πρὸς ἴασιν, ὥσπερ αὖ κἀπὶ τῆς θρησκείας, ἵνα μὴ διαιρεθέντες, οἱ μὲν ὦσι Κηφᾶ, οἱ δὲ Ἀπολλῶ· ἀλλ' ὥσπερ ἐκεῖ πᾶν δόγμα, καὶ πᾶσα παράδοσις, τοιαῦτα καὶ λέγονται καὶ πεπίστευται, εἰ σύμφωνα ταῦτ' ᾖ τῇ Ἀποκαλύψει· οὕτω κἀπὶ τῆς γλώσσης, ὃ ἂν μὴ συνᾷδον ᾖ τῇ τοῦ Πλάτωνος Μούσῃ, τοῦτ' ἀπᾷδον καὶ νόθον ἐστὶν, οὐμὴν δὲ βελτίωσις, οὔμενουν, ἀλλ' ἀβελτερία ἄντικρυς καὶ αἶσχος ἀλλότριον. Καί μοι πρὸς τῶν Μουσῶν αὐτῶν ἀνάσχου μοι μικρὸν ἔτι καὶ νῦν ἀκοῦσαι· πᾶσι μὲν γὰρ ἐσπούδασαι δόγματι κοινῷ τὴν λελεπρωμένην ταύτην καὶ λελωβημένην ἰάσασθαι, καὶ συνουλώσαντας τὰ τραύματ' αὐτῇ, προσενεγκεῖν τῇ μητρὶ ὡς ἀπὸ λουτροῦ σεμνοτέραν ὁπωσδηποτοῦν καὶ καθαρωτέραν, καὶ ἴσμεν πολλοὺς ὁρμηθέντας πρὸς τὴν θεραπείαν· ἀλλ' οἱ πλείους φαῦλοι ῥιζοτόμοι γενόμενοι, καὶ ὃν ἔσχε λαβοῦσα κόσμον ἐκεῖθεν πάλαι, καὶ τούτῳ περιάπτοντές τι ἐκ τῶν παρὰ φύσιν, ἐποίησαν αὐτὴν, αἰσχυνομένην ἐπὶ τούτοις, ἀπαξιοῦν τῇ μητρὶ προσεγγίζειν· οἷόν τι λέγω; ἣν μὲν πάλαι αὐτῇ τὰ ἐπιβλήματα διαμόχθηρα, καὶ τὸ σόλοικον πλημμυροῦν πανταχόθεν, εἶτα κατὰ βραχὺ μεταλαβοῦσα τὸ πάλαι, οἷον ἀντὶ τοῦ, Ὄντας, τὸ Ἐν ᾧ (χρόνῳ), καὶ ἐν ὅσῳ, καὶ ἕως οὗ, καὶ μέχρις οὗ, πάντα ταῦτα καλῶς καὶ οἰκείως, τούτων νῦν ἀποστᾶσα διὰ τούτους τοὺς κακορέκτους ὡς ἐκ παλινῳδίας,

δὲ τούτοις μακροβίους γενέσθαι, ἐς Τιθώνειον παρελάσαντας γῆρας, τῶν τριχῶν φθειρομένων, καὶ τῶν ὀδόντων ἄλλου μετ' ἄλλον διαῤῥεόντων· ἐπειδὰν δὲ τάχιστ' ἀποθάνωσι, τὰς μὲν σάρκας αὐτῶν εὐλαῖς καὶ κνωδάλοις τροφὴν γενέσθαι, τὰ δ' ὀστᾶ χρήσιμα εἶναι μαχαιροποιοῖς κολεοὺς ἀπ' αὐτῶν κατασκευάζειν. Οὗτος ἄλυτος δεσμὸς αὐτοῖς ἔστω, γενόμενος κοινὸς διὰ τῆς Ἐφημερίδος τοῖς πᾶσιν, ἵνα μάθωσιν οἱ ἄθεοι μηκέτι τὸ τῆς γλώσσης καλὸν εἶδος τοιούτοις καὶ τοσούτοις μολύνειν ῥύποις. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (500.)

Ἐρωτηθεὶς ὑπότινος τῶν εὖ ἡκόντων παιδείας Ἑλληνικῆς, εἰς τίποθ' ἡμῖν ἂν τὸ τοῦ Βυζαντίου Λεξικὸν, τοσοῦτον παρέχον χυδαϊσμὸν, συντελοίη, ἀπεκρινάμην, εἰ μὲν περὶ τοῦ χύδην ὄχλου ταῦτ' ἐρωτᾷς, ἀληθίην μυθήσομαι, οὐδέ σε κρύψω, ἐς οὐδὲν αὐτοῖς συντελέσει· οὐ γὰρ ἐκ τῶν βίβλων ὅ,τι ποτ' ἂν αὐτοῖς γένηται, ἀλλ' ἐκ τῆς συνηθείας μάλιστα προσγενήσεται· εἰ δὲ περὶ τῶν τὴν τῆς γλώσσης ἀνώρθωσιν περὶ πολλοῦ ποιουμένων ὁ λόγος ἐςὶν, ἴσθι τὰ μέγιστα τὴν βίβλον ταύτην συντελέσουσαν τοῖς χρωμένοις· ἐκ γὰρ τῶν χυδαίων ὁρμώμενοι, εὑρήσομεν τὸ ζητούμενον μαλιςα· τὸ γὰρ τζουκάλι ἄξει ἀπλανῶς εὐθὺς πρὸς τὴν χύτραν· οὕτω καὶ τἄλλα τὰ βαρβαρόφωνα πρὸς τὰ τῆς γλώσσης γνήσια ἀπηχήματα· εἶθ' οὕτως ἀναλικμῶντες, τὰ μὲν ἀποῤῥίπτομεν ὡς τὰ ἄχυρα, τὰ δὲ δεχόμεθα, ὡς τὸν σῖτον ἐν τῇ τῆς ψυχῆς ἀποθήκῃ· ἄλλως δ' οὐκ ἂν σχοίημεν οὔτε σῖτον πρὸς ψωμὸν, οὔτε χύτραν πρὸς ζωμόν. Εἰ δ' ὁ λόγος ἄλλως πρὸς τὰ σχολεῖά σοι ἀποτείνεται, καὶ πρὸς ταῦθ' ὁμοίως ἀληθίην μυθήσομαι. Ἔνθα μὲν γὰρ ἡ γλῶσσα σπουδάζοιτο ἐμμελῶς, ὡς προσήκει, τὰ μέγιστα συντελοίη· ὅπῃ δὲ πα-

τρίτον ἐρώτημα πεποιθότως ἐθάῤῥησεν, εἰ καὶ γεωγραφικοῦ τινος Λεξικοῦ τοῖς Ἕλλησι δεῖ· Τί φὴς; ἔφην ἐγὼ πρὸς αὐτόν· τούτου γὰρ μᾶλλον πάντων ἡμῖν ἐνδεῖ· ἀλλά τίς ἂν ὑποσταίη, ἔφην, καὶ τοῦτον τὸν πόνον εὐστόχως, ἢ ὅς τις εἶδε καὶ ὑπομένειν καὶ ἐπιμένειν καρτερικῶς, καὶ γνώσεων εὐμοιρεῖ, καὶ γλωσσῶν τυγχάνει ἐπίβολος, καὶ πολλὴν πρὸς τοῦτο συγκεκόμικεν ὕλην; ἐγὼ δ᾽ οὖν πέποικα, ἔφην, ἐμαυτὸν μὴ ἂν ἀπανήνασθαι τὸ φιλοτήμημα τοῦτο τὸν πατέρα τῆς βίβλου, ἐξ ἧς ἡμῖν ὡρμήθη ὁ λόγος οὗτος· εἰ γὰρ φύσει δόξης ὀρέγεται ἄνθρωπος, ἐκ τῶν περὶ τὰς Μούσας πόνων τοῦτ᾽ αὐτῷ ἂν γένοιτο μάλιστα· τὸ δὲ Γραμματέα καὶ Σύμβολον εἶναι, καὶ ταῦθ᾽ ὡς νῦν ἡμῖν τὰ πράγματα ἔχει, ταῦθ᾽, ἵνα μὴ καὶ χεῖρόν τι εἴπω, μάταια καὶ κενά· πλεῖον γὰρ τοῦ μακαρισμοῦ τοὐπίμεμπτον φέρεται. Τούτων δ᾽ οὕτως εἰρημένων, ἐκεῖνος μὲν, ἀληθῆ ταῦτ᾽ εἴρηται, ὑπειπὼν, ἀνεχώρησε· σὺ δέ μοι ἔῤῥωσο, τοῦτ᾽ αὐτὸ κελεύων καὶ τὸν φίλον Ἀλέξανδρον Ῥαγκαβῆ.

## Τῷ αὐτῷ· (501.)

Καὶ ἀπόδειξις κατὰ τοὺς μαθηματικοὺς ἀρχῇ τινι βεβαίᾳ, καὶ πεῖρα αἰσθήσει, καὶ οἰκία θεμελίῳ, καὶ πλοῖον ἐπιστηρίζεται τρόπιδι· καὶ οὐκ ἔσθ᾽ ὃ σώζοιτ᾽ ἂν, μὴ ἐπ ἄλλῳ τῳ ἰσχυρῷ ἐρειδόμενον· ἔθνους δ᾽ ὅλου, ἐς εὐδαιμονίαν ἐπιβαλομένου προάγεσθαι, τίς ἂν εἴη βᾶσις καὶ θεμέλιον ἀῤῥαγὲς, ᾧ ἐπερειδόμενον, ἀφίκοιτ᾽ ἂν ποθ᾽ ὕστερον ἐς τὸ τέλειον εὐστοχώτερον; ἡ θρησκεία, εἴποις ἂν, εἴ γε βούλοιο εἰπεῖν τἀληθὲς, καὶ ἡ βεβαία παιδία· ὧν βᾶσις αὖ καὶ αὐτῶν τῆς μὲν, ἡ τοῦ κλήρου εὐσέβεια καὶ σοφία· τῆς δὲ παιδείας, ἡ γλῶσσα, ἀξίας τυχοῦσα ἐπιμελείας· ταύτην γὰρ εἰπὼν ἔθνους παιδείαν πρώτην καὶ μάλιστα, οὐκ ἂν ἁμάρτοις· εἴγε τὸ

τῇ διανοίᾳ ἐπὶ τὴν δαπάνην· πόθεν γὰρ φήσεις ὁ πόρος αὐτοῖς, τοῦ ταμείου ἄλλως ἄλλοτε διασπαθωμένου; ἐγὼ δὲ κενὸν τοῦτο τίθεμαι λόγον καὶ πρόφασιν ἄντικρυς τοῦ μηδὲν ὑμᾶς ἐθέλειν ποιεῖν τῶν δεόντων· εἰ γὰρ καὶ πᾶσαν, ὅθεν ἔδει ταῦτα ποιεῖν ἐλπίδ' ἀφῃρήμεθα, ἀλλὰ τὸ χιλιοστημόριον τῶν ἐθνικῶν προσόδων ἐπαρκέσειεν ἂν ὡς πένητας τούτους θρέψαιτε καὶ ἐκπαιδεῦσαι· εἰ δὲ καὶ τούτου κατὰ κακὴν ἀπολειποίμεθα μοῖραν, ἀλλὰ πεντηκοντακισχιλίοις ἀνθρώποις ἐν ἑκάστῳ νομῷ οὐ μέγα τι τοὔθ' εὑρεῖν πόρον ἱκανὸν εἴκοσι παισὶν εὐτελέσιν, ἄρτῳ μονουνοὺ σὺν ὕδατι, καὶ ἐσθῆτι πενιχρᾷ, οὐ μὴν δὲ χρυσῷ, οὐδ' ἀργύρῳ εἰωθόσι σιτεῖσθαι, καὶ περιβάλλεσθαι· εἶεν ταῦτα. Περὶ δὲ τῆς παιδείας (τοῦτο γὰρ ἡμῖν ὁ λόγος δεύτερον ἀνιχνεύει) τὶ καὶ ἂν εἴποιμεν; οὐδὲν πλέον παρ' ὃ εἴρηται, σοὶ μὲν ἐν προοιμίοις τοῦ Λεξικοῦ, ἐμοὶ δ' ἐν τῇ Τετρακτύϊ· τί γὰρ συντελέστερον εἰς παιδείαν, ἢ τῆς τῶν προγόνων Μούσης ἐπιμελεῖσθαι ἀξίως; αὕτη γὰρ παντοδύναμός τις δοκοῦσα ἐφ' ἑκάτερα εἶναι, καὶ εἰσαγομένη πέφυκε συνεισάγειν τὰ πάνθ' ὡς πάγκαρπος ἀλωὴ, καὶ ἀναιρουμένη συναναιρεῖν καὶ τὰ ἄλλα· οἶδε γὰρ καιροὺς κρίνειν, καὶ αἰνίγματα λύειν, Συμβούλους τε τιμᾶν, καὶ Γραμματέας αἱρεῖσθαι· ἄλλως δ' ὡς νῦν ἡμῖν τὰ πράγματα ἔχει, δέος μὴ ταὐτὰ πάθωμεν τοῖς Ἰταλιώταις· ὧν ἡ πρόγονος γλῶσσα κοσμεῖ νῦν βαρβαροφώνους Οὔγγρους· ἀκούω γὰρ, ὅτι ἥτε Γαλλία καὶ ἡ Γερμανία νῦν περὶ πολλοῦ ποιοῦνται καὶ γράφειν καὶ λαλεῖν τὴν τῶν Ἑλλήνων τοὺς μανθάνοντας κατὰ πρόσταξιν τῶν ἑαυτῶν διδασκάλων· οἱ δὲ ἡμέτεροι τἀναντία τοῖς ὑπ' αὐτοῖς παραγγέλλοντες, καὶ ὁρῶντες οὕτω τὸ πατρῷον κειμήλιον εἰς ἀλλοτρίους ἀναξίως ἀποπεμπόμενον, πῶς οὐκ ἂν εἶεν ἀνάλγητοι; καὶ νῦν οὕτω βαίνοντες, τυφλοῖς ἐοίκαμεν ὅλως, ἐῶντες τὸ φέρον φέρειν,

πτον ἤδη ἔτος ἀφωσίωσα πάντα τῷ κοινῷ. Ἐκεῖθεν οὖν ὑπὲρ τοῦ Γυμνασίου ἐξαιτησάμενοι ἐκ πάντων πολλὰ, καὶ δὴ καὶ τῆς Τερψιθέας ἔτι, εἰ βούλοισθε, ἐς πεντακοσίας ἐκεῖ ἀχρήςου κατακειμένης, οὐκ ἂν ἀτυχήσαιτε· φιλότιμος γὰρ ὁ ἐλλόγιμος Ῥίζος, καὶ τῶν καλῶν ἐραστής. Ἃ δέ μοι μετὰ ταῦτα ἐκδέδοται, καὶ νῦν ἔτι ἐν τοῖς πιεςήρσίν ἐστι, ταῦτα καὶ προσεπιδαψιλεύσασθαι βούλομαι τοῖς γενναίοις Μεσολογκίταις, τριπλάσια, ὧν ἐξ ἀρχῆς ὑπεσχόμην, αὐτοῖς προσεπιμετρήσας. Παρέστω τοίνυν τις κιβώτιον ἔχων κενὸν, κἀποπέμψω αὐτὸν πλῆρες φέροντα τοῦτο· ἄλλως δὲ σπουδάζειν περὶ ἀποστολὰς, οὔτε καιρός μοι λείπεται, οὔτε δύναμις πρόσεστι. Νῦν δὲ κἀκεῖνο οὐ μᾶλλον αἴφνης, ἢ καὶ ἀστείως πως ἐντεθύμημαι· τοῦ γὰρ Ἀριστοτέλους εἰπόντος πη, τῶν ἀποστόλων καὶ ὑποδοχὰς εἶναι δεῖ, καὶ τῶν δωρεῶν ἀντιδωρεὰς, τί ποτε μὴ κἀγὼ τὸν παρ' ὑμῖν ἀγαθῶν μετασχῶ, οἷον ἰχθύων τεταριχευμένων; τοιαῦτα γὰρ πάλαι πότ' ἤσθιον ἐν τῷ Ζαγαρίῳ ἐκ τῆς Ἀμβρακίας ἐκεῖ κομιζόμενα· καὶ νῦν πέμπτῳ καὶ πεντηκοστῷ ἔτει μάλιστα τῆς τε ποιότητος ἐκείνων μνήμην ἔχω, καὶ ὄρεξιν ἀνάλογον τῷ χρόνῳ προσεπεκτησάμην· ἐργῶδες δὲ γέροντι τῶν τοιούτων κρατεῖν ἐπιθυμιῶν, εἰ μή τις ἔργῳ φθὰς τὴν φλόγ' ἀποσβέσειε· Τούτων δὲ οὕτως σχόντων καλῶς, ὑμεῖς θ' ἡμῖν χαριεῖσθε τὰ μάλιςα, καὶ αὐτοὶ ἐσαῦθις τὴν δωρεὰν τοῖς αὐτοῖς ἀμειψόμεθα, ἵν' ᾖ ἔργῳ ἡμῖν ἀληθεῦον τὸ, χεὶρ χεῖρα νίπτει, δάκτυλός τε δάκτυλον. Ἔρρωσο.

### *Χαραλάμπει.* (503.)

Τὰ μὲν γράμμαθ' ὁ κομίσας ἐπέθηκέ μοι· τὰς δὲ βίβλους οὐκ ἠδυνήθη λαβεῖν· μὴ γὰρ εἶναι τόπον ἐν τῷ πλοίῳ, πολλῶν ἐνόντων, ὥστε καὶ ταῦτα χωρεῖν· ὑπέσχετο δ' οὖν

γεται νῦν παρ' ἡμῖν. Εἰ οὖν ταῖς ἁπάντων τῶν ἰατρῶν ψήφοις τοῦτο κύριον γένοιτο, πολλῶν πραγμάτων τοῦ γε λοιποῦ ἀπαλλαγησόμεθα, τόν τε Περουβικὸν φλιὸν Ἀμερικανόθεν κομίζοντες, καὶ τὰ χρήματα ἑαυτῶν ἐκεῖ παραπέμποντες. Σὺ δ' οὖν Ἕλλην ὢν, καὶ μάλιστ' ἐν τοῖς πρώτοις τῶν Ἀσκληπιαδῶν, εὖ οἶδ' ὅτι συγχαιρήσεις τοῖς νέοις Ἱπποκρατίδαις, ἀρξαμένοις αὖθις τὰ τῆς φύσεως ἀνακαλύπτειν μυστήρια. Ἔρρωσο.

*Χαραλάμπῳ.* (505.)

Θεμιστοκλῆς τὸν τῶν Ἀθηναίων φθόνον διαφυγὼν, διεσώθη εἰς Πέρσας, οὓς τὰ μέγιστα τῶν κακῶν ἔφθη πεποιηκώς· θαυμασάντων δὲ τῶν βαρβάρων τὴν τοῦ ἀνδρὸς ἀρετὴν, καὶ τῶν μεγίστων ἀξιωσάντων αὐτὸν δωρεῶν, ἐν εὐθυμίᾳ ποτὲ ἐκεῖνος γενόμενος, ἔφη πρὸς τοὺς ἑαυτοῦ· νῦν, ὦ παῖδες, σεσώσμεθ', ὁπότ' ἀπολώλαμεν. Ἡμεῖς δὲ νῦν τοὐναντίον φαμὲν, νῦν ἀπολώλαμεν, ὁπότε σεσώσμεθα, καὶ παραμυθούμενοι ἐπὶ τούτοις, τὴν τύχην, ἀλλ' οὐ τὴν ἑαυτῶν μεμφόμεθα γνώμην· οὐδὲ ἐθέλομεν, καίπερ συνειδότες ἑαυτοῖς πεπλημμεληκόσιν, ὁμολογεῖν φανερῶς, ὅτι οἰκείοις τετοξεύμεθα βέλεσι· καίτοι Ἀθηναίοις μὲν οὐδὲν συνέβη παθεῖν, τὸν ἄριστον ἐξελάσασι· πολλῶν γὰρ αὐτοῖς ὄντων ἀγαθῶν, ἐπὶ πολὺ εὐδαιμόνησαν· ἡμῖν δὲ τὸ τοῦ δικαίου αἷμα ὡς μὲν πικρὸν διῆξε τὸν φάρυγγα, ὡς δὲ βαρὺ ἐπέπεσε τῷ στομάχῳ, ὥστε δέος μὴ καὶ εἰς φλεγμονήν ποτε περιστῇ· φεῦ τῆς Ἑλλάδος, οἷον ἀπολέσαμεν ἄνδρα! οἵων πεπείραται κακῶν, ἀλάστορσι χρησαμένη συμβούλοις πρὸς τὴν ἀπόνοιαν· καὶ νῦν δρυπτομένη τὰς παρειὰς, καὶ τὴν ἐσθῆτα περιῤῥηγνῦσα, αὐτὴ ἑαυτὴν ἐποδύρεται· καί φησιν ἐν αὐτῷ νῦν νεναυάγηκα τῷ λιμένι, καὶ ξηρὰ νῦν εἰμὶ καὶ ἄκαρπος κηπωροῦ ἀπουσίᾳ, ἡ ποτὲ πάγκαρ-

καὶ οὕτω πέπεισο ἕξειν μέχρις ἂν οἱ Ἕλληνες ὦσιν Ἕλληνες. Περὶ δὲ ὧν κελεύεις πέμψαι σοι βίβλων, ὅσαι μὲν ἐκδέδονταί μοι ποτὲ ἐν Βιέννῃ, ταύτας πέμπτον ἔτος τουτὶ ἀφωσίωσα τῷ κοινῷ, κοὐδὲν ἔτι μοι λοιπὸν, οὐδ' ὅσον χρήσασθαι ἐμαυτῷ· ἣν δὲ γράψῃς πρὸς τὸν τῆς παιδείας Γραμματέα, ἀπαιτῶν ὁτιδήποτε περὶ τοῦ Σχολείου, οὐκ ἂν ἀτυχήσειας· ὧν δὲ νῦν ἐκδίδωμι, λήψῃ ἐκ πασῶν σεαυτῷ τε καὶ τῷ κοινῷ τοὐπαβάλλον μέρος, εἴ γε μόνον παρείη ὁ ταῦτα παρ' ἐμοῦ ἀπαιτήσων κατά γε τὰ προκεκηρυγμένα· ἄλλως δ' ἐργῶδές ἐστι τοιαύτην ἄρασθαι φροντίδα, μεμερισμένῳ ἐπὶ πολλὰ, καὶ ταῦτα γήρᾳ ἤδη καμφθέντι. Ἔρρωσο.

*Ἰωάννῃ.* (506.)

Ἀλλ' ἐλάνθανές με, ὦ ἄριστε, διδάσκαλος ὤν, καί περ τῶν τῆς θεσπεσίας αὐδῆς τοῦ Λογάδου κατακουσάντων γενόμενος, οὓς ἐγὼ διὰ τιμῆς ἄγω μάλιστα. Εὖγε τοίνυν ἐποίησας, τοῖς ἐμοῖς φίλοις προσθεὶς σεαυτόν· κέρδος γὰρ τοῦθ', οὗ μέχρι δεῦρο προείλου με ζημιοῦν, τιθέμενος ἐμαυτῷ, χάριν σοι ἔχω μεγίστην. Τῶν οὖν ἐκδεδομένων βίβλων δέκα συμποσουμένων, λήψῃ ἀνὰ ἓν ἀντίτυπον διὰ Γεωργίου τοῦ Γαζῆ, ᾧ τὰ πρός με ἐπέθηκας γράμματα· ἕξεις δὲ ἐν καιρῷ καὶ τὰς μήπω ἐκδεδομένας. Ἔρρωσο, τὴν ἱκνουμένην τῶν ὑπό σοι μαθητευομένων ποιούμενος ἐπιμέλειαν.

*Μάγνητι.* (507.)

Ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ἐστὶν ὀχυρὰ, φησὶν ὁ Σειράχ· τοιούτους δ' ὁ παρὼν καιρὸς, μονονουχὶ φωνὴν ἀφιεὶς, κελεύει τοὺς διδασκάλους μάλιστα πάντας γενέσθαι, ἐξ ὧν ἡ πλείων ἐλπὶς τῷ κοινῷ βελτίω τὰ πράγματα ἔσεσθαι· ὁ δ' Ἡσίοδος ἀντικρούων πως γνώμῃ ὡς ἐκ τῆς φύ-

ἐφ' οἷς ἄνω καὶ κάτω κοπτόμενοι πράττουσιν, ἔχειν, καὶ προσαπώλοντο οἱ πολλοί· Σὺ δ' οὖν ὁ τῶν πρώτων μὲν ἐπαγγελλόμενος κατέχειν τὸν τόπον, τῶν δὲ δευτέρων μιμησάμενος τρόπον, πῶς οὐκ ἂν εἴης τῶν πεπλανημένων; ἐπάνελθε τοίνυν εἰς σεαυτὸν, καὶ πειρῶ ἀεὶ λέγειν μὲν πρακτικῶς, πράττειν δὲ λογικῶς. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (509.)

Εὐδαιμονίαν ὡς ἐν βαθείᾳ τῇ ὕλῃ ἰχνηλατῶν εὑρέσθαι, κακοδαιμονίαν δοκεῖς διώκειν· οὐ γὰρ τοῦτ' ἐστὶ τὸ θήραμα, ὃ θηρεύῃ, ἥμερον μὲν ἰδεῖν, ἀβλαβὲς δὲ κρατεῖσθαι· ἀλλ' ἄγριον μὲν φανὲν, ἐπικίνδυνον δὲ μάλιστα καὶ μαχόμενον· ὁρῶν γὰρ, ὡς ἔοικεν, τοὺς ἐν πολιτικοῖς διαπρέποντας πράγμασι, κἀν ταῖς ἐπωμίσι καὶ τοῖς χρυσοῖς περιτραχηλίοις μέγα φρονοῦντας, ἐκπλήττῃ πρὸς αὐτοὺς κεχηνὼς, καὶ μάλισθ' ὁπότε ἐν ἑορταῖς σοβοῖεν διὰ τῆς ἀγορᾶς, μὴ εἰδὼς, ὅσα γε τῶν κακῶν ἀπῃώρηνται ἀπὸ τῶν χρυσῶν τῆς Τιβέννης θυσάνων, οἳ δίκην βρόχων πολλάκις ἕλκουσιν αὐτοὺς εἰς τὸ βάραθρον, καὶ ὅπερ εἴρηνται Ὁμήρῳ περὶ τῶν μνηστήρων,

» Δεῖπνον μὲν γὰρ τοι γε γελοίωντες τετύκοντο
» Ἡδύ τε καὶ μενοεικὲς, ἐπεὶ μάλα πόλλ' ἱέρευσαν·
» Δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο.

Ἀγαπῶν τοίνυν τοῖς παροῦσιν ὑπόταττε ἀεὶ τὸ κατὰ φύσιν τῷ ἤθει· τοῦτο γὰρ μόνον ἀληθῆ εὐδαιμονίαν ὁ ὀρθὸς οἶδε λόγος, ταύτην δοκιμάζει, τὴν τῆς ψυχῆς ἐν τῷ ἀταράχῳ κατάστασιν. Ἔῤῥωσο.

Ἰωνᾷ. (510.)

Οὔθ' ὅνπερ περὶ τῆς τῶν Ἑλλήνων βελτιώσεως ἐξ ἀρχῆς ἔδειξας, λαθάνει μου ζῆλός σου· οὔθ' ὅσα ἐν τῷ ἱερῷ πρου-

νειδότος κεντούμενος, ὅτι, ὃν ἔγνων ἐκ φήμης μυρίας σοφὸν τῶν λογικῶν προβάτων μόνον ὄντα ποιμένα, τοῦτον νῦν ἔσχατον δοκῶ τιμᾶν ἐκ τῶν ἔργων· ἴσμεν γὰρ, ὅτι καὶ ὁ χρόνος αὐτὸς, ἐπειδὰν συχνῶς διαῤῥυῇ μεταξὺ, ἀπαμβλύνει τὸ ἡδὺ τῶν ἐλπίδων, καὶ τὸ τῶν παρακλήσεων συνεχὲς ἐκ μέρους ὑφαιρεῖ τι τῆς χάριτος· ἐξ ὧν συμβαίνει τὰ δῶρ' ἄδωρα γίγνεσθαι. Ἀλλ' αἴτιον τούτων οὐ λήθη, οὐκ ἀμέλεια, οὐκ ἄλλ' οὐδὲν τῶν τοιούτων· ἀλλ' ἡ ἀπ' ἀλλήλων ἀπόστασις, μὴ ὄντος τοῦ τὰς βίβλους παραληψομένου, καὶ ἀποδώσοντος ἀσφαλῶς τῷ σεβαστῷ μοι πατρὶ, ὃν τιμῶ ἐν τοῖς μάλιστα· καὶ νῦν τρίτος οὗτος μὴν, ἐξ οὗ ἐπέθηκα ἐκείνας τῷ καλῷ κἀγαθῷ Χρηστοφίδῃ· ἀλλ' οὗτος περαιωθεὶς ἀνάγκῃ Ἀ...ναζε, μόλις πρῴην ἐπανελθὼν, νῦν ζητεῖ τὸν κομίσοντα. Ταῦτ' οὖν εἰδὼς ὡς ἁπλᾶ μοι καὶ ἀληθῆ εἰρημένα, εὔχου μοι, πάτερ, ἐς τέλος ἀφικέσθαι τοῦ ἔργου, ὡς ἐπὶ πόνου διὰ γῆράς μοι ἀποβάντος· ἐπειδὰν δὲ σὺν θεῷ ἐκδοθῇ καὶ τἄλλα, μέμνησο καὶ τούτων γραφῇ πρὸς τὸν αὐτὸν Χρηστοφίδην, προσεπιδηλῶν, εἰ καὶ πλειόνων δέῃ. Ἔῤῥωσο.

## Κωνσταντίνῳ. (512.)

Ἤκουσά σου πρῴην ὡς πολλαχόσε τῆς Ἑλλάδος περιελθόντος, ἄλλα τε πολλὰ πρὸς πολλοὺς διηγεῖσθαι, καὶ δὴ καὶ κατακραυγὴν πολὴν τῶν παρόντων πραγμάτων, ὡς μὴ κατὰ τρόπον διοικουμένων, παρὰ πάντων γίγνεσθαι τῶν Ἑλλήνων· κἀπὶ τούτοις πόθον μὲν πᾶσιν τοῦ ἀοιδίμου Κεβερνήτου ἐμφῦναι· μετάμελον δὲ πλείω τοῖς τοῦ δράματος αὐτουργοῖς· πείθομαι· ἀλλ' ἐς μάτην ἀμφότερα· τὸ γὰρ αὐτὸ σκότος ἡμῖν ἐστι κεχυμένον, τοῦ φωτοδότου ἀστέρος ἐκλείψαντος· οὔτε γὰρ τὰ πράγμαθ' ἡμῖν καταβοαῖς ῥᾷον ἕξει, οὔθ' ὁ πόθος, ἢ ὁ μετάμελος πρότερον ἀποσβεθείη, πρὶν ἂν τὸ αἷμα

Στεφάνῳ. (513.)

Οὐχ' ὅπως, ἐξ ὧν γέγραφάς μοι, φίλτατόν μοι μειράκιον, ἀλλὰ καὶ παρ' ἄλλων πολλῶν ἐπυθόμην, ἣν ἔχεις περὶ τὰ τῶν προγόνων ἡμῶν συγγράμματα ἀκριβῆ σπουδὴν καὶ μελέτην. Ἐπαινῶ σου τοίνυν τὸ πρόθυμον, καὶ τὸν τρόπον μάλιςα ἄγαμαι, ὅτι ἐν καιρῷ πλανωμένῳ ἀπαρεγκλίτως αὐτὸς ἐπὶ τὴν ἀληθῆ κατατείνεις παιδείαν, καλῶς ποιῶν· καί σοι γένοιτο οὐκ ἐς μακρὰν ἐς τέλος τοῦ κυνηγεσίου γενέσθαι· τοῦτο γάρ σοι πρῶτον ὡς Ἕλληνι οὐσιῶδες γνώρισμα ἔσται· εἶθ' οὕτως, εἴ τινος καὶ τῶν ἀλλοτρίων καλῶν προσδεήσει σοι, προσεπιθήσεις κἀκεῖνο τοῖς οἰκείοις οἱονεὶ ἐδέσμασιν ἄρωμα. Τῶν μὲν οὖν βίβλων, ἃς τέταρτον ἤδη ἔτος ἀφυσίωσα τῷ κοινῷ τῶν Ἑλλήνων, οὐκέτ' ἐστὶν ἐπ' ἐμοὶ μεταδοῦναι οὐδενὶ οὐδεμίαν, ὡς ὑφ' ἑτέρῳ καταταχθεισῶν Ἐπιςάτῃ. Ἐκεῖθεν οὖν ἐκείνας ἂν εἴη σοι ποριστέον· ὧν δὲ ἀρτίως ἐξέδωκα, καὶ ὧν ἔτι μέλλω ἐκδώσειν, ἔσται σοι ἀπὸ πασῶν τὸ μέρος λαβεῖν, εἴγε μόνον παρείη ὁ ταύτας παραληψόμενος. Ἔῤῥωσο, μεμνημένος ἀεὶ, ὡς ἐκ τούτων τῶν συγγραμμάτων ὁ ποτὲ κατὰ πᾶσαν τὴν ὑφ' ἥλιον ἄγριος ἐξημέρωται βίος.

Λεοντίῳ. (514.)

Πολλὰ παρὰ πολλῶν αὐτόθεν τῶν τῆς σῆς ἐπαϊόντων εὐμούσου φωνῆς ἥκει μοι γράμματα, δίκαια προϊσχομένων ἑκάστων· βιβλία γὰρ αἰτοῦσι, τροφὴν τῇ ψυχῇ, ὡς εἰκὸς, ἐν καιρῷ σιτοδείας· ἀλλὰ πῶς ἂν ἐπαρκέσαιμεν πρὸς τοσοῦτον λιμόν; οὐδὲ γὰρ τῶν τοῦ Κροίσου θησαυρῶν εἰ ὑπῆρξεν ἡμῖν εὐμοιρῆσαι, ἐξῆν ἂν πᾶσιν ἁπλῶς τοῖς αἰτοῦσιν ἀπὸ πάντων χαρίσασθαι· ἔπειτα καὶ δέος τι ὑποθραύει, μὴ ἀνοδέκτοις τισὶν, ἐπὶ τὴν ἐστίασιν προσιοῦσι, διδόντες, τοὺς ὄντως

Χάριν οὖν σοι τούτων ἔχω μεγίστην, ὡς καὶ ὑπάρξαντι τοῦ ἐπιστέλλειν, καὶ θεραπεύσαντι τὸ πάθος τοῦ πάσχοντος· Βουλοίμην δ' οὖν καὶ τοῦ λοιποῦ συχνοτέροις ἐντυγχάνειν τοιούτοις. Τῶν δὲ βίβλων τῶν ἐμῶν καὶ προσεπιδαψιλεύσομαι, ἐπειδὰν τάχιστα τῶν πιεστήρων προκύψῃ καὶ τἄλλα· ὃ δὲ δέομαι μόνον, τοῦτ', οἶμαι, καὶ μὴ δεομένῳ μοι προσγενήσεται παρ' ὑμῶν, τὸ τὴν προσήκουσαν ποιεῖσθαι τῶν βίβλων φροντίδα, ἐφ' ᾧ καὶ τοῖς ἐπιγιγνομένοις χρήσιμα γένηται· Ἔῤῥωσο, ἄνερ ἀγαθὲ, ἐν Μούσαις ἀεὶ πατρώζων.

*Γεωργίῳ.* (516.)

Τὰ βιβλία σοφοὺς οὐ ποιοῦσιν, ἀλλ' οἱ τούτοις ἐπισταμένως χρώμενοι, ἐς τέλος τοῦ κυνηγεσίου εὐτυχῶς ἀφικνοῦνται· οἷς μὲν γὰρ ἀκριβῶς τῶν μαθημάτων ἐπαΐειν ἐσπούδασται, τούτοις πολλῶν, ὡς εἰκὸς, βιβλίων ἂν δέοι, ἵν' ἔχοντες ἀπὸ πάντων, καθάπερ αἱ μέλισσαι, τὸ χρήσιμον ἀποδρέπεσθαι, ἀνύττωσιν εὐστόχως πρὸς τὸ σκοπούμενον· οἷς δ' ἔργον ἐπιλίγδην καὶ ἐπιπολαίως ταῦτ' ἐπιτρέχειν κατὰ τοὺς κηφῆνας, τούτοις ἑνὸς μόνου δεῖ, τοῦ πρὸς τὸ παρὸν εἰς χρῆσιν αὐτοῖς ἥκοντος, ἵνα μὴ ἀφ' ἑτέρου εἰς ἕτερον καθ' ἡδονὴν καὶ ἀστάτως μεταπηδῶντες, πάντων ἅμα ἀποτυγχάνωσι. Σὺ τοίνυν τῶν δευτέρων ἐπέχων τὸν τόπον, τὸν τῶν πρώτων ἐφιλοτιμήθης ἐπιδείξασθαι τρόπον· οὐκ ἐχρῆν δέ· δεῖ γὰρ δὴ τὸν βουλόμενον καὶ μελίττωμά τι ἀπ' αὐτῶν ἐν τῷ κατ' αὐτὸν ἐξεργάσασθαι σίμβλῳ, τὴν φύσιν πρῶτον, ἢ γοῦν τὴν προαίρεσιν μεταβαλόνθ', οὕτω πόλλ' ἅμα ἀκούειν, εἴγε συμφέροι καὶ οὕτω, ἐπὶ πολλὰ μεριζόμενον, ἀνηνύτως πονεῖν· τὸ γὰρ πολὺ καὶ ποικίλον ἀνορέκτοις ἐπιβλαβέστατον. Ἔῤῥωσο.

ἕτερον ἄρα δεῖ ἀνθρωπινώτερον μηχανήσασθαι, καὶ ὅπερ ποιοῦσιν οἱ Σωκρατικῶς ἀφ' ἑαυτῶν δανειζόμενοι ἐν ταῖς χρείαις· καθάπερ γὰρ ἐκεῖνοι ἐκ τῆς τῶν καθ' ἡδονὴν ἀφαιρέσεως, αὐταρκέστερον ἔχουσι πρὸς τὸ ζῆν· οὕτω χ' ἡμεῖς εἰ ἀφέλοιμεν τὰς ἐν γήρατι περιττότητας, πολλῶν ἂν πόνων ἀπαλλαγείημεν. Ἴωμεν τοίνυν ὁμόσε ἐπὶ τὸ τόλμημα· τί δ' ἐςὶ τοῦτο; τοῦτ' οὐκ ἔσθ' ὅςτις ἰδὼν, οὐκ ἂν ἐπαινέσειε, καὶ σοφοὺς γέροντας ἡμᾶς καὶ παρ' ἄλλοις ὑμνήσειε πουθ' ὕςερον. Τούτων δ' οὖν πολλῶν ὄντων μόνοις ἐπιχειρητέον τοῖς δυνατοῖς. Πρῶτον μὲν οὖν ἀποκεῖραι τὸν πώγωνα δεῖ· πολλὰ γὰρ παρέχει πράγμαθ' ἡμῖν, δὶς τῆς ἡμέρας τὸν γράσσον αὐτοῦ ἐκπλύναι γε ἀναγκαζομένοις. Δεύτερον δὲ, τὰς ἀναξυρίδας τῶν σκελῶν ἀποσείσασθαι, καθάπερ οἱ ἀμφὶ τὸν Ἀβραὰμ Πατριάρχαι πεποιηκότες ἡμῖν παραδέδονται. οὐκέτι γὰρ ἡμῖν ἔσται ἄνευ οἰμωγῆς ἀνασύρεσθαι ταύτας, ὁπότ' οὐδὲ τὸ σῶμα αὐτὸ ἀναλγήτως ἀπὸ τοῦ λασσάνου ἀνορθῶσαι δυναίμεθα, οὐδ' οὐρίσαι ὁριζοντίως, ὥστε μὴ ἐπιῤῥάναι τὰ περισκέλια· ἐπιτρέψαι δ' αὖ ἑτέροις χεῖρ' ἡμῖν βοηθείας πρὸς ταῦτα ὀρέγειν τὴν Εὐαγγελικὴν ἀράν ἐστιν ἐφ' ἡμᾶς αὐτοὺς ἐπισπᾶσθαι· φησὶ γὰρ, Ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖρας, καὶ ἄλλος σε ζώσει, καὶ οἴσῃ, ὅπου οὐ θέλεις. Τρίτον δ' αὖ διακηρύξαι δημοσίᾳ, μηδενὶ ὀφείλειν κατὰ νόμον πολιτικὸν οὔθ' ἡμᾶς ἄλλους τινὰς, οὔτ' ἐκείνους ἡμᾶς ἐπισκέπτεσθαι· πρὸς γὰρ τῷ πονηρὸν τοῦτ' ἔθος εἶναι καὶ ὄχλον πολὺν τῷ γήρᾳ προστίθησιν· ἅτε δὴ πολλὰ τῶν κατὰ φύσιν κωλύον ἡμᾶς, παρόντων ἄλλων, ποιεῖν πρὸς ἀνάπαυσιν. Εἰδέ τινες βούλοιντο κατ' ἀνάγκην ἐλθεῖν, ἢ ἄλλως φιλίᾳ χαρίσασθαι, τούτοις μήτ' εἰσιοῦσι, μήτ' ἐξιοῦσιν ἡμᾶς ἐξανίστασθαι· μήτ' αὐτοὺς τούτους, εἴπερ ποτ' ἐν ἡμῖν αἴσθοιντο ἀηδές τι γενόμενον, τοῦ Χάρω-

ἐφ' ἃ ἡ φύσις ἤδη ἑκόντας ἡμᾶς ἐπισπέρχει· ἔπειτα πρὸς τὶ καὶ ἀποκνοῖμεν ἂν εὐλόγως, ὁπότ' ἀναμφηρίστως πρὸς τὰ κρείττω ποιησόμεθα τὴν μετάβασιν; διὸ καὶ συνεχῶς εἴωθα χαριεντίζεσθαι πρὸς τὸν Χάρωνα, διαβουκολῶν αὐτὸν εἰρωνείαις, ἵνα προσπαίζων τὸν παίζοντα, συνεθισθῶ καταγελᾷν αὐτοῦ προσιόντος καὶ μορμολύττοντος. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (520.)

Φίλος τις αὐτόθεν ἐλθὼν ὡς ἡμᾶς, ἄλλα τε πολλὰ ἡμῖν διηγήσατο, καὶ δὴ καί σε ἔφη σφόδρα σκυθρωπῶς ἐν τῷ βίῳ διάγειν, τῶν τε κατὰ τὸ σχολεῖόν σοι αὐτόθι μὴ κατὰ γνώμην, καὶ ὡς ἔδει εὐοδουμένων, καὶ τοῦ γήρως ἐπιβαρύνοντος· τῶν γὰρ ἀνθρωπίνων χαρακτήρων ἄλλως ἄλλων ἐκ τῆς τῶν ὑγρῶν διαφόρου συστάσεως τικτομένων, καὶ καθ' ἡλικίαν ἔτι φασί τινες αὐτοὺς μεταβάλλεσθαι· καὶ νηπίοις μὲν τὸν φλεγματικὸν μάλιστα κρατεῖν· νεανίαις δὲ, τὸν αἱματώδη· ἀνδράσι δὲ τελείοις, τὸν χολερικὸν, καὶ γέρουσι τὸν μελαγχολικόν. Ἐγὼ δὲ φημὶ ψεύδεσθαι ἀμφοτέρους τοὺς οὕτω φιλοσοφήσαντας· τὰ γὰρ πάθη ἐκ τῆς φαντασίας αὐτῆς δοκεῖ μάλιστα τίκτεσθαι, ὅσον ἐξ ἐμαυτοῦ εἰκάσαι· ὁπότε γὰρ νεώτερος ἐγενόμην, πλέον ἦν μοι τὸ μελαγχολικὸν, ἢ νῦν γε γεγηρακότι· αἴτιον δ', οἶμαι, ὅτι τότε μὲν, ἄλλοτ' ἄλλων προαιρέσεων καὶ ἐπιθυμιῶν πρὸς πολλὰ μὲν ταῖς φαντασίαις ἐφελκουσῶν, εἰς οὐδὲν δ' ἀγουσῶν τέλος εὔστοχον, ἐλυπούμην εἰκότως, τῶν ἐλπίδων πανταχόθεν ἐκπιπτων· νῦν δὲ τούτων γε ἀποιχομένων, τῶν ἁπάντων ἀπεγνωκὼς, πρὸς ἓν μόνον ἀφορῶ τῷ θεῷ συγγενέσθαι, καὶ τῶν ἐλπίδων μὴ ἂν ψευσομένων γε, εὔθυμος διαγίνομαι, ὥστ' εἴτι καὶ τῶν τῷ γήρᾳ παρεπομένων παρενοχλεῖ, καὶ τούτου καταφρονῶ, ἐφ' ἕτερ' εὐθὺς τὸ τῆς ψυχῆς φανταστικὸν οἰακοστρο-

μετέρχεται βίον· ἐμοὶ δὲ δυσχερές ἐστι διὰ γῆρας τὴν τούτων ἀναλαβεῖν φροντίδα· πρὸς γὰρ τοῖς ἄλλοις δεήσει καὶ κιβωτίου· ἔσται γὰρ τεύχη ὡς ἐκ πάντων πλείω, ἢ πεντήκοντα πρὸς τοῖς διακοσίοις. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (522.)

Πολλῶν μοι καθ' ἑκάστην ἔκτε τῆς ἡλικί[illegible]ς αὐτῆς κἀκ τῆς πολιτικῆς ἄλλοτ' ἄλλων ἐπιγιγνομένων ἀνιαρῶν, ἔγνων τὸν τῶν παραπλήγων μιμήσασθαι τρόπον, ἀστειότητι καὶ λήρῳ χρώμενος πρὸς τοὺς φίλους, οὕτως ἀποπέμπεσθαι τὰ λυποῦντα, ἀλλ' ἔλαθον ἐμαυτὸν κακὸς γενόμενος σοφιστὴς, μὴ εἰδὼς, ἐπειδὰν ἐκεῖνα αἴφνης καὶ παρὰ προσδοκίαν καθάπερ ῥεῦμα ἀθρόον ἐπιπεσόντα προσβάλῃ, πάσης προσποιήσεως κρείττω γίγνεται, καὶ φιλοσοφίας οἱασοῦν ὑπεράνω γιγνόμενα, οὐκέτ' ἂν συγχωροίη τὴν φύσιν βιάσασθαι, οἷον δή μοι συνέβη καὶ νῦν ἄξιον καὶ δακρύσαι. Μανόλης γὰρ ὁ πλοίαρχος, γράμματά μοι κομίσας ἐκ Ζαγορᾶς, τὸ ἐπιβάλλον τῶν βίβλων τῶν Δημογερόντων κἀκεῖθεν αἰτούντων, οὗτος ἐρωτηθεὶς περὶ σοῦ, εἶπέ μοι, ὡς τὸν ἐλαιῶνα ἐπὶ ἡμιόνου περιϊὼν καταπέπτωκας, τοῦ κτήνους ἐξολισθήσαντος· κἀκ τούτου ἔπαθες μέν τι, ἀνέσφηλας δὲ, ἀποφυγὼν τὸ περὶ ψυχῆς κινδυνεῦσαι· κἀγὼ μὲν σφόδρα συμπαθῶν ἐπὶ τῷ πρώτῳ, ἀνέπνευσ' ἅμ' ἀκούσας τὸ δεύτερον, κέρδος τοῦτο ἐν τῇ τοῦ μείζονος ἀποφυγῇ οἰηθείς· φύσει γὰρ ἐλεεινὸν τὸ ἀνθρώπινον ὂν, δύο κακῶν προκειμένων, ὡς ἀγαθὸν ἀναγκαίως τοὔλαττον ἀποδέχεται· Ὡς δὲ καὶ λόγος ἐκ Σύρας ἧκεν, ὅτι ἐξέστρεψας καὶ τὸν ὦμον, τοῦτο βαρέως ἐπιπεσὸν, οἱονεὶ βέλει ἔτρωσε τὴν καρδίαν μου· καὶ νῦν ἀνακαλῶν, οἷα ἤλγησα, ἑξηκοστῷ ἤδη μάλιστα ἐκστρέψας κἀυτὸς τὸν ἀστράγαλον, μονονουχὶ συναισθάνομαι, ὧν ὑποφέρεις ὀδυνῶν,

οὐκ ἔδει λυπηθῆναι, παρ' οὗ οὐδέποθ' ὑπόπτευσα. Ἔῤῥωσο. καὶ Δημήτριον τὸν Γκανῆν τοῦτ' αὐτὸ κέλευε.

### *Σπυρίδωνι.* (524.)

Ἐγὼ μὲν, φίλτατέ μοι Σπυρίδων, καὶ πρὶν ἢ κομίσασθαι τὰ γράμματα παρὰ σοῦ, ὥρμησα πολλάκις πέμψαι σοι, ἃς ὑπεσχόμην βίβλους· ἀλλὰ πῶς ἂν ἐπαρκέσαιμι φροντίσιν ἐχούσαις συνέχειαν, ἄλλου ἄλλοθεν ἑκάστοτε γράφοντος καὶ αἰτοῦντος; διὸ καὶ πολλοῖς αὐτῶν αἰσθάνομαι ἀπεχθέσθαι, ὅτι μήτ' ἀπαντῆσαι, οἷς γράφουσι, μήθ' ἃ ἠτήσαντο, ἀποστεῖλαι δεδύνημαι; Εὖ τοίνυν ἐποίησας προσδιορίσας τὸν ταύτας παραληψόμενον· καί σοι χάριν ὁμολογοίην του πράγματος· ἅμα γὰρ παραδοὺς αὐτῷ τὰ βιβλία, ᾐσθόμην πως ἀνακουφισθεὶς ὡς ἀπότινος ἄχθους· καί γε εἰκότως· ἄχθος γάρ ἐστιν, μέχρις ἂν ἀποδοθῇ, τὸ πρὸς φίλους ἐποφειλόμενον. Ἔῤῥωσο.

### Τῷ *Μανουήλῳ.* (525.)

Ἧκέ τις τουτωνὶ τῶν σφόδρα ἐπιδεικτικῶν ὡς ἐμὲ ἐπίτηδες, ὡς αὐτὸς ἔφη, ὀψόμενος Νεόφυτον τὸν Δούκαν, οὗ λόγος οὐκ' ἀμυδρὸς παρά γε τοῖς Ἕλλησιν· ὡς δὲ ἤκουσέ μου οὔτε τρανὸν, οὔτε τορὸν, οὔτε μὴν πολλαῖς λόγων στροφαῖς, καὶ ὑποκρίσεως ῥητορηκῆς περικλάσεσι κεκαλλιεπημένον, προϊεμένου, οὔθ' οἷα μάλιστ' εἰσὶ τὰ ἐκ Φαναρίου, ἀλλ' οἷα ἂν ἐπ' ἀδυναμίᾳ γλώττης καὶ χήτει ὀδόντων παραφθέγξαιτο γέρων, ἀπῆλθεν, ὑπειπὼν πρὸς τοὺς ἀμφ' αὐτόν· μεταμεμέλημαι διαβαλὼν πέλαγος ὅλον πρὸς γερόντιον ἄχαρι, λόγῳ τε καὶ εἴδει ῥυσσόν τε καὶ διαῤῥυηκός. Ταῦτα δὲ μαθὼν ἐγὼ ὅλῃ αὐτῷ κατηρασάμην ψυχῇ μὴ πρότερον ἀποθανεῖν, πρὶν ἢ αὐτά τε ταῦτα ἐν τῇ αὐτῇ ἡλικίᾳ παθεῖν, πρὸς δὲ καὶ ἐν

βοτανῶν, καὶ τῶν ἄλλων τῶν ἀπὸ τῆς ὀρυκτολογίας καλῶν· ταῦτα δ᾽ ἀναγνοὺς, ἔφην κατ᾽ ἐμαυτόν. Ἀπέκειτο ἄρα τοῖς Ἕλλησι καὶ τὸ ὅπως δεῖ γράφειν ἐν τῇ ἑαυτῶν παρὰ τῶν ξένων καὶ τοῦτο μαθεῖν· καὶ ὅρα μοι, πρὸς τῶν Μουσῶν αὐτῶν, ὅπως ἐχρήσατο οὐ μόνον τοῖς ὀνόμασιν, ἃ κἀκ τῶν Λεξικοποιῶν ἑκάστῳ, ὡς ἂν εἴποι τις, ἔξεστιν ἀνευρίσκειν, ἀλλὰ καὶ τῇ συνθέσει τῶν ὅρων, ὃ οὐκ ἂν εἴη παντός· καὶ τὸ μέγιστον αὐτῇ τῇ τοῦ λόγου συντάξει, ὅλως συνδεσμικῶς, ὅλως Ἑλληνικῶς καὶ κατὰ μίμησιν τῶν ἀρχαίων. Αἰσχυνέσθωσαν ἄρα τῶν ἡμετέρων οἱ εἰς χυδαϊσμοὺς καὶ ξένα ἀποπλανώμενοι ἰδιώματα· ἓν δὲ μόνον δοκεῖ διαφυγεῖν τὸν ἄνδρα ἐκεῖνο, ὁ νεώτερος Μέλλων· ἀλλ᾽ εἴγε πόθ᾽ ὕστερον γένοιτ᾽ αὐτῷ ἐντυχεῖν, οἷς ἐγράψαμεν περὶ τούτου πρὸς Γεώργιον τὸν Γαζῆν (ἐν τῇ 187 ἐπιστολῇ,) πεισθήσεται πάντως μηκέτι ἐν τῷ Ἑλληνίζειν κατὰ μόνον τοῦθ᾽ ἁμαρτάνειν. Τούτων οὖν ἕνεκα τὴν πρὸς τὸν ἄνδρα καὶ τὴν κοινὴν ὀφειλομένην εὐγνωμοσύνην βουλόμενος ἀποδοῦναι, καὶ τὴν πρὸς ἐμὲ ἰδίᾳ εὔνοιαν τοῖς ἴσοις ἀμείψασθαι, πέμπομφά σοι πρὸς αὐτὸν ἀνὰ ἓν ἀντίτυπον τῶν ἐς δεῦρο μοι ἐκδεδομένων βίβλων, καὶ ἀποδοὺς αὐτῷ, ἄσπασαι παρ᾽ ἐμοῦ τὰ εἰκότα. Ἔῤῥωσο.

*Λανδέρφ.* (529.)

Ἐγὼ μὲν καὶ πρῴην ἐντυχὼν ἐν Ἐφημερίσιν, οὓς ἐξέδωκας λόγους περὶ τῆς τῶν κατὰ τὴν Κύθνον καὶ τὰς ἄλλας τῶν νήσων βοτανικῶν καὶ ὀρυκτῶν δυνάμεως, ἐπήνεσα ταῦτα μάλιστα· ἀλλὰ καὶ νῦν ἐγκύψας, οἷς μοι πέπομφας βιβλίοις, περὶ τῶν αὐτῶν πεπραγματευμένοις, καίτοι εἰδὼς τῆς ἐπιστήμης ταύτης ἐπίπαν ἀπολειπόμενος, ἀλλ᾽ οὐκ ἂν ἔχοιμι ὅπως μὴ μακαρίσω ἄνδρα ξένον μὲν τῷ γένει, Ἕλληνα δὲ τῷ λόγῳ γεγενημένον, καὶ τῶν νῦν Ἑλλήνων ἐν τῷ

τούτοις μεγίστη· τῶν δ' ὑπολοίπων βιβλίων ὡς μήπω ἑτοίμων ὄντων ἁπάντων χήτει βιβλιοπήγων, ἀποστέλλω νῦν γε μόνον τοῦ Ὁμήρου, ὑμῖν μὲν ἀνὰ ἓν ἑκατέρῳ ἀντίτυπον· τῷ δὲ πτωχῷ μὲν, φιλοπόνῳ δὲ μειρακίῳ τοῦτον τ' αὐτὸν καὶ τὸν Εὐριπίδην μετὰ τῆς Τετρακτύος· τὰ γὰρ ἄλλα διανεμηθέντα, ἐπέλιπεν ἤδη. Ταῦτ' οὖν νῦν γε λαβόντες, μνησθήσεσθε πρός με ἐν καιρῷ καὶ τῶν ὑπολοίπων, ἐπειδὰν τάχιστα γένηται ἕτοιμα. Ἔρρωσθε, τὸν ἀγῶνα τὸν καλὸν προθύμως ἀγωνιζόμενοι.

## *Θεοδωρίτῳ.* (531.)

Φιλόκαινον ἡ νεότης καὶ φιλοτάραχον ἐπιδείξασθαι περὶ ὁτιοῦν γλιχομένη, καὶ μάλιστα περὶ τὴν θρησκείαν, λόγον ἐν τοῖς ὑπὲρ λόγον ζητοῦσα, καὶ φύσιν ἐν ὑπερφυέσιν· ἀπόφευγε τὸ κόμμα τοῦτο ἐκ πρώτης καὶ δευτέρας νουθεσίας κατὰ τὸν τοῦ Κυρίου λόγον· τὸ γὰρ φιλόνεικον καὶ πανταχοῦ μὲν κακὸν, ἐν δὲ τοῖς θρησκευτικοῖς καὶ ἐπικίνδυνον μάλιστα· πίςις γὰρ τῶν ὑπὲρ λόγον τι ἀναμφηρίστως ἐστὶν ἀκούοντας δέχεσθαι, τῇ Γραφῇ βεβαιούμενον, μηδένα λόγον φυσικὸν περὶ τούτου ἐπιζητοῦντας. Εἰ δὲ δεῖ καὶ λόγον πρὸς ἐξήγησιν ἡντινοῦν ἀποδοῦναι, οὐδὲν ἂν κωλύοι εἰπεῖν, ὡς τὸ μὲν τοῦ Γενάρχου παράπτωμα (περὶ τούτου γὰρ ἦν ἐκείνοις ὁ λόγος) ἐξαλείφεται ἐν τῇ Κολυμβήθρᾳ· ἡ δὲ ἡδονὴ, δι' ἣν τὸ παράπτωμα, διαμένει· κἀντεῦθεν μεταδίδοται ἐκ τοῦ πατρὸς τῷ υἱῷ· ἐξ ἧς ἀναφύεται αὖθις αὐτῷ ἐξ ὑπαρχῆς τὸ παράπτωμα, καὶ διὰ τοῦθ' ὡς ἀγρίας καὶ ἀπηγορευμένης ἡδονῆς ἐπιβλάστημα, δεήσει αὐτῷ ἰδίᾳ βαπτίσματι ἐξαλείψασθαι· καθάπερ, καὶ ἀγριελαίας ἐγκεντρισθείσης εἰς καλλιέλαιον, εἴτις παραφυὰς ἐκ τῆς ῥίζης αὖθις ἀναβλαςήσειε, δεήσει ἐγκεντρίσαι κἀκείνην ὁμοίως, εἰ μέλλοι τις κἀξ αὐτῆς καρπὸν συγκομί-

*Μανουήλῳ·* (533.)

Ἐρωτᾷς τίποτ' εἰσὶν οἱ Ἕλληνες οὗτοι; Ἀριστοφάνης ἀποκρινέσθω, Γερόντιον ὑπόκωφον, ἄστατον, δύσκολον· τῆς γὰρ Ἀρχῆς, ὅπως τὸ ἀγέρωχον αὐτῶν περιστείλῃ, καὶ εἰς ἡσυχίαν ἀναγάγῃ τὰ πράγματα, τρεῖς Γελοτίνας ἐπεισαγούσῃ ἀνὰ μίαν Ἐπαρχίᾳ ἑκάστῃ, οἱ δὲ οὐ ταῦτ' ἐθρήνουν, βαρβάρου ἔθους εἰσαχθέντος εἰς τὴν Ἑλλάδα, ἐξ οὗ μικροῦ δεῖν πᾶσαν τὴν ἐλευθερίαν ἀφήρηνται, ἀλλ' ἄλλος ἄλλο τι ὄνομα καταλληλότερον πεφιλοτίμηται ἀποδοῦναι τῇ μηχανῇ, ὁ μὲν σφαγέα προσαγορεύσας, ὁ δὲ καταπέλτην, ὁ δὲ λαιμοτόμον, ὁ δὲ καρατόμον, ὁ δὲ τραχηλοτμήτην, ἐγὼ δὲ μωροπνίκτην, ἢ φρεναπλῆγα, καὶ ἄλλος τις ἴσως ἐνδιαθέτως ἄλλο καταλληλότερον· οὕτως εἰς φιλοτιμίαν φιλολογικῆς εὐηθείας ἕκαστος ἐσεμνύνετο. Τί οὖν ἐστιν Ἕλλην; γερόντιον ὑπόκωφον δύσκολον, ἄστατον. Ἀλλ' ὦ θεέ! εἰ ἠθέλησας ἀναστῆσαι τὸ τῶν Ἑλλήνων γένος, ἕνα μόνον ηὐδόκησας ἀποστεῖλαι πρὸς τοῦτο; εἶτα καὶ τοῦτον αὐτὸν παρεχώρησας ἀνελεῖν τοῖς κακούργοις; ἐφ' οἵοις ἡμῶν ποτε ἁμαρτήμασιν; ἐγένετο τὸ θέλημά σου, ἀλλὰ γενέσθω ἤδη καὶ τὸ ἔλεός σου· σὺ γὰρ μαστιγοῖς, καὶ πάλιν ἰᾶσαι, πλούσιος ὢν ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Ἔῤῥωσο.

*Φιλεταίρῳ.* (534.)

Ἀπέχθημαι φής, πρὸς οὓς δήποτε φὴς τοῦτό με πεπονθέναι, ὅτι μὴ καὶ αὐτοῖς ἐπέδωκα, ὧν διανεῖμαι διδασκάλοις καὶ μαθηταῖς ὀφειλέτης προῄρημαι εἶναι· ἀλλ' ἀδικοῦσιν οἱ ἄνδρες οὗτοι, στρατιωτικοὶ αὐτοὶ ὄντες, εἰ τοῖς ἰδίοις μὴ ἐπαρκούμενοι ὀψωνίοις, τὴν τῶν ἐνδεῶν ἐλλογίμων τροφὴν βούλοιντ' ἀποστερεῖν· στρατιώτου μὲν γάρ, ἀναλαβόντα τὰ ὅπλα, ἐπιόντας πολεμίους τῆς πατρίδος ἀπώσασθαι· μαθη-

ἀλλὰ καὶ πόλεις, καὶ ὅλα ἔθνη ἐξ ἀρετῆς καὶ κακίας ἀμοιβαδὸν σωζόμενά τε καὶ ἀπολλύμενα, ἐπεβάλετο πείθειν ἀστούς τε καὶ ξένους τῆς μὲν ἔχεσθαι, τῆς δ' ἀπέχεσθαι, ὡς ἐντεῦθεν τῶν τ' ἀγαθῶν καὶ κακῶν συῤῥεόντων τῷ βίῳ· εἰκότως. Ἀλκιβιάδης γὰρ ὁ περιβόητος εἰ μὲν τότ' οὐκ ἦν Ἀθηναίοις, ἡμῖν δὲ τἀνάπαλιν περιηνῶν ὁ ἀοίδιμος Καποδίστριας, οὔτ' ἂν ἐκεῖνοι ἔπαθόν ποθ' ὕστερον, ἅπερ ἔπαθον, οὔθ' ἡμῖν νῦν οὕτω τὰ πράγματα ἔσχεν· Ἐπιμελητέον ἄρ' ἄνδρας ἀγαθοὺς ἀπεργάσασθαι· μέγα δὲ τοὖργον τοῦτο καὶ λόγου κρεῖττον, καὶ οὐκ ἂν εἴη ὅτῳ μᾶλλον ἀποδοτέον, ἢ αὐτοῖς τοῖς διδασκάλοις· τούτοις γὰρ, καθάπερ τῷ Σωκράτει, θεόθεν μᾶλλον δεδώρηται· Εἰ οὖν τιμᾷς καὶ αὐτὸς κατ' ἐκεῖνον τὸ δῶρον, κακῶς ποιήσεις, εἰ ἐκλίποις τὴν τάξιν, εἰς ἣν τυγχάνεις ἐκεῖθεν ταχθείς· οὐδ' ἂν τὰ μὲν πλείστου ἄξια περὶ ἐλαχίστου, τὰ δὲ φαυλότερα ποιήσαιο περὶ πλείονος. Ἔῤῥωσο.

Κωνσταντίνῳ. (537.)

Καὶ διὰ φιλίαν μὲν ἀεὶ μέμνημαί σου, ἀλλὰ καὶ ἄλλως μὴ μεμνῆσθαι οὐκ ἂν δυναίμην· πολλάκις γὰρ ἐν τῷ περιπάτῳ παριὼν τὸ σὸν ἀγροκήπιον, ὑπερβὰς τὴν αἱμασιὰν, ἀποδρέπομαι τῶν κυαμοφύλλων, ὅσον ἱκανὸν εἰς ὀξύγαρον, ἢ ὡς ἂν ἄλλος εἴποι, φυλλάδα δριμεῖαν· ὀδίτου γὰρ, φασὶ, χεῖρες ἀκόλαστοι. Ἔῤῥωσο, μεμνημένος καὶ τοῦ πτωχοῦ μειρακείου· εἴη γὰρ ἂν καί σοι χρήσιμος, ἐν οἷς ἂν ἐπιχειρῇς.

*Μανουήλῳ.* (538.)

Πᾶσα κύων, φησὶν ἡ παροιμία, ἐν ὕπνοις ἄρτους μαντεύεται· οὕτω τὸ τῆς ψυχῆς βουλόμενον πολλάκις τῶν ἐφετῶν τῷ πόθῳ νικώμενον, τὰ θ' ὑπὲρ φύσιν ἐν τοῖς κατὰ φύσιν,

κοντες, τὴν δὲ λαιμοτόμον νῦν κατεπτηχότες δεξάμενοι· μὴ οὖν θορυβεῖτε· εἰ γὰρ φαῦλόν τι ἦν τὸ Γνῶθι σαυτὸν, οὐκ ἂν ἦν τοσοῦτον τοῖς Ἕλλησι σπάνιον. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (541.)

Ἅπαξ καὶ μόνου γε τοῦ Γενάρχου παραβάντος τὸ πρόσταγμα, πάντων τῶν ἀνθρώπων πολλοὺς αἰῶνας κεκράτηκε θάνατος· εἶτ' ἐλεήσας ὁ θεὸς τὸ ἀνθρώπινον, οὕτως ὑπὸ τοῦ ἀρχεκάκου ὄφεως τυραννούμενον, ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ ἀπαλλάξων ἡμᾶς τῆς ἀρᾶς, ἐξαλείψας τὴν ἁμαρτίαν· ὃ καὶ ἐγένετο, καὶ ἡμεῖς νῦν γ' ὅσον ἕνεκα τοῦ Προπάτορος ἐσμέν γε ἐλεύθεροι. Οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ νῦν ὁ αὐτὸς εὐεργέτης, ὁ ἐξαποστείλας τὸν δίκην ληψόμενον παρ' ὑμῶν, καὶ δι' ὑμᾶς τοὺς ὀλίγους καὶ ἡμῶν τῶν πολλῶν, ἀνθ' ὧν περὶ τὸν ἀπεσταλμένον ἡμῖν ἐκεῖθεν δίκαιον ἐξημάρτητε, ἐξαποστελεῖ ἐλεήσας αὖθίς ποτε τὸν τὴν σωτηρίαν ἡμῖν παρεξόμενον, εἰ μὴ κἀκεῖνον συλλαβόντες αὖ πάλιν, καθάπερ τὸν μέγαν Μεσίαν οἱ Ἰουδαῖοι, οὐκέτ' ἐν τῇ εἰσόδῳ αὐτῇ, ἀλλ' ἐντὸς τοῦ καταπετάσματος, ἔνθα εἰσὶ τὰ ἅγια τῶν ἁγίων, ἀποκτενεῖτε. Ἔῤῥωσο, ἁπλῇ μετανοίᾳ φυγαδεύων τὰς ἐπερχομένας τῆς συνειδήσεως Ἐριννύας.

Τῷ Φιλεταίρῳ. (542.)

Πλούσιόν τινα εἰσάγει ὁ Σωτὴρ ἐκ παραβολῆς ποιήσαντα δεῖπνον μέγαν· ἀλλ' οὐχ εὗρε πάντας τοὺς κεκλημένους προθύμους ἐπὶ τὴν τράπεζαν, ἄλλων ἄλλης προφάσεως εἰλημμένων· τοῦ μὲν, ἀγροῦ· τοῦ δὲ, ζευγῶν· τοῦ δὲ, γυναικός· Ἐμοὶ δὲ μόνους τοὺς πεινῶντας πρὸς τὴν εὐτελῆ ταύτην τράπεζαν συγκαλέσαντι, οὐ μόνον οἱ κεκλημένοι προθύμως ὑπήκουσαν, ἀλλὰ καὶ οἱ τῷ κόρῳ ῥηγνύμενοι, σπεῦσαι ἐπὶ τὴν

κεχυμένων γὰρ τῶν διεφθορότων χυμῶν ἀνάῤῥωσις γίγνεται· τοιοῦτοι γάρ τινὲς, φασὶν οἱ παῖδες τῶν ἰατρῶν, καὶ τὰς γυναῖκας, ὁπότε τέκοιεν, παραπαίνειν ποιοῦσι. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (544.)

Ἔγραψά σοι, ἅπερ ἂν πατὴρ πρὸς υἱόν· σὺ δ' εἰρωνείαν ἐκλαβὼν τὰ πρὸς σωτηρίαν σοι εἰρημένα, κατεῖπές μου, ἃ οὐδ' ὑπονοῆσαι καλόν. Εἰ μὲν οὖν ὡς εἰρωνευομένῳ σοι ἐκεῖνα ἐξέφυγε τῶν ὀδόντων τὸ ἕρκος, καλῶς· ἐφεῖται γὰρ τοῖς ὑγιαίνουσιν εἰρωνεύεσθαι· εἰδ' ἀπὸ γνώμης, ἰοὺ, ἰού! τάχέως ὅπερ ἔφην, δεήσει σοι κλυστῆρος καὶ αὖθις σχαστηρίου. Ἔῤῥωσο.

*Σερουΐῳ καὶ Παλαμᾷ.* (545.)

Χθὲς ἐν τῷ διορθοῦν τὰς ἀπὸ τῶν πιεστήρων ἐξερχομένας τῶν ἐπιστολῶν, ἐμνήσθην πρός τινα τῶν ὡς ἐμὲ συνήθως ἡκόντων ὑμῶν τε, καὶ ὧν ἑξηκοστῇ ἤδη ἡμέρᾳ πρὸς ὑμᾶς ἔφθην γράψας· ὁ δὲ ὡς ἀνέγνω, μαθὼν καὶ δι' οὗ τὰ γράμματα πέπομφα, εἴρηκέ μοι, ὅτι ἐκεῖνος καταλιπὼν τὴν ἐπὶ τὰς Πάτρας, ἐτράπετο τὴν ἐπὶ τὸ Ναύπλιον. Ἐκ τούτων οὖν δείσας μὴ ὅλως ἐκεῖνα παρέπεσε, ἐπέστειλα αὖθις αὐτὰ ταῦτα αὐτοσχέδια ὡς ἀπὸ τῶν πιεστήρων, προσεπιδηλῶν αὐτὸ τοῦτο, ὅτι ἀμφοτέρους φιλῶ, καὶ περιμένω τὸν τὰς βίβλους παραληψόμενον. Ἔῤῥωσθε, ἐν ᾧ ἐκλήθητε, ἐπιμένοντες.

*Ἰωσήφῳ.* (546.)

Ἧκέ μοι τις τούτων δὴ τῶν κατωφρυωμένων καὶ ἀνυπτοπόδων μοναχῶν, πολλὴν σεμνότητα περικείμενος ἔξωθεν· ὃς μεταξὺ λόγων ἤρξατό με διδάσκειν, ὡς ἄλλος Ἰωάννης, βάπτισμα Μετανοίας· καί φησι, τί δήποτε τὸν ἀπράγμονα καὶ ὅσιον βίον ἐπαγγειλάμενος, νῦν προείλου τὸν πολυπράγμονα καὶ ἁμαρτωλόν; καὶ ὅ,τι ποτὲ μαθὼν τοσαύτας ἐκδίδως βίβλους, καὶ ταύτας ἐξωτερικὰς, ἐξ ὧν εἰς ἀσέβειαν πολλοὶ ἐξώκειλαν

φθορὰν, ἀργοῦντος ἀπ' Ἄμβωνος τοῦ Κηρύγματος, καὶ πᾶσα ἑορτὴ πρόφασίς ἐστιν ἁμαρτίας, τῶν πολλῶν ἐν μέθαις καὶ ἀσελγείαις διατριβόντων, ἄμεινον πολλῷ ἐστὶ τὸ ἐργάζεσθαι· κρεῖττον γὰρ πονοῦντας σωφρονεῖν, ἢ ἀσελγαίνειν ἀργοῦντας. Διὸ ὁ ὀρθὸς λόγος ὑπαγορεύει καὶ ἡμᾶς μὴ τοσοῦτον γίγνεσθαι φιλεόρτους· ἀλλ' ἐπειδὰν τάχιςα λάβῃ τέλος ἡ ἱερὰ τελετὴ, συνάγοντας τὰ παιδία, διδάσκειν τὰ συνήθη τῶν μαθημάτων, ἵνα μὴ ἄλλα ἄλλῃ ἀκολασταίνουσιν. Ἔῤῥωσο.

*Γεωργίῳ.* (548.)

Κορομηλᾶς ἀναγκαζόμενος, ἤδη πεπαυμένων ἡμῶν, μετακομίσασθαι τὸ τυπογραφεῖον Ἀθήναζε, ἔπεμψέ μοι ἐκεῖθεν βιβλιοπῆγας δύο, ὅπως τῶν βιβλίων δεθέντων ἁπάντων, καὶ μετακομισθέντων, ἀποδοθῇ ἡ οἰκία τῷ κεκτημένῳ κενή. Ὡς οὖν τῶν πραγμάτων ἐν τῷ ςενῷ ἡμῖν γενομένων, ἀνάγκη ἀποθήκην πῃ ἑτέραν μισθώσασθαι· ἡ αὐτὴ δ' ἂν εἴη καὶ τοῖς βιβλιοπῆξιν ἐργάζεσθαι· δεῖ γὰρ αὐτοὺς τὸν μῆνα τοῦτον συμπῆξαι ἀνὰ ἑκατὸν σώματ' ἐκ πάντων εἰς φισχιλίους τόμους· ἃ δεῖ διανεῖμαι τοῖς ἐν Βυζαντίῳ ἐλλογίμοις· εἰς γὰρ Μακεδονίαν καὶ Ἤπειρον καὶ πέριξ προαπέςαλται ἤδη. Τοῦτ' οὖν ἔργον γίγνεται σὸν καὶ τοῦ ἐμοῦ φιλεταίρου φροντίσαι. Ἴτε, ὦ παῖδες, τῷ γέροντι χαριζόμενοι, εἴποτε παρ' αὐτοῦ εὖ πεπόνθατε, νῦν τῷ αὐτῷ μέτρῳ τοῦτο ἀντισηκοῦντες· οὐδὲ γὰρ ἄλλως ὑμῖν ἔσται ἄμισθον. Ἔῤῥωσθε.

*Μανουήλῳ.* (549.)

Τὴν εἰκόνα τοῦ Φωτιάδου, ἣν οὐδὲ πρότερον πώποτ' ἐπαυσάμην ἀσπαζόμενος πόθῳ, καὶ νῦν ἀπολαύων, ἐνασμενίζω τῇ θέᾳ, κοσμισάμενος παρὰ τοῦ ἐλλογίμου Φωτίλα, καὶ οἷα εἰκὸς, κοινὸν διδάσκαλον καὶ ἰδίᾳ ἐμὸν εὐεργέτην γεγενημένον, ἀσπασάμενος, ἀπῃώρησα ἐπὶ τῆς ἐμαυτοῦ κλίνης παρὰ τῇ τοῦ ἀοιδίμου Κυβερνήτου τῆς Ἑλλάδος, ἀγαθὸν ἄνδρα

## ΠΑΡΟΡΑΜΑΤΑ

### Εἰς τὸν ά. τόμον τῶν ἐπιστολῶν.

Σελίδα 2. ςίχος 15 συνίσταται, γράφε, συνίστασθαι. 8. 12. ἀνεφύησαν. - 24. εὐεργέτις. 16. 5. ἀνεξάλειπτα. 20. 4. καί τι. 28. 10. παντοίως. 29. 3. ἀκαρεῖ. 31. 13. ἑστιάσοντι. 33. 11. ἠμείψαντο. 35. 8. θαρσείτωσαν. 33. 14. δή. 58. 27. τῷ, 58. 2. δεομένοις. 43. 3. ἄλλους. 75. 29. ἐντολῇ. 86. 18. ἐξίη. 89. 17. δεῖ. 93. 16. κατέθου. 71. 1. προθέσεως. 102. 3. γυναικὸς. 107. 2. ἀμυθήτου. 121. 15. ἀγγαρειῶν. 128. 23. συγκαλύψομαι. 159. 14. μετὰ. 170. 8. δεινῶν. 180. 1. ἐρημία. - 195. 4. καθείργνυσαι. 207. 4. τελειοῦται. 181. 1. νοῦν. 221. 12. ὑπηρετοῦντος. 224. ὅτι. 240. 23. συναιρομένων. 250. 9. οἴημα.

### Εἰς τὸν δεύτερον.

Σελίδα. 7. στίχος 20. παλιγγενησία, γράφε, παλιγγενεσία. 10. 7. κέδρος. 11. 6. ἠχήεσσα. 21. 13. ἀνεσφήλαμεν. 23. 6. ἔστεψαν. 42. 5. ἐνταῦθα. 46. 17. ἰσχύει. 50. 14. πλούσιος. 54. 20. ἀναίμακτον.—ἐκκενώσαντι. 60. 2. βραδύπους. 64. 9. ἀξιόχρεω. 66. 12. τιμωμένους. 70. 24. βελτίω, μείζω, πλείω. 71. 10. τὴν. 77. 14. παραμυθίαν. 78. 15. ἁρπαγή. 79. 5. ἐν. προϊμιάζομαι. 82. 258. δηωμένη. 28. ἦν. 94. 10. ὁμοτέχνους. 95. 13. Παρισίων. 97. 23. βασκανία. 98. 5. ἤ. 102. 9. τὸν 104. ἄποροι. 105. ἀντικρούει. 15. οὐπίτριπτος. 167. 17. εἴγε. 169. 15. δράκοντες. 170. 1. ἔργῳ. 180. 17. οὐδεντινοῦν. 181. 66.

# ΚΑΤΑΛΟΓΟΣ

## Τῶν ἐκδεδομένων παρ' ἐμοῦ βιβλίων.

### ΕΝ ΒΙΕΝΝΗ.

„ Γραμματικὴ Τερψιθέα τῷ 1804 ἑξάκις ἐκδοθ. Τόμ. 1

„ Λεξικὸν Βενδότου Γαλλικοελληνικὸν τῷ 1804. . . 2

„ Θουκιδίδης μετὰ παραφράσεως. . . . . . . 10

„ Χείμαῤῥος τῶν χρόνων· ὅ ἐςι πίναξ τῆς Ἱςορ. τῷ 1805. 1

„ Εὐτρόπιος μετὰ παραφράσεως τῷ 1806. . . . 2

„ Γραμματικὴ Τερψιχώρα συντομωτέρα τῷ 1809. . 1

„ Ἀῤῥιανοῦ τὰ σωζόμενα μετὰ παραφράσεως τῆς Ἱςορίας τῷ 1810. . . . . . . . . . 7

„ Δίον ὁ Χρυσόστομος τῷ 1810. . . . . . . . 3

„ Μάξιμος Τύριος τῷ 1810. . . . . . . . . 1

„ Μυθολόγοι, Ἀπολλόδωρος, Παλαίφατος, Ἡράκλειτος, Ἀνώνυμος, Φουρνοῦτος, Σαλλούστιος, τῷ 1811. 1

„ Ῥήτορες Ἀθηναίων τῷ 1812. . . . . . . . 10

„ Ἡρωδιανὸς τῷ 1813. . . . . . . . . . 1

„ Παιδαγωγία τῷ 1813. . . . . . . . . . 3

„ Ἀποθήκη τῶν παίδων τῷ 1814. . . . . . . 2

„ Αἰσχίνης ὁ Σωκρατικός· ἐν ᾧ καὶ ἄλλοι διάφοροι λόγοι περὶ διαφόρων πραγμάτων τῷ 1818. . 1

„ Εἰς τὰς ἀρχὰς τῶν εἰρημένων βιβλίων εὑρίσκονται καὶ λόγοι περίπου 15· παρακινητικοὶ πρὸς διαφόρους εἰς ἀνέγερσιν σχολείων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000051065

ρεῖν τοῖς κεκρατημένοις, μήδ' ἐγχέαι ῥᾳδίως φάρμακον τοῖς ἀπεγνωσμένοις· ἀνονήτως ἄρα κοπιῶ, Αἰθίοπα σμήχων. Ἔῤῥωσο.

*Φηλήτῃ.* (231.)

Πάνθ' ὁ παγκρατὴς μετατρέπει χρόνος, ἄλλοτ' ἄλλως ὠκυτάτῃ συναρπάζων ῥοῇ, καὶ φίλους οὐχ ἥκιστα περιΐστησιν, ὁτὲ μὲν διασπῶν αὐτοὺς ἀπ' ἀλλήλων, ὁτὲ δὲ συνάγων συντονώτερον ἀμφοτέρους εἰς μίαν ἁρμονίαν καὶ ἤθους καὶ πράξεως. Εἴτι οὖν χ' ἡμῖν συνέβη ποτὲ γενέσθαι πρὸς ἀλλήλους ἀνεπιτήδειον, τοῦτο νῦν ἀπεσβέσθη τῷ χρόνῳ παντάπασιν, ὡς μηκέτι μηδενὸς ὑπολειπομένου σημείου τῶν πάλαι ποτέ σοι πρός με πεπλημμελημένων, ἐφ' ᾧ ἀνερεθισθείημεν ἂν ἐπ' ἀλλήλους ἐξυπαρχῆς· οὐκέτι γὰρ οὔτ' ἐγὼ ἀπαιτήσω σὲ τὸ ἀργύριον, οὔτε σὺ ἀποδώσεις φερωνύμως, μὴ ἀπαιτούμενος· Φρόνιμον γάρ σε μετωνόμασεν ὁ ἡμέτερος Μανουῆλος, ἐκ τῶν ἔργων σοι τὴν προσηγορίαν ἀντιμετρήσας, καίτοι τῶν ἄλλων ἁπάντων ἄφρονά σε καλούντων ἀδίκως. Οὐκοῦν καιρὸς ἡμῖν ἀνασώσασθαι διαλλαγέντες τὴν ἀρχαίαν φιλίαν, καὶ θῦσαι αὐτῇ ὡς θεῷ ἐξυπαρχῆς τὰ σωτήρια· δίκαιος δ' οὖν ἂν εἴην αὐτὸς ὡς πρεσβύτερος προκατάρξασθαι· ἀρκτέον δ' ἀπ' ἀδόλου καὶ ἱερᾶς συμβουλῆς· ἄριστον γὰρ τοῦτο φιλίας προοίμιον, καὶ καλὸν ἡμῖν εἰκότως γε ὑπισχνούμενον τὸν ἐπίλογον· καί μοι σύντεινον πρὸς τοῦτο τὸ οὖς, ἀκουστικώτερος καὶ αὐτοῦ τοῦ ὄνου κατάγε τὴν παροιμίαν γενόμενος. Σοὶ μὲν οὖν ἐπιβρίθουσα ἤδη ἡ ἡλικία κατὰ μικρὸν, εὐθυμίας, ὡς εἰκὸς, καὶ ἀνέσεως γλίχεται· τί οὖν ἐμφιλοχωρεῖς χωρίοις χειμερινοῖς καὶ τραχέσιν, ἵνα μὴ εἴπω φρικώδεσιν ὑπ' ἀνέμων καὶ ψύχους, καὶ ταῦθ' Ἕλλην ὢν, καὶ τῶν Ἀσκληπιαδῶν ὁ κορυφαιότατος, ὀξυρεγμιῶν ἀναξίως, καὶ

εὑράμενοι σύμβολον· σὺ δ' οὖν μὴ φθονήσῃς αὐτοῖς τοῦ εὑρήματος διὰ τὸ ὁμότεχνον καθ' Ἡσίοδον τὸν κρονόληρον· ἅμα γὰρ ἐλθὼν, ὡς ἐκ πείρας πολλῆς ὁρμώμενος, κατὰ πάντων ἕξεις τὰ νικητήρια. Ἔῤῥωσο.

*Δημητρίῳ.* (232)

Οὐ μόνον ἀγωγὴ καὶ παιδεία, ἀλλὰ καὶ φρόνησις αὐτὴ μάλιστα ἡ ἐξ ἁπαλῶν ὀνύχων δᾳδουχοῦσά σοι πρὸς τὸ ἀγαθὸν, ἐν σοὶ συνελθόντα, συνάγει μου πρὸς σὲ τὸ φίλτρον σφοδρότερον, καὶ οὐκ ἐᾷ, οὐδ' εἴ τι καὶ γένοιτο, ἐπιλαθέσθαι τῆς σῆς χρηστότητος, κἂν δὶς τοσοῦτον ἀποσχῶ σου τοπικῷ διαστήματι· ἀλλὰ καὶ νῦν καὶ αὖθις ὑπαγορεύει με ἀεὶ τιμᾶν σε τοῖς γράμμασι· καὶ οὐκ ἂν ἔχοιμι, οὐδ' ἄν μοι βουλομένῳ ᾖ, τὸν τῆς σχέσεως τοῦτον δεσμὸν διασπᾶσαι· οὗ τὴν πλοκὴν ἥτε πρὸς τὸν σὸν φίλον πατέρα ἀρχαία συνήθεια, καὶ ἡ πρὸς σέ μου μετὰ ταῦτα διδασκαλικὴ οἰκειότης ἐξύφηνεν· ἀλλὰ τούτων οὕτως ἐχόντων, δίκαιος ἂν εἴην καὶ ἀνταπαιτεῖν παρὰ σοῦ τὰ αὐτά· ἵνα μὴ τὸ τοῦ δεσμοῦ ἔντονον σπαρτίον, ἀσθενέστερον ὡς ἐκ μονομεροῦς καταστὰν, διαῤῥαγῇ ἀπροσδοκήτως κατὰ λόγον τῶν σχετικῶν· τὰ γὰρ τοιαῦτα ἅμα πέφυκε συνυφίστασθαι, ὡς ἐν τῷ συνυπάρχειν τὴν ὑπόστασιν ἐκ τῆς φύσεως εἰληφότα· Γράφε τοίνυν ἡμῖν, μικρὸν ἀπὸ τῶν μακρῶν σεαυτὸν, ὅταν ἐξῇ, ὑποκλέπτων φροντίδων, τοῦτ' αὐτὸ δηλῶν, ὅπως ποτέ σοι τὰ πράγματα ἔχει· περὶ ἃ τόγε νῦν εἶναι τυγχάνεις ἐνασχολούμενος. Μέμνησο δ' οὖν ἐν πᾶσι τὴν τῶν δυνατῶν ὑπάγεσθαι εὔνοιαν, σὺν κόσμῳ μὲν καὶ αἰδοῖ ὑποτρέχων τἀκείνων βουλεύματα· σκευωριῶν δὲ καὶ διαδύσεων παντάπασιν ἀπεχόμενος· οὕτω γὰρ ἂν, ἐπειδὴ ἅπαξ προείλου τὸ πολιτικὸν ἀγωνίζεσθαι στάδιον, σκοπιμώτερά τε καὶ ἀθωότερα διὰ τῆς εὐθείας, ἢ

λάμβανε ταῖς τιμαῖς, καὶ σὺν ἐπιεικείᾳ ἀνάρτησον τὸν ἄνδρα ἐξυπαρχῆς σεαυτοῦ, εὐποιΐαις καὶ λόγοις ἐπιτηδείοις τὸ τῆς ψυχῆς αὐτοῦ φλεμαῖνον εἰκότως, ἐφ' οἷς πέπονθε παρὰ σοῦ, καταψύχων καὶ θεραπεύων· εἰ γὰρ τὰ θύραθέν ποθεν τῷ ποιμνίῳ ἐπισυμβαίνοντα συντρίμματα προστετάγμεθα θεραπεύειν, μήτι γε δὴ, ἃ αὐτοὶ γ' ἡμεῖς αὐτοχειρὶ ὑπανοίγομεν τραύματα, ταῦτ' ἰᾶσθαι ὀφείλομεν· οὕτω γὰρ φρονῶν, σέτε αὐτὸν ἀναπαύσεις αὐτίκα δὴ μάλα εἴτι σύνοισθα ἁμαρτὼν, κἀκεῖνόν σε σέβεσθαι, οὐ μὴν δὲ φοβεῖσθαι, οὐδὲ φρίττειν τοῦ γε λοιποῦ τῇ μετανοίᾳ ποιήσεις. Εἰδ' ἄλλως γνώμης ἔχεις, τῷ κατὰ βαρβάρους ἐπαιρόμενος ἀγερώχῳ· οἶδα μὲν ὅ,τι δεῖ καὶ πρὸς ταῦτα εἰπεῖν, οὐ μὴν δ' ἐρῶ, μικρὸς ὢν, καὶ ἐν ἱερεῦσιν ἐλάχιστος. Ἔρρωσο.

### *Σερουΐῳ.* (234.)

Οὐκέτ' ἄρ' ἐρεῖς, ὡς παντάπασιν ἐπιλέλησται Νεόφυτος Γεωργίου· πῶς γὰρ ἂν, ὃν τετίμηκα καὶ τιμῶ ἐν τοῖς μάλιστα, ὡς πολὺν παρὰ πᾶσι γενόμενον ἔν τε λόγοις καὶ πράγμασιν; ἀλλ' ἅμα κατελθὼν, καί τοι ἐπυθόμην εὐθὺς περὶ σοῦ τῶν εἰδότων, ὅπῃ ποτὲ διατρίβεις, καὶ περὶ οἷα τυγχάνεις ἐνασχολούμενος, ἀλλ' εὑρὼν τεταραγμένα τὰ πράγματα, καὶ στᾶσιν πολλὴν ἐνοῦσαν τοῖς Ἕλλησιν, οὐ μόνον σοῦ, ὥστε καὶ ἐπιστεῖλαι, ἀλλὰ καὶ ἐμαυτοῦ οὕτως εἰπεῖν τῷ ἀποτυχεῖν, οὗ καταστοχασάμενος ὡς ἐπ' ὠφελείᾳ κοινῇ, κατήχθην εἰς Αἴγιναν, ἐπιλέλησμαι· φιλεῖ γὰρ ἡ ψυχὴ, ἡδομένη μὲν, εὐθηνουμένων τῶν παιδικῶν, ἀνίεσθαι ἐπ' ἄλλα τε πολλὰ, κἀπὶ φίλους οὐχ ἥκιστα· λυπουμένη δὲ, ἐκπεπτωκότων τῶν ἐφετῶν, ῥυσοῦσθαι, καὶ μελαγχολᾷν οὕτως, ὥστε καὶ πρὸς αὐτὸ τὸ φῶς, ὃ πᾶσι πάντων ἐστὶν ἥδιστον, ἀηδῶς

καὶ μᾶλλον ὁ Αττικὸς, σεμνὸς ὢν καὶ ἀριπρεπὴς ἐς τὰ μάλιστα, διώκει τὸ εὔφωνον καὶ γνήσιον πανταχοῦ, οὐ μόνον καθ' ὅλον τέλειον λόγον, ἀλλὰ καὶ περὶ τὴν τῶν ὀνομάτων τῶν τε οἰκείων καὶ τῶν ἀλλοτρίων καθ' ἕκαστα κλίσιν καὶ εὐφωνίαν, ἐς τοὐπιτομώτατον συνάγων πανταχόθεν τὴν ἔννοιαν· οἷόν τί φημι; Νέρβας, Βουλταῖος, Σεβῆρος, Σέρβιος, Πατάβιον, Βερώνα, Βενετία· καὶ τὰ τοιαῦτα Λατινικά· τούτοις γὰρ οὕτως ὁ λόγος προσιζάνων οἰκείως, ἀλλοτρίως ἔχει πρὸς τὸ Νερούας, Οὐολταῖρος, Σεουῆρος, Σερούϊος· οἷς οἱ ἀπειροκάλως πρὸς εὐφράδειαν ἔχοντες ἀγλαΐζονται· ὧν εἷς τις καὶ τὸ θαυμαστὸν ἐκεῖνο ἡμῖν γράψας κατέλιπε. Κατελθὼν ἀπὸ τοῦ Παταουΐου εἰς Οὐενετίαν, ἀφικόμην τελευταῖον εἰς Οὐερώναν· οὕτω γάρ τινες παραμούσοις καὶ βαρβαροφώνοις σχηματισμοῖς ἐπιδεικτιῶντες, τὸ Ἑλληνικὸν παρεμόρφωσαν κάλλος· ἀλλὰ περὶ μὲν ἐκείνων, κακορέκτων ὄντων οὐδεὶς ἡμῖν λόγος πρὸς τὸ παρόν· περὶ δὲ σοῦ θαυμάζω, ὅπως ταῦθ' οὕτως ἐκφύλως εἰς τὸ οὖς σοι προσβάλλοντα, οὐ διαρρηγνύει καὶ τὴν σὴν ἀκοήν. Ἀλλ' οὕτως, εἴποις ἂν, τῶν τε πάλαι καὶ τῶν νῦν τινές τινα ἐξηλλήνισαν· οἷς χρὴ παρὰ πόδας ἀκολουθοῦντας, φθέγγεσθαι ξυνῳδὰ, ἵν' ἐκ πάντων οἱ πάντες εἰς ἓν συγκεντρούμενοι τέρμα, μηδὲν ἀλλήλων ἀποπλανώμεθα· καλῶς τοῦτο φής· ἀλλὰ κἂν κακόφωνα γράφωσι; κἂν ἀσύμφυλα φθέγγωνται; καὶ ταῦθ' ὁπότε οὐδ' αὐτοὶ οἵ τε πάλαι καὶ οἱ νῦν οὔτε πρὸς ἀλλήλους, οὔτε πρὸς ἑαυτοὺς μήτε γράφουσι, μήτε φθέγγονται τὰ αὐτά; πολλοὶ γὰρ συνειδότες τὸ ἄτοπον προείλοντο τελευταῖον τὸ φύσει τῇ γλώττῃ προσέρπον μειλιχίως καὶ προσηνῶς· οὐ γὰρ μετατρέψειαν καὶ τὸ Βρετανία εἰς τὸ Οὐρετανία, οὔτε τὴν Βιένναν εἰς τὴν Οὐϊένναν· εἰ δὲ μὴ, ποιήτωσαν καὶ τὸν Βροῦτον Οὐεροῦτον, καὶ τὸν Βελισάριον Οὐελισσάριον, καὶ Βενέδικτον Οὐενέδικτον· καὶ τοὺς

καὶ ἴσος λογισμὸς, ἰσολόγισμον· καὶ τὰ τοιαῦτα. Ἀλλ' ἴσως καταγελᾷς μου, ὡς σμικρολόγως τοῖς τοιούτοις ἐνδιατρίβοντος· μὴ σύγε, ἀλλ' εἴποτε συνέβη καίσοι χαίρειν ταῖς τοιαύταις καινοτομίαις, νεώτερον ἔτι ὄντα, ὥστε καὶ σωλοικίσαι περὶ τὸ ὄνομα, τοῦτο συμπαρῆλθε τῇ ἡλικίᾳ, ἀρχαῖον γεγενημένον. Ταύτῃ τοι εἰ ἐπαναλάβοις τὸν Ἕλληνα Σέρβιον ἀντὶ τοῦ Ἰταλικοῦ Σουρουΐου ἐμοί τε χαριῇ, καὶ σεαυτῷ φρονίμως ἔσῃ πεποιηκώς. Ἔῤῥωσο.

## *Τῷ αὐτῷ.* (236.)

Οὐκέτ' ἄρ' ὁ βίος μοί ἐστι σκυθρωπὸς, οὐκέτι ἔμοιγε λυπηρός· αὐτίκα γὰρ ἀνοιγήσεται ἡ τυπογραφία ἀδείᾳ τῆς μεγίστης Ἀρχῆς· ἢ καὶ χορηγίαν, καταναλωθέντων ὀψὲ τῶν ἐμῶν, ὡς ἐν στενῷ καιρῷ ὑπισχνεῖταί μοί ποθ' ὕστερον· ὡς ὑπέρευ ἄρα καὶ κατὰ θυμὸν ἀπέβη μοι ἡ παράκλησις· νικᾷ γὰρ τὸ δίκαιον καὶ δυσωπεῖ τὸ καλὸν πανταχοῦ, κἂν βραδύνῃ ποτὲ ἀντιπεριπλεκόμενον περιστάσεσιν· ἀλλὰ νικῴη γε καὶ ἐς τέλος. Τί οὖν μοι λοιπόν; ἢ πέμψαι τὸν Φιλαίτερον εἰς τὴν Ἰταλίαν χαρτίον ἐκεῖθέν μοι ὠνησόμενον· νῦν μὲν, ὅσον εἰς ἔτος ἔσται ἱκανὸν πρὸς τὸν τύπον· περὶ δὲ τοῦ λοιποῦ συνθήκην πρός τινα τῶν χαρτοπωλῶν ποιησόμενον, ἐφ' ᾧ πέμπειν ἡμῖν ἑξῆς τὸ ἱκνούμενον καθ' ἑξαμηνίαν· δεῖ γὰρ χάρτου μὲν καθ' ὅλον τὸ ἔργον πλείονος, ἢ ἑξήκοντα μυριάδων φύλλων· χρόνου δὲ οὐκ ἐλάττονος ἐτῶν πέντε· ταύτῃ τοι οὐχ ἅπαξ, ἀλλ' ἐκ διαλειμμάτων ὠνητέον ἐκεῖνο· πολλὰ γὰρ ἐν τῷ μέλλοντι τὰ συμβαίνοντα μεταξὺ χειλέων καὶ κύλικος. Ἐμοὶ μὲν οὖν ταῦθ' οὕτω δέδοκται· σὺ δέ μοι χαῖρε, καὶ τοῖς τῆς σῆς θαυμασίας αὐδῆς τῶν λόγων ἀκούουσι τοῦτ' αὐτὸ κέλευε· οὐκέτι γὰρ μεμψιμοιρήσουσι, τῶν ἀναγ-

ἑκατὸν, ἀπολύτως ἐλευθεριάζειν βουλόμενοι, ἐτάραξαν ἐνταῦθα τὰ πράγματα νῦν τε καὶ πρώην πολλάκις· διὸ ἀποκλεισθέντος τοῦ σχολείου ἐκ μείζονος ἐπιταγῆς, συγκατηργήθησαν καὶ τῶν διδασκάλων οἱ πρόκριτοι, ὡς δῆθεν συμφρονοῦντες μαθηταῖς ἀνοήτοις· καὶ νῦν ἕτερος καραδοκεῖ (ἐγὼ γὰρ ἀπεῖπον, μεμνημένος τῆς σκυτάλης τῶν τυράννων ἐν Βουκουρεστίῳ.) τῶν πραγμάτων διάδοχος ἔσεσθαι· ἀλλ' οὐδ' οὕτως συνορῶ τὰ πράγματα ἀνορθωθησόμενα εὐχερῶς, πρὶν ἂν ἡμῖν ἀποσταλῇ Ἡγεμών· διὸ καὶ θεωρὸς ἀδιάφορος γίγνομαι· σὺ δ' ὅμως εἰ συγκατῄεις ἡμῖν ἐξ ἀρχῆς, ἄγαμος ὢν καὶ ἀπέριττος ὅλως (οὐ γὰρ ἂν ἀποκινδυνεύσαιμι τοῦτ' εἰπεῖν καὶ περὶ τοῦ Μιτυληναίου γυναῖκα καὶ παῖδας ἕλκειν ἐν ἀβεβαίοις οὖσι τοῖς πράγμασιν) ἔσχες ἂν νῦν γε οὐ μόνον τὴν Ἑλληνικὴν, ἀλλὰ καὶ τὴν Γαλλικὴν διδάσκειν συναναχωρήσαντος καὶ τοῦ Γάλλου· Ἀλλὰ καὶ οὕτω τούτων ἐχόντων οὐκ ἂν οὐδὲ τοῦ λοιποῦ ἀφροντίστως ὑμῶν σχοίην· σὺ δὲ εἴμου ἀκούσειας, ὃ ἥκω ἐρῶν καλῶς ποιήσεις· εἰ γὰρ ἀφεὶς τἄλλα, μάθοις καὶ τὴν Λατινικὴν, τὰ βέλτιστ' ἔσῃ σεαυτῷ πεπραχώς· γραμματοφάγος γὰρ καὶ ὢν καὶ καλούμενος, οὐ πλείονος τριμηνίας δεήσῃ πρὸς τοῦτο· οὕτω δὲ τριπλόκῳ σπαρτίῳ περιεζωσμένος, ἀδεῶς ἐπιβήσῃ καὶ ἀσπίδος καὶ δράκοντος. Ἔρρωσο.

Ἰωάννῃ (239.)

Οὐκ οἶδ' ὁπότερον μᾶλλον πιστεύσω (οὐ γὰρ ἂν εἴποιμι ἄλλως, ὅτι ἅπαντες ἐπιλέλησθέ μου τὸ σύνολον) ὅτι τεθνήκατε ἅπαντες· ὃ καὶ ἐκφωνῆσαι φρικτὸν ἔμοιγε γίγνεται, καὶ ἀκοῦσαι πολλῷ φρικωδέστερον· ἢ ὅτι οὐχ Ἑλληνιστί σε τοῖς πρώην τετίμηκα γράμμασι, διὰ τοῦτο οὐδέγε πρὸς

διαιτῆσαι πρᾶγμ' οὕτως οὐσιῶδες ἐν μεγίστῃ τῶν πραγμάτων περιπετείᾳ, ὥστε καὶ ὄφελός τι ἐλπίζειν ἀνάλογον πρὸς τὴν χρείαν. Ἐγὼ δ' ἐν τούτοις, αἰτίας ἀψάμενος ἱκανῆς, τῆς τυπογραφίας, ἔγνων ἴδιος εἶναι, τὸ ποτὲ Μαυροκόρδιον ῥόπαλον ἀεὶ ἐπ' ὄψιν ἔχων· σὺ δ' εἰ ἦς ὧδε νῦν, ἦσθ' ἂν χρήσιμος σεαυτῷ τε καὶ τῷ κοινῷ ὁμοίως· ἀλλ' οὐδ' οὕτως γε νῦν σοι παραινέσαιμι ἂν κατελθεῖν μετὰ γυναικὸς καὶ παίδων, ἀβεβαίων τῶν καθ' ἡμᾶς ὄντων καὶ ἀπὸ μικρᾶς γε ῥοπῆς ῥᾳδίως ἂν ἀνατραπησομένων· μέχρις ἂν ἥκῃ τις Ἡγεμὼν ῥάβδῳ σιδηρᾷ, καὶ βραχίονι ἰσχυρῷ ἀνορθώσων τὰ πράγματα· ἄλλως γὰρ τὸ Ἑλληνικὸν οὐκ ἂν ὀρθωθείη, πολλῶν ἔξωθεν ἐπιβουλευόντων καὶ σκευωρούντων, εἴπως γενοίμεθ' ὑπ' αὐτοῖς, ὃ καὶ τὸν ἀγαθὸν ἀπώλεσε Κυβερνήτην. Ἀλλ' οἱ ταῦθ' ἡμῖν ὑποσκάπτοντες μὴ ἵκοιντο ὥραις, εἰς ὃν ὀρύττουσι λάκκον, πρὸ ἡμῶν αὐτοὶ ἐμπεσόντες. Ἔρρωσο.

Νικολάῳ. (240.)

Διττόν τί με χρέος ὑπηγόρευεν ἐξ ἀρχῆς φίλον ποιήσασθαί σε, ἥθ' ὑπόληψις αὐτὴ, καὶ τὸ ἀξίωμα τὸ σεμνὸν, ὃ νῦν τυγχάνεις σὺν λόγῳ διακυβερνῶν· τὸ μὲν ὅτι καὶ φύσει καὶ προαιρέσει περὶ πλείστου ποιοῦμαι τοὺς πεπαιδευμένους, καὶ τοὺς τῆς κοινῆς ὠφελείας καὶ βελτιώσεως πάντα δεύτερα ποιουμένους· οἷός ἐστιν ὁ χρυσοῦς μοι καὶ ὄνομα καὶ πρᾶγμα Χρυσόγελος· τὸ δὲ, ὅτι κἀγὼ σὺν τοῖς ἄλλοις καὶ ὡς ἱερεὺς, καὶ ὡς διδάσκαλος, ὑπάγομαί σοι καὶ ὡς προστάτῃ καὶ ὡς ἄρχοντι τῶν τοιούτων· ἀλλ' ἃ συνέβη τραγικῶς τῷ ἐν μακαρίᾳ τῇ λήξει γενομένῳ κοινῷ πατρί τε καὶ Κυβερνήτῃ, οὐ μόνον ἀνέκοψέ μου τὴν ὁρμὴν τῶν, ἐφ' οἷς τοσοῦτον διαβαλὼν πέλαγος, ἀφικόμην, ἀλλ' ὥστε καὶ αὐτὸ τὸ ἥδιστον

παρὰ τῶν τυπογράφων αὐτόθεν, ὅσον ἱκανὸν πρὸς μίαν γοῦν τῶν βίβλων εἰς ἔκδοσιν. Τοῦτον οὖν ἐμοίτε καὶ σαυτῷ χαριζόμενος, δεξάμενος προσηνῶς, διδάξειας, ὅπως αὐτῷ, ἐφ' ὃ ἥκει, ἀξιώτερον ἔσται. Ἔῤῥωσο.

## Μανουήλῳ. (242.)

Ἀνὴρ ἀργίᾳ ἀποπνιγόμενος, ὑποθέσεις ἀεὶ γραμμάτων ζητεῖ ἀπὸ πάσης προφάσεως· εὑρὼν δέ τι νεώτερον, σπεύδει καὶ τοῖς ἑταίροις τοῦθ' ὅσον τάχος ἀνακοινῶσαι· καὶ μάλιστ' ἐπειδὰν τὸ εὑρεθὲν τύχῃ ἓν τῶν καθ' ἡδονὴν, καὶ κοινῇ διαφέρον· αὐτίκα γὰρ, ὃ ἀνέγνων τήμερον ἐν ταῖς ἐφημερίσι, τοῦτ' οὐκ ἂν οὐδέ γε μίαν ἡμέραν ὅλην παρέλθοιμι μὴ καί σοι ποιήσας κοινὸν, εἰς εὐφροσύνην κινῆσαι, φύσει φιλοκἀγαθον ὄντα καὶ φιλοδίκαιον· ἐν γὰρ τῷ γενικῷ τῶν Ἑλλήνων συλλόγῳ κατὰ τὸ Ναύπλιον, δόξαν κοινῇ γεράραι τὸν ἐν μακαρίᾳ τῇ λήξῃ γενόμενον Κυβερνήτην, ἐγένετο ψήφισμα τιμῆσαι τοῖς ἀξίοις τὸν ἄνδρα, ἀνθ' ὧν εὖ πεποίηκε τὴν Ἑλλάδα, Μαυσώλιον μὲν ἀνεγεῖραι ἐν Τύρινθι, καὶ ναὸν παρ' αὐτῷ ὅμοιόν τε καὶ ἴσον τῷ ἐν Ὀρφανοτροφείῳ κατὰ τὴν Αἴγιναν ἐπ' ὀνόματι τοῦ Εὐαγγελιστοῦ Ἰωάννου. Πρὸς δὲ τούτοις τρεῖς ἀναστῆσαι αὐτῷ ἀνδριάντας, τὸν μὲν ἐν Ναυπλίῳ, τὸν δὲ ἐν Κορίνθῳ, οἶμαι· τὸν δὲ τρίτον, ἔνθ' ἂν προσεδρασθῇ ἀραρότως ἡ τοῦ μέλλοντος Ἡγεμόνος καθέδρα. Ἐπὶ δὲ τούτοις ἀντίγραφον ἀπαράλλακτον ποιησαμένους τῆς ἐν τῷ βασιλικῷ Ἀνακτορίῳ ἐν Λονδίνῳ κειμένης αὐτοῦ εἰκόνος, μίμημα οὔσης δεξιᾶς χειρὸς τοῦ περιφημοτέρου τῶν καθ' ἡμᾶς γραφέων, τοῦτ' ἀναθεῖναι ἐν τῷ βουλευτηρίῳ· καὶ τελευταῖον μύρια νομίσματα ἰσοελκῆ τοῖς τῆς Ἱσπανίας διστύλοις, ἑκατέρωθεν ἐπισεσημασμένα· ἔνθα μὲν, τῇ προτομῇ τοῦ σωτῆρος

δὲ, ὅτι δαίμων τις, τῇ ὑπαρχούσῃ αὐτῷ δόξῃ ἐπὶ σοφίᾳ νεμεσήσας, εἰς τοῦτο συνήλασε τὸ γερόντιον, ἐξελὼν αὐτῷ πρῶτον τὸν νοῦν, ὥςε παρὰ πάντα λόγον, προσποιήσει δὲ μόνον ἀκράτου ἐλευθερίας, οἵαν οὐδ' ἂν παρὰ τοῖς οὐρανίοις ἀγγέλοις εὑρεῖν δύναιτό τις τοιαύτην, εἰς ἀνθρώπους ἔτι ἀγρίους εἰσάγων, ἔγραψε κατὰ τοῦ κοινοῦ πατρὸς τῶν Ἑλλήνων, οἷ' ἂν γράψειε πολιτικῶν λόγων ἀνὴρ παντάπασιν ἄπειρος· φασὶ δὲ καὶ ἕτερον ὑπάρξαι αὐτῷ πρὸς ἐκεῖνον διάφορον περὶ Χίων· Ἐγὼ δ' οὖν οὐκ οἶδ' ὅ,τι ποτὲ τοῦτ' ἐστί. Τοῦτο οὖν τὸ βιβλίδιον, ὡς μηδὲν ἔχον ὑγιὲς, περιόντος μὲν ἔτι τοῦ Κυβερνήτου, κατεφρονήθη, ὡς ὑπὸ γέροντος, δὶς παῖς ἤδη ἐν γήρως οὐδῷ γεγονότος, καὶ μηδεμίαν γνῶσιν τῶν ἐσωσερικῶν σκευωριῶν, ὡς πολλῶν τούτων ὑπὸ τῶν Φαναριτῶν ὑπενεργουμένων, ἔχοντος· ὡς δὲ συνέβη καὶ ὁ βίαιος θάνατος, κραυγὴ πολλὴ ἦν, συμπατροκτόνον αὐτὸν ἁπάντων καλούντων, καὶ τοῦτ' ἦν μὲν συχνὸν, ἀλλ' ἐν ἀναστροφαῖς ὀλίγων τε καὶ ἰδίᾳ· ὡς δὲ ἀνεκαλύφθη καὶ ἕτερον βιβλιάριον παρὰ τοῦ αὐτοῦ, ψόγον τοῦ Κυβερνήτου, ἢ φασὶ (ἐγὼ γὰρ οὔπω ἀνέγνων) περιέχον, ὅσα καὶ οἷα οὐδ' ὄναρ ἐκείνῳ πράττειν ἐπῆλθε πώποτε, ἐντεῦθεν οὐκέτ' ἦν φορητά· συνελθόντες γὰρ οἱ ἐκ παντὸς τοῦ γένους ἐν Ναυπλείῳ διατρίβοντες Ἀντιπρόσωποι, καὶ ἀναγνόντες τὸ βιβλίον οὐχ ὅλον, ὡς μὴ ἀνεχομένων τῶν πλειόνων ἀκούειν τὰ βλάσφημα, παρέδωκαν αὐτὸ τῷ πυρὶ, ἐπειπόντες ἕκαστος Ἀνάθεμα τρίς· καὶ ταῦτ' ἐκ ψηφίσματος. Ἐγὼ δ' οὖν ἔφριξα ἀκούσας· καί τοι γὰρ ἦν μοι ποτὲ ἀπέχθεια πρὸς ἐκεῖνον, ἀλλὰ νῦν γε γεγηρακότος, συναπεψύγη καὶ τὸ πάθος τῇ ἡλικίᾳ· καὶ τιμῶ γε τὸν ἄνδρα εἰκότως· διὸ καὶ λελύπημαι, τὴν τῶν πραγμάτων μεταβολὴν λογιζόμενος, καὶ περὶ ἐμαυτῷ δεδιὼς, νῦν καλοῦντος τοῦ Χάρωνος· πολὺ γὰρ μεταξὺ χειλέων καὶ κύλικος, καὶ πείθει γε

τὴν ἐκείνου ἐν λόγοις τελείαν κατάρτυσιν· ἐκεῖνος δὲ ἐς δόξαν ἐμήν· ἢ γέρων ἀνὴρ διὰ τὸ τῆς ἡλικίας φιλότιμον περικνίζεται μάλιστα, περὶ πλείονος αὐτὴν καὶ τῶν τοῦ Κροίσου ποιούμενος θησαυρῶν. Ἔῤῥωσο.

*Κωσταντᾷ.* (246.)

Ἡ χελιδὼν ἡμῖν ἤδη τὸ ἔαρ μεμύνηκε, καὶ τὴν τρίτην ἀπὸ ταύτης μέλλομεν ἑορτάσειν τὴν τοῦ Σωτῆρος ἄσπορον σύλληψιν· ἡμέρα δ' αὕτη, ᾗ ὁ νόμος οὐ μόνον πνευματικῶς, ἀλλὰ καὶ σωματικῶς δίδωσιν εὐφρανθῆναι· ἡδονὴ γὰρ χαρᾶς ἀδελφή. Αὔριον τοίνυν (σὺ γάρ μοι δοκεῖς πάντων ὀσφραντικώτατος τῶν τοιούτων γενέσθαι) εἴπῃ ἴδοις κατὰ τὴν ἀγορὰν ἰχθῦς πωλουμένους, πρίω μοι συναγρίδα, ἢ λαύρακα, ἢ ὅ,τι γ' ἄν σοι δόξῃ τῶν πάντων ἥδιστον εἶναι· ἐφεῖται γὰρ τοῖς μὴν' ὅλον ἰχθυοφαγίας ἀποσχομένοις καὶ πρὸς ἡδονήν τι κατὰ ταύτην γε τὴν ἡμέραν γαστρίζεσθαι. Ἔῤῥωσο.

*Γεωργίῳ.* (247.)

Ἀναστάσιος ὁ φιλέταιρος ἐπανιὼν ἀπὸ Ναυπλίου, δείγματα μὲν χάρτου παντοῖα κεκόμικεν· οὐχ εὗρε δὲ οὐδέ γε ἓν εἶδος, ὅσον καὶ ἐπαρκέσαι εἰς ὅλην βίβλον· πέντε δὲ τὸ πλέον πρὸς ταῖς τεσσαράκοντα δέσμας μόνον, ὀγδοήκοντα κόλλας πρὸς ταῖς τετρακοσίαις συμπληρούσας ἑκάστην· καὶ τούτου τὸ τίμημα ὡς ὑπέρπολυ ἔδοξέ μοι, καὶ πολυχρύσου τινὸς ἐκδότου δεόμενον· γροσίων γὰρ τεσσαράκονθ' ἑκάστη δέσμη τετίμηται· τί οὖν ποιητέον; ἐγὼ μὲν ἔγνων ἄρξασθαι νῦν πρῶτον ἀπὸ τῆς Τετρακτύος· τὸ δ' ἐλλιπὲς ἔπειτα ὁ θεὸς, πλούσιος ὤν, παρεχέτω. Ἔῤῥωσο.

θαί ποτε ἔν τε λόγοις καὶ πράξεσι τοῦ καὶ πρότερον πολλὰ ὑπὲρ τῶν κοινῇ συμφερόντων καὶ εἰπόντος καὶ πράξαντος, καὶ νῦν ἔτι εἰς τοῦτ' αὐτὸ ἀφοσιουμένου, μέχρις οὗ τὸν ὑπὲρ γῆς ἀναπνέω ἀέρα. Ἔῤῥωσο.

*Μανουήλῳ.* (250.)

Στάσιν καταπαύειν καὶ ἐν οἴκῳ μὲν χαλεπόν· ἐν πόλει δὲ πολλῷ χαλεπώτερον· ἐν δὲ ὅλῳ ἔθνει, ὧν τὰ πάθη μυριάκις ἐστὶν ἰσχυρότερα, τί καὶ ἂν εἴποιμι, ὅσον δυσδιάλυτον τὸ δεινόν· καὶ γὰρ ἤθ' ἱστορία φθᾶσα τοῦθ' ἡμᾶς διὰ πολλῶν ἐξεπαίδευσε, καὶ νῦν ἔργῳ αὐτὰ διδάσκει τὰ πράγματα· πρὶν γὰρ κατελθεῖν τὸν ἀοίδιμον Κυβερνήτην εἰς τὴν Ἑλλάδα, στάσις καὶ πόλεμος ἦγε καὶ ἔφερε πάντα ἑπτὰ ὅλα ἔτη· ἐν οἷς ἡ μὲν ἤπειρος, λῃστῶν καὶ κακούργων· ἡ δὲ θάλασσα, πειρατῶν καὶ καταποντιστῶν πλήρεις ἦσαν· ὥστ' οὐκ ἦν οὔτ' ἐκεῖ τῆς οἰκίας ἀσφαλῶς προϊέναι, οὔτ' ἐνταῦθ' ἀκινδύνως περαιοῦσθαι ἀπὸ νήσου εἰς νῆσον, καὶ τὸ χείριστον, οἱ αὐτοὶ, χαίρειν εἰπόντες τῷ πρὸς Τούρκους πολέμῳ, ἐπήεσαν ἐκ στάσεως χαλεπῆς ἐπ' ἀλλήλους· οἱ μὲν, ἐκ Ναυπλίου· οἱ δὲ, ἐξ Ἄργους ὁρμώμενοι· πρὶν δ' οὖν ἐλθεῖν ἐς χεῖρας, φθάνει κατελθὼν ὁ Σωτὴρ ἡμέρᾳ μιᾷ ἀπροσδόκητος· θεὸς γὰρ ἤγαγε τὸν ἄνδρα, καὶ τὸ πρᾶγμ' ἔδοξεν εἶναι θαῦμα· ἅμα γὰρ ἐλθὼν, τήν τε στάσιν ἀπέσβυσε, καὶ τὴν ξηρὰν καὶ ὑγρὰν τῶν πολλῶν δεινῶν θᾶττον, ἢ λόγος ἀπήλλαξεν· ὡς δὲ καὶ τἄλλα τραύματα τῆς πατρίδος, τὰ μὲν εὐθὺς ἀκεσωδύνοις φαρμάκοις ἰάσατο, ἔλαιον ἐπιχέας καὶ οἶνον· τὰ δὲ καὶ διανοούμενος ἐν τούτῳ οἱ ἐκ στάσεως καὶ πλεονεξίας προαιρούμενοι τὸν βίον πορίζεσθαι, συνωμόσαντες, ἐτάραττον τὰ πράγματα ἀφανῶς, ψευδεῖς ὑπολήψεις ἐνσπείροντες τοῖς πολλοῖς· ὅθεν ἐκώλυον τὸν ἄριστον ἄνδρα ἀσχολεῖσθαι ἐφ' ἡ-

τὸν κατὰ πᾶσαν τὴν Εὐρώπην Ἡγεμόνων καὶ πολιτικῶν τὰ τῆς πολιτικῆς ἀρετῆς ἀποδέδωκεν ἀριστεῖον· δεῖ γὰρ δὴ τὸν τοῦτο θαῤῥήσοντα πρῶτον μὲν πολλῶν γνῶσιν ἔχειν, καὶ τοῦτ' οὐκ ἐκ μόνης θεωρίας, καὶ ἀναγνώσεως βίβλων τυχὸν, ἀλλὰ κἀν τοῖς πράγμασιν αὐτοῖς ἱκανῶς διατρίψαντα, παρηκολουθηκότα καὶ παρατετηρηκότα ἐκ πολλοῦ τὰ γιγνόμενα, ὅπως ἔσαι δυνατὰ κἀν τῇ φύσει γενέσθαι, καὶ ταῦτ' ἐν ἔθνει, οὗ τὸ μὲν πολὺ, κοῦφον καὶ ἀχαλίνωτον ἐπὶ νεωτερισμῷ· τὸ δὲ ὀλίγον, καὶ φιλοκερδὲς ἐς τὰ μάλιστα· δεύτερον δὲ αὐτὸν τοῦτον ἀπαθῆ εἶναι καὶ ἀδιάφορον ἐς τὸ παντελὲς, ἵνα μὴ ἐκ μίσους, ἢ ἐξ ἀγνοίας προσάψῃ τι κακόηθες τῶν μὴ προσηκόντων τῷ ἱστορουμένῳ μᾶλλον, ἢ ἐξ ἐπιεικείας, καλόν· ἐν γὰρ τοῖς ἐφ' ἑκάτερα ῥέπουσι καὶ ἀπορουμένοις φιλανθρωπότερον, ἢ παραβαλώτερον δεῖ εἶναι τὸν ἱστορικόν. Σὺ τοίνυν καὶ τοῦ πρώτου ἀμοιρεῖς τὸ παράπαν, καὶ τοῦ δευτέρου οὐκ ἂν εἴης ἀνεύθυνος· πόθεν γάρ σοι τοσαύτη πολιτικὴ ἐπιστήμη, ἵν' ἔχῃς καὶ κρίνειν ἔργ' ἀνδρὸς ἐμπειρικωτάτου μὲν τῶν παρόντων, διήκοντος δὲ συνέσει ἐς τὸ μέλλον ἐπὶ μακρότατον, ὁ μηδὲ τὰ ἐν ποσὶν ὁρῶν, ὁμίχλης σοι περικεχυμένης τοσαύτης, διότι οὐκ ἀμφοτέραις ταῖς χερσὶν ἐξέχει σοί τὸ χρυσίον ἐκεῖνος, οὐδ' ἀπολύτως παρεχώρει σοι καταχρῆσθαι τοῖς πράγμασιν, ἐφ' ὧν σε πολλάκις ἐπέστησε; τί γὰρ δοκεῖς; οὐ κρινοῦσιν οὕτω καὶ κατακρινοῦσι τὰ βλάσφημά σου συγγράμματα οἱ πόθ' ὕστερον αὐτοῖς ἐντευξόμενοι; Ἀπέχου, ὦ βέλτιστε, τῆς τοιαύτης παραπλήκτου προθέσεως, ἵνα μὴ τοῦ πάθους ὑπερζέσαντος, ἐξενεχθῇς ἐκδοῦναι, ἃ οὐδέ σοί αὐτῷ ἔπειτα, ἐκπνευματωθέντος ἐκείνου, ἔσονται φορητά· ἐξ ὧν σύ τε αὐτὸς συνειδὼς, αἰσχυνθήσῃ, καὶ οἱ ἐντευξόμενοι ἐροῦσιν ὀρθῶς, ὅτι ἐλογίσθης καὶ σὺ μετὰ τῶν ἀνόμων· εἰ γὰρ γέλως ὀδόντων ἐμφαίνει κατὰ τὸν εἰπόντα τὰ κρυπτὰ τῶν

χανοῤῥάφοι καταλαβόντες τὰ πράγματα, πολὺν ψυχροῦ γεροντίου, ὃς ἐθάῤῥησεν ἑαυτῷ νουθετῆσαι ἄνδρ' ἄριστον, καὶ τοῖς ἀρχαίοις ἥρωσιν ὅμοιον, ὅπως δεῖ τοὺς Ἕλληνας πολιτεύεσθαι, καταχέοντες γέλωτα· τοσοῦτον γὰρ αὐτοῦ φροντιοῦσιν, ὅσον κυναρίου πόῤῥωθεν ὑλακτοῦντος. Ἔῤῥωσο.

*Χριστοδούλῳ.* (253.)

Πέμπτον ἔτος τουτὶ, ἐξ ὅτου ἡ ἐφημερὶς, ὡς ἄριστος οἰωνὸς διαπτᾶσα, ἐξήγγειλεν ἡμῖν τοῖς τότ' ἐν Βουκουρεστίῳ παροικοῦσι τῶν Ζαγοριτῶν, ὃ τηνικαῦτα ἀξίωμα εἴληχας, τῶν πολλῶν πόνων περὶ τὸν κοινὸν ἀγῶνα καὶ τῆς σαυτοῦ ἐς τὰ ἄλλα ἐπιδόσεως ἄξιον. Τοῦθ' οἱ ἀκούσαντες συνεχάρημεν σύμπαντες, ὅτι ἠξίωται καὶ τὸ ἡμέτερον Ζαγόριον συνεισενεγκεῖν τῶν ἑαυτοῦ κατοίκων τὸν ἀξιώτερον εἰς τὴν τῆς ἐθνικῆς βελτιώσεως ἀναμόρφωσιν, ἵν' ἔχῃ τι καὶ καυχήσασθαί ποτε καὶ πρὸς ἄλλους, εἴπου τύχοι. Ἀλλ' οὐχ ἧττον καὶ νῦν, καί τοι συμβάντων μεταξὺ πολλῶν ἀπευχταίων, ἥτε ἰδία καὶ ἡ κοινὴ πατρὶς χαίρει, ὁρῶσα τόν τε φίλον Χριστόδουλον ἀξιούμενον καὶ τιμώμενον ἐν τοῖς πρώτοις, καὶ Κωνσταντῖνον τὸν ἀδελφὸν παρὰ πόδας συνανυψούμενον. Χαίρετέ μοι λοιπὸν ἀμφότεροι, φίλτατοι, ἀεὶ μὲν ἐπὶ τὰ κρείτω προβαίνοντες, ἀσπίδος δὲ βασκάνου καὶ δράκοντος ἐπιβαίνοντες. Ἔῤῥωσθε.

*Τῷ Ῥίζῳ.* (254.)

Ἐν ᾗ νῦν τῶν πραγμάτων κείμεθα καταστάσει οὐδὲν ἡμῖν, οἶμαί γε, προὐργιαίτερον γίγνεται, ἢ τὰ γράμματα· ἐξ ὧν ἡ τῆς ἐθνικῆς ὁλότητος εἴς τε τὴν θρησκείαν, ἠθικήν τε, καὶ τὴν εἰς τὰ ἄλλα ἐπίδοσιν ἐλπίζεται ἀναμόρφωσις· Τούτων οὖν τὴν προστασίαν καὶ πρόνοιαν εἴληχε νῦν γε ὁ σοφός μοι Ῥίζος, σύγ' αὐτὸς ὁ τῶν Ἑλλήνων τῷ γε νῦν εἶναι

εἴρηται πρὸς ἀλλήλους, καὶ μάλιστα περὶ τῶν γραμμάτων, ἐδεήθη μου τελευτῶν ἐλθόντα τήμερον ὡς αὐτὸν, συνδειπνῆσαι· κἀγὼ ἐδεξάμην ἄκων μὲν, ἀλλ' οὖν ἐδεξάμην· τί γὰρ ἂν καὶ πάθοιμι, ἀτόπου ὄντος ἀποποιηθῆναι τὴν πρόσκλησιν. Πυνθάνομαι τοίνυν εἰ καὶ σὺ εἷς ἔσῃ ἐκ προσκλήσεως τῶν συνδαιτυμόνων. Ἔῤῥωσο.

Παναγιώτῃ. (256.)

Φωνὴ ἐλεεινὴ αὐτόθεν ὡς ἡμᾶς διαπτᾶσα, βαρέως τῇ ἀκοῇ μου προσέβαλεν, ὡς τὴν τοιαύτης γυναικὸς ἀποβίωσιν καταγγείλασα· φεῦ τῆς ἀνθρώπου, οὕτως ἀκαίρως ἀγαθόν τε σύζυγον καταλιπούσης, καὶ τέκνα, οἷα μὲν ὄντα, οἵας δὲ ἀποσπασθέντα μητρός! τὸ δὲ τῆς γεραιᾶς αὖθις μητρὸς καὶ τοῦ ἀδελφοῦ πρὸς αὐτὴν φιλόστοργον τίν' ἂν εὕροι παραθυμίαν, εἰ μὴ ὁ ἰατρὸς αὐτὸς, γενναῖος ὢν, ὑπομονῆς τοῖς ἄλλοις παράδειγμα γένοιτο; τί γὰρ καὶ πάθοι τις, τῶν ἀνθρωπίνων, ὡς ὁ Εὔριπος, ῥεόντων καὶ μεταῤῥεόντων; ὁδὸς γὰρ ὁ βίος ἐστὶ πρὸς πεφασμένον τέρμα· ἡδὲ, μεστὴ ἀκανθῶν· ἃς ὁ μὲν διαδραμὼν, ἀπηλλάγη· ὁ δὲ προσανύτων, ὅσῳ περ ἔλαττον τυγχάνει διηνυκὼς, τοσούτῳ γ' ἐστὶν ἀθλιώτερος, κεντούμενός τε, καὶ σπαραττόμενος· Διπλοῦς τις ἄρ' ὁ θάνατος πέφυκεν, ἡδύς τε, καὶ πικρός· ἐκεῖνο μὲν τοῖς ἀπελθοῦσιν, ὡς ἀπαλλαγὴν αὐτοῖς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ χρηστότερα ὑπισχνούμενος· τοῦτο δὲ, ὡς κέντρον θανάσιμον τοῖς ὑπολειπομένοις τῶν συγγενῶν ἐπαφιείς. Οὔκουν δακρυτέον ἐκείνους, ἀλλ' ἐφ' ἡμῖν αὐτοῖς μάλιστα ἀλγητέον, τοῖς τοῦ βίου ἔτι κατατρυχομένοις τριβόλοις. Ῥητέον οὖν ἡμῖν εὐσεβῶς καὶ σωφρόνως, Γενέσθω, ὃ θεῷ μόνῳ φίλον ἐστίν· Ἔῤῥωσο.

τέλειον χριστιανὸν εἰς ἑτέραν μακαριότητα, τὴν ἀγήρω καὶ κρείττω, τὴν νῦν μὲν ἐν ἐλπίσιν ὑφισταμένην, μετὰ δὲ ταῦτα ἐν ἀπολαύσει τοῖς ὀρθῶς ἐλπίσασιν ἐσομένην. Ἔῤῥωσο, τὰ τοιαῦτα μηδὲν ἡγούμενος, ὡς ἐπὶ σκηνῆς προσώπων μεταβολὰς, πρὸς ἓν ἀφορῶν ἐκεῖνο, τὸ ἀγαθὸν καὶ ἀκήρατον.

*Τῷ Ἡγεμόνι ἐλπιζομένῳ.* (258.)

Θαρσύτωσαν τοῦ πεδίου τὰ κτήνη, ὅτι ἐβλάστησαν ἔρημον πρωΐμου καὶ ὀψίμου ὑετοῦ ἐπικαταβάντος. Οὕτως ἀπὸ τῆς προφητικῆς προιμιάζομαι σάλπιγγος. Ἑλλὰς γὰρ ἡ πάλαι μὲν Περικλεὴς καὶ περίδοξος, ἐσχάτως δὲ διὰ πολλοῦ ταπεινὴ καὶ μέγα γενομένη ἐρείπιον, τοσούτοις καὶ τηλικούτοις δεινοῖς νῦν τε καὶ πρότερον περιπέπτωκεν, ὥσθ' ὥσπερ ἔρημος ἄνυδρος κατασᾶσα, ἐξηλλίωται ὅλως τὰ πρόσωπα, στεῖρα γενομένη καὶ ἄκαρπος ἡ ποτὲ ὀλβία, πάγκαρπός τε, καὶ πάμφορος ἀλωή· καὶ οὐκ ἔστιν οὔτ' εἰδότα ποτὲ αὐτὴν ἐπιγνῶναι, οὔτ' ἰδόντα νῦν μὴ δακρύσαι. Ἀλλὰ νῦν γε ἀντιπεπονθότι λόγῳ ταῖς ἐλπίσιν ἐπαιρομένη, καὶ οἱονεὶ ἀπὸ κλίνης ἀνεγειρομένη ὀδυνηρᾶς, οὐκ ἔχει ὅπως χρήσηται τῇ χαρᾷ, τῆς Προνοίας ἐπιπεμψάσης αὐτῇ ὑετὸν πρόϊμον, καὶ ὄψιμον ἄνωθεν. Σὲ φημὶ, τῶν Ἡγεμόνων τὸν φέριστον, ὡς σωτῆρα καὶ ἀντιλήπτορα· πρώϊμον μὲν, ὅτι πολλῶν πολλαχόθεν ἡμῖν πρώην ἐν τοῖς κινδύνοις ἐκείνοις γενομένων χορηγιῶν, οὐδ' ὁ Βαυαρικὸς οἶκος ταῖς ἐπιδόσεσι καὶ ἐλευθεριότησι τῶν ἄλλων κατηξίωσεν ἀπολείπεσθαι· ἀλλὰ τῇ προθυμίᾳ καὶ ὑπερέβαλεν· ὃ οὐδ' ὁ πᾶς αἰὼν μέχρις ἂν οἱ Ἕλληνες κατοικοῦσιν ἐλευθέραν ἑστίαν, τῆς τῶν ἐπιγιγνομένων ἐξαλείψεις μνήμης· ὄψιμον δ' αὖ, ὅτι καὶ ἤδη ἐκεῖθεν ὁ ἐξ ἀγαθῆς ῥίζης ἄριστος βλαστὸς ἡμῖν ἀνεβλάστησεν, ὑφ' οὗ τῇ σκιᾷ

τελὲς, εἰς ἄτοπα τελευτᾷ. Ἔα τοίνυν ἀμφοτέρους, οἷς ἑκάτεροι χαίρουσι, χαίρειν, νεωτέρους μὲν εὐθυμεῖν· πρεσβυτέρους δὲ, εὖ φρονεῖν. Ἔῤῥωσο

*Καλλινίκῳ.* (260.)

Ἠλίας μὲν ὁ Θεσβήτης, διπλῆν, ἧς ἔσχε, τὴν χάριν αὐτῷ καταλιπεῖν τοῦ Ἐλισσαίου αἰτήσαντος, οἷον ἐκπλαγεὶς πρὸς τὴν ὑπερβολὴν, ἐσκλήρυνας, ἔφη πρὸς αὐτὸν, τοῦ αἰτήσασθαι· ἐγὼ δὲ πρὸς σὲ, ὃν φιλῶ πλέον ἴσως, ἢ ὁ Προφήτης τὸν ἑαυτοῦ μαθητὴν, τοὐναντίον ἂν εἴποιμι, ἐσκλήρυνας τοῦ χαρίσασθαι· ἃ γὰρ τυγχάνεις δεξάμενος παρὰ τῆς φιλοςόργου μητρὸς, οἶνον, δίπυρον, σῦκα, κάρυα, ῥοιὰς, πόπανα, ταῦτά μοι πάντ' ἀθρόα ἀπέσταλκας, πλέον ἢ κατὰ τὴν ἐμὴν ἀξίαν δαψιλευσάμενος. Χάρις τοίνυν σοι τούτων θ' ἁπάντων, καὶ τῆς πρὸς ἐμέ σου εὐνοίας· ζώη δέ σοι καὶ ἡ σεμνὴ πρεσβῦτις, ἵνα καὶ αὖθις καὶ πολλάκις, μέχρις ἂν μετ' ἀλλήλων διάγωμεν, τῶν τῆς Ἄντρου καλῶν δαψιλῶς ἀπολαύωμεν. Ἔῤῥωσο.

*Ἀνδρέᾳ.* (261.)

Ἄσμενος, ἐδεξάμην τὴν αἴτησιν τῶν βιβλίων, ἢ μᾶλλον εἰπεῖν τὴν ἀπαίτησιν ὡς παρ' ἡμῶν, φίλων ἁπάντων ὄντων. Τῶν δ' οὖν τοῦ Εὐτροπίου, ὡς μὴ ἀρκεσάντων μοι τὴν τῶν φιλοδωρηθέντων μαθητῶν τάξιν διὰ πάσης τιμῆσαι, πέμπω ὑμῖν τῶν τούτου μὲν ἀντίτυπον ἕν· τὸ δ' ἐλλιπὲς, ἵνα πάντες τὸ μέρος ἕκαστος λάβητε, προστίθημι ἐκ τῶν τοῦ Μαξίμου τοῦ Τυρίου καὶ τοῦ Ἡρωδιανοῦ· Δεξάμενοι τοίνυν εὐνοϊκῶς, ἔχετ', ἐντρυφᾶτε, μέχρις ἂν καὶ ἐκ νεωτέρων ἐκδόσεων τοῖς φίλοις χαρίσωμαι· Ἔῤῥωσο.

γὰρ δόξαν τὸ Ἑλληνικὸν ἔδοξεν ἐν ἑπταετεῖ προσπεριβαλέσθαι πολέμῳ, ταύτην νῦν ἀθρόως ἐκ πολλῆς ἐξέχει μανίας, αὐτὸ ἑαυτὸ κεραΐζον, καθάπερ τὰ θηρία· ὥστ' οὐ πόθῳ ἐλευθερίας, οὐδ' ἔρωτι πατρίδος, ἀλλ' ἀπονοίᾳ πραγμάτων καὶ ἀλόγῳ φορᾷ, καὶ ἅ ποτε πέπραχε, πεπραχέναι νῦν παρέσχεν ὑπόνοιαν· διὸ καὶ ἄλλως νῦν φρονοῦντες περὶ ἡμῶν οἱ τὰ πράγμαθ' ἡμῶν ἔξωθεν, ἀναστῆσαι σπουδάζοντες, Ἡγεμόνα μονάρχην κοινῇ ψήφῳ ἡμῖν ἐθέσπισαν εἶναι, Βασιλέα, τοῦτον τῆς Ἑλλάδος, ἀλλ' οὐ τῶν Ἑλλήνων προσαγορεύσαντες, τὴν τοῦ χρῆσθαι τῇ νομοθεσίᾳ κατ' ἰδίαν ἀρέσκειαν κυριότητα ἐπιδαψιλεύσαντες· οὐ γὰρ ἂν ἄλλως ἔχοι ἐν ὄχλῳ καὶ ὑποκώφῳ κατάγε τὸν κωμικὸν γεροντίῳ, πρὸς ὃν καὶ μόνον προσφυέστατον εἴρηται τὸ. Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω. Ἀλλ' ἔλθοι ἡμῖν ὅσον τάχος, ἵνα μὴ τὸ παράπαν ὑπ' ἀλλήλων ἀναλωθῶμεν. Ἔῤῥωσθε, τὰ κράτιστ' ἀλλήλοις φρονοῦντες.

### *Τῷ Μανουήλῳ.* (263.)

Ὦ τὰ ἀνὰ χεῖράς σοι ἐπέθηκα γράμματα, Ἀναστάσιός ἐστιν ὁ Φιλέταιρος, ὁ φίλος μοί ποτε καὶ μαθητὴς καὶ ὑπηρέτης, ἡνίκ' ἐσχολαρχοῦμεν παρ' ὑμῖν, γεγονώς· ὃς καὶ νῦν ἔτι τῆς αὐτῆς παρ' ἐμοῦ εὐπειθείας ἕνεκα τυγχάνει εὐνοίας. Τούτῳ οὖν χρησάμενος δεξιῶς, πεύσῃ παρ' αὐτοῦ τὰ καθ' ἡμᾶς τά τ' ἴδια καὶ τὰ κοινὰ, καὶ ὧν ἕνεκα τοσαύτην ὁδὸν ἐμοῦ ἕνεκα προείλετο ὡς ὑμᾶς διανύσαι. Ἔῤῥωσο.

### Τῷ αὐτῷ. (264.)

Οὐκ ὀρθῶς ἐποίησας, μὴ ἀποδοὺς, ἅ σοι πρώην πρὸς Φηλίτην τὸν ἰατρὸν ἐπέστειλα γράμματα· ἀλλ' οὐδ' ἐκείνῳ

τὸν ποιμένα, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ κατάσχωμεν αὐτοῦ τὴν κληρονομίαν. Ἀποτισάτωσαν τοίνυν νῦν οἱ χοῖροι, ἃ κατέφαγον γίγαρτα. Ἔῤῥωσο.

*Ἀδάμῳ.* (266.)

Ἅμα μὲν τὰ σὰ κομισάμενος γράμματα, τάς τε παιδικὰς ἡμῶν ἀνεμνήσθην διατριβάς, καὶ τὰ ἄλλα τὰ μετὰ ταῦθ' ἡμῖν ἑταιρικῶς γεγενημένα οὐχ ἧττον· ἐξ ὧν οὐχ ἡ τυχοῦσά μοι ἡδονὴ προσεγένετο· φιλεῖ γὰρ πᾶν τὸ ἡδέως γενόμενον, τοῦτ' αὖθις σφοδρότερον τῇ μνήμῃ ποτὲ προσβαλὸν, αὐτὸν ἑαυτοῦ τὸν ἄνθρωπον φαιδρότερον ἀπεργάζεσθαι· ὡς δὲ καὶ κατωτέρω γενόμενος, τὸ λοιπὸν τῆς ἀναγνώσεως προσαπέδωκα, λελύπημαι σφόδρα, ἅτε δὴ νῦν γε μὴ δυνάμενος ἐπαρκέσαι σοι, ἃ κεκέλευσμαι· ὧν γὰρ μέλλω ἐκδώσειν, οὐδέν πω δεδύνημαι, τῶν τυπογραφείων ἀνατραπέντων ὑπὸ τῶν ἐθνοκαταράτων ἀνατροπέων τούτων τε καὶ τῶν ἄλλων καλῶν· ὃς γὰρ τὰ τοιαῦθ' ἡμῖν κατεσκεύαζε, καὶ ἐπεσκεύαζεν, οὗτος ἐγένετο θῦμα φθόνου μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ὡς ἄλλος σφαγεὶς Ζαχαρίας. Τέως δ' οὖν εἴπερ μετὰ μικρὸν γένοιθ' ἡμῖν βελτίω τὰ πράγματα, ὡς ἐλπίζομεν, καὶ φθάσαιμεν τὸ τοῦ βίου τέλος προεκδόντες, ἃ βεβουλήμεθα, τότε δὴ ταῖς τ' ἄλλαις τῶν πόλεων, καὶ τοῖς ἐκ Μελενίκου καὶ μάλιστα, ἅτε δὴ φιλομαθεστέροις καὶ οὖσι καὶ λεγομένοις, ἀποτίσομεν τὸ χρέος καὶ λῷον. Ἃ δέ με κελεύεις ποιεῖν πρὸς τοὺς διαφθείροντας καὶ καταμολύνοντας τὸ τῆς γλώττης καθαρὸν καὶ ἀῤῥενωπὸν ταῖς τῶν ἀλλοκότων καὶ ἑτεροφυῶν ἐπιμιξίαις, ταῦτ' οὔτ' ἐπαυσάμην ποιῶν, οὔτε παύσομαι· ἀλλ' ὄνος λύρας ἀκούει· κοῦφον γὰρ ἡ νεότης καὶ πρὸς καινοτομίαν μάλιστ' ἐπιῤῥεπὲς, καὶ ταῦτα τῶν μὲν καλῶν μετὰ πόνων κτωμένων, τῶν δὲ κακῶν αὐτομάτως ἐπιῤῥεόντων·

τῶν πάντων καταστραφέντων· ἄξιον γὰρ τὸ μελέτημα τοῦτο τῆς σῆς πρὸς ἅπαντας ὑπολήψεως. Ἔῤῥωσο.

### Τῷ αὐτῷ. (268.)

Πόθος ἕλκει με ἀεὶ διὰ τῶν γραμμάτων πρός σε παραγίγνεσθαι· καὶ διὰ ταῦτα καὶ ὑπὲρ τὸ εἰκὸς περιϊὼν, ἐπιζητῶ πρὸς τοῦτ' ἀφορμάς· τὸ γὰρ φιλητικὸν, ᾗ φησι Πλούταρχος, ἐστὶν ἀπερίσπαστον· φιλῶ δ' οὖν ἔγωγε καὶ τιμῶ οὐδένα μᾶλλον, ἢ ὃν καὶ Μοῦσαι καὶ τύχη ἐφίλησαν καὶ τιμῶσι, Ῥίζον τῶν καθ' ἡμᾶς τὸν τιμιώτατόν τε καὶ φιλανθρωπότατον. Αἰτία δὲ τοῦ γράφειν ταῦτα αὐτὸς οὗτος ὁ τὰ γράμματα δοὺς, εἷς τῶν ἐμῶν τῶν κατὰ τὴν Βλαχίαν διατριβόντων· ὃς τρίβων ὢν γραμματικῆς, ποιητικῆς τε, καὶ ῥητορικῆς, οὐδὲ τῆς φιλοσοφίας αὐτῆς, ὅσα γέμοι ποτὲ πεπόνηται μάλιστα, ἀνήκοος τυγχάνει γ' ὤν· ἐν δ' ἀριθμοῖς καὶ τοῖς ἐκ τῆς γεωγραφίας καλοῖς καὶ ἔργῳ ἐγένετο δόκιμος· ἔςι δ' οὖν οἷος καὶ ἐν γραφείοις εὐδοκιμῆσαι. Τούτων οὖν συνιστὰς τῇ σῇ προστασίᾳ, οὐδὲν ἄτοπον δοκῶ μοι ποιεῖν, τῷ σῷ τρόπῳ ὑποθέσεις εἰσάγων φιλοτιμίας. Εἰ οὖν τύχοι πῃ, καὶ ὁποτέρως, συνίστα τὸν ἄνδρα· ὁ δὲ ἔσται, ὡς εἰκὸς, καὶ ἐπιδαψιλεύων τῷ συστήσαντι τὴν εὐγνωμοσύνην· τὸ γὰρ εὖ πάσχον μνημονικὸν ἀεὶ ἐν πολλοῖς πέφυκε γίγνεσθαι. Ἔῤῥωσο.

### *Μανουήλῳ.* (269.)

Ἐπέςη ἄρ' ἡμῖν ὁ καιρὸς, καθ' ὃν ἠμέλλομεν, πάντων ἀπαλλαγέντες τῶν δεινῶν, ἐλευθέραν καὶ σωτήριον διάξειν ἡμέραν· ἰδοὺ γὰρ ἡμῖν ὁ Βασιλεὺς, τοῖς πράγμασιν ἐπιςὰς, κρίμα παρὰ τοῦ θεοῦ καὶ δικαιοσύνην, ὥς ἥγ' ἐλπὶς ἡμᾶς ὑποσαίνει, περιεζωσμένος, καὶ τοὺς οἴακας παραλαβὼν τῆς ἀρ-

χουσιν· εἰ δ' ἄλλος ἄλλα φρονεῖ, τὸ ἑαυτοῦ ἕκαστος, ὅπως βούλοιτο, οὐδὲν θαυμαστὸν, εἰ καὶ χείρω τῶν πρώτων τὰ δεύτερα ἔσοιτο. Ἔῤῥωσο.

*Φρασικλεῖ.* (271.)

Πολλὰ πολλῶν καὶ λεγόντων καὶ ἐλπιζόντων πραχθήσεσθαι ἡμῖν ὑπὸ τῆς Ἀρχῆς, καὶ τούτων ἄλλ' ἄλλων θαυμαζόντων καὶ ἐπαινούντων, εἴγ' ἔχεται ἀληθείας, ἐπήνεσα μάλιστα, ὅτι καὶ παῖδες Ἑλλήνων τινὲς ἀποσταλήσονται ἐκ δαπάνης βασιλικῆς εἰς τὴν φιλόμουσον καὶ εὐδαίμονα Βαυαρίαν, τάτ' ἄλλα καλὰ ἐκεῖθεν εἰς τὴν ἑαυτῶν κατακομισόμενοι, καὶ δὴ καὶ πρὸς πορισμὸν ἐπιστήμης, ἵν' ἐπανελθόντες, μεταδῶσι καὶ τοῖς ἄλλοις τῶν καλῶν ἀγωγίμων. Τούτων οὖν οὕτως ἐχόντων, προτετελεσμένους τῇ καθ' ἡμᾶς παιδείᾳ δεῖ εἶναί γε τοὺς πεμφθησομένους, ἵνα τάχιον καὶ ἀπ' ἐλάττονος ἀναλώματος, ὡς εἰκὸς, πολυμαθέστεροι αὐτοὶ εἰς τὴν ἑαυτῶν ἐπανέλθοιεν. Τούτων δὲ οὐδένας ἂν εἴποιμι μήτ' ἀξιωτέρους, μήτε προτιμοτέρους εἶναι τοῖν δυοῖν νεανίαιν, οὓς ὡς πέμπτον γε μάλιστα τοῦτο ἔτος ἤδη ὁμωρόφιόν μοι γεγενημένους, γινώσκω καὶ ἤθει καὶ τῇ ἄλλῃ παιδείᾳ, ὧν τινων ἂν εἴπῃ τις, πολλῷ διαφέροντας· διελθόντες γὰρ ὑπ' ἐμοὶ τοὺς πλείστους τῶν πρώτων συγγραφέων καὶ ποιητῶν διὰ πάσης γραμματικῆς ἀκριβείας, οὐδὲ τὴν τῶν ἀρχαίων παρημέλησαν γλῶσσαν, μὴ οὐχὶ κατά τε κανόνας καὶ ἰδίωμα ταύτην γράφειν· εἶθ' οὕτως ἀκούσαντες αὖθις ὑπ' ἐμοῦ ῥητορικὴν, λογικὴν, μεταφυσικὴν, καὶ ἠθικὴν, καὶ φυσικὴν, προσφοιτήσαντες τελευταῖον, εἰς τὸ κεντρικὸν Γυμνάσιον ἄλλατε πολλὰ διήκουσαν τῶν ἐπιστιμῶν, καὶ τῆς Λατινίδος καὶ Γαλλίδος ἐγένοντο ἐγκρατεῖς· ὡς δὲ τοιοῦτοι εἰσὶν, ἀξιῶ πιστεύεσθαι παρ' ἀνδρὸς, οἷος ὁ σοφός ἐστι Φρασικλῆς. Ἐπεὶ τοίνυν ἡ τύχη, καλῶς

δετε ἀφελεῖν τῷ μερικῷ τὸ καθόλου, καὶ τῷ ἐλάττονι τὸ μεῖζον, ᾧ καὶ ὑπὲρ τὸ μεῖζόν τι ἐποφείλεται; Ποῦ ποτε τοῖς Ἕλλησι νῦν τὸ εὔγνωμον οἴχεται; ἢ παρ' αὐτὸν μὲν τὸν καιρὸν, καθ' ὃν ἂν εὖ πάθωσι, διηρκόσι διακηρύττουσι τὰ γιγνόμενα στόμασι· παρελθόντος δὲ τούτου, ἐοίκασι τοῖς ἐπὶ τῆς σκηνῆς κωφοῖς προσωπείοις, καὶ συμπαροίχεται αὐτοῖς καὶ τῆς εὐποιΐας ἡ μνήμη; καὶ τίς ταῦτ' ἀκούων, οὐ μέμψεται; τίς οὐκ ἀλγήσει; νῦν δὲ καὶ θαυμάζειν ἐπέρχεταίμοι, ἐπειδὰν ἐπιβάλω τῇ διανοίᾳ εἰς τὰ πάλαι ποτὲ παρ' αὐτοὺς τοὺς κινδύνους πραττόμενα παρ' ὑμῶν· ὁπότε γὰρ οἱ παμμεγέθεις τῶν τυράννων ςρατοὶ τῆς τῶν Ἑλλήνων μαχαίρας ἐγίνοντο παρανάλωμα· ὁπότε τὰ ὑπερύψηλα τείχη ἄλλ' ἐπ' ἄλλοις ὑπέκυπτον τῇ προσβολῇ τῶν ἡμετέρων Ἡρώων, καὶ τὰ δίκροτα πλοῖα τῶν ἀλαζόνων ἐχθρῶν ἐκρηγνύμενα, διελύοντο σὺν ἐκπλήξει τῶν ἐθνῶν εἰς τὴν ἀτμοσφαίραν, τόθ' ὑμεῖς ἔν τε τῷ Ἀρείῳ Πάγῳ, κἀν τοῖς ἐκκλησίαις ἁπάσαις ἐψηφίζεσθε πύργους ἀνεγείρειν αὐτοῖς ἐν Μεσολογκίῳ· νῦν δὲ οὔτε τούτων φροντίζετε, οὔτε εἴτι ποτὲ Μεσολόγκιον γέγονε πρόμαχον τῆς ἐλευθερίας, ἔχετε διὰ μνήμης· οὕτω πάντ' ἐκεῖνα ἦν κρότος κενὸς, πομφόλυγες πεφυσημέναι, καὶ νῦν μικροῦ ἀντιπνεύσαντος πνεύματος, αὗταί τε συνεξεῤῥάγησαν, καὶ οἱ λόγοι οἱ κομψοὶ τῆς μνήμης ὑμῶν παντάπασιν ἐξεῤῥύησαν· ποῦ γὰρ εἰσὶ τὰ τοῦ Βοσσάρεως καὶ Καραΐσκου τῶν γενναιοτάτων στρατηγῶν κενοτάφια ἐπὶ τῆς γῆς αὐτῆς, ἣν τῷ σφῶν αὐτῶν κατέκλυσαν αἵματι, καὶ ἐφ' ἧς νῦν μονονουχὶ φωνὴν ἀφιέντες ἀπὸ τοῦ ᾅδου, ἀπαιτοῦσι παρὰ τῶν ζώντων ἡμῶν, ὑπὲρ ὧν τυγχάνουσι τεθνηκότες, τοῦ θανάτου τὰ ἀριςτεῖα, ἵνα καὶ ξένοι ποτὲ ἰδόντες, ἐπιδακρύσειαν τυχὸν περιόντες, ὥσπερ ἐν Θερμοπύλαις ποτὲ ἐπὶ τοῖς τριακοσίοις ὁ νέος Ἀνάχαρσις; Ἀλλὰ ταῦτα νῦν παρῆλθον εἰκῇ ἐν ἐλαχίστῳ

ἀναγέννησιν· ἀλλ' ὃ καταβάλλεται πρῶτον σπέρμα, τοῦτ' ἀναδίδωσιν ἀγνωμοσύνην καὶ βασκανίαν τοῖς φυτουργοῖς· ἃ δ' ὑμνεῖθ', ὁπότ' ἐπάσχομεν εὖ ὑπ' ἐκείνων, ὄνειρος ἦν πάντα ἄντικρυς καὶ ἀπέπτη, καὶ νῦν ἀναμνῆσαι λῆρος πλατύς· τὸ δὲ περιμάχητον ἓν καὶ μόνον ἡ σπουδαρχία· καὶ πολὺ τὸ, ὅστις θέλει μετ' ἐμοῦ εἶναι, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν ςαυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι, οὕτως ἀπὸ τῶν ἱερῶν ἐπὶ τὰ μιαρὰ παρῳδούμενον. Ἀλλὰ πρὸς τί ταῦτα τὰ σεμνὰ, εἴποις ἂν, καὶ ἀπότομα; ἐγὼ μὲν τόγ' ἐπ' ἐμοὶ βεβοήθηκα τῇ πατρίδι, καὶ πάνοπλος κατὰ τὸν γηραιὸν Νομοθέτην ἐκεῖνον πρὸ τῆς θύρας ἱστάμενος, γράφω τὸ ψήφισμα τοῦτο, συνῳδὸν μὲν τοῖς πάλαι, οὐκ ἀπᾷδον δὲ καὶ νῦν, ἃ οἱ Ἕλληνες χθὲς μὲν ἐψηφίζοντο ἐν τῇ Βουλῇ, σήμερον δὲ ἀποψηφίζονται ἐν ταῖς καφενίτισι λέσχαις, οὐδὲ μέμνηνται τὸ παράπαν, τίποτ' αὐτοῖς εἴρηται· ὑμεῖς δὲ λαβόντες, πράττετε ὅ,τι βούλοισθε. Ἔρρωσο.

*Ψήφισμα.* (237.)

Ἐπειδὴ ὁ ἀοίδιμος Ἀδαμάντιος Κοραῆς, ἀνὴρ ἀγαθὸς καὶ εὔνους τοῖς Ἕλλησι γενόμενος ὅτι μάλιστα, διετέλεσε τὰ ἄριστα αὐτοῖς εἰσηγούμενος, καὶ βίβλους τῶντ' ἀρχαίων καὶ τῶν νεωτέρων ἐκδιδοὺς, καὶ οἰκείοις ἀεὶ στοιχειῶν αὐτοὺς πρὸς βελτίωσιν τῶν πραγμάτων σοφοῖς παραγγέλμασιν, ἐπί τε παιδείαν κινῶν, καὶ σχολεῖα ἀνεγείρειν παντίως παρακαλῶν, καὶ εἰς ὁμόνοιαν συνάγων τὸ στασιάζον πρὸς τὸ κοινῇ συνοῖσον, καὶ ἄλλ' ὅσα λόγῳ συντόμῳ περιλαβεῖν οὐ πάνυ τι ῥάδιον, διὰ τοῦτο δεδόχθω τοῖς Ἕλλησι τιμῆσαι τὸν ἄνδρα κενοταφίῳ παρὰ τῷ τοῦ Θησέως νεῷ Ἀθήνησι δημοσίᾳ ἀπὸ δραχμῶν δισχιλίων. Τὸ δὲ ψήφισμα ἐξεῖναι καταγράψαι παρὰ τῷ τάφῳ ἐπὶ στήλης λίθου λευκοῦ, ἵν' ἴδωσιν ἅπαντες, ὅπως ἡ Ἑλλὰς τοῖς ἀξίοις τοὺς εὖ

*Μιχαλίδῃ* (275.)

Τετάρτῳ μηνὶ, ἐξ οὗ γέγραπται, μόλις χθὲς τὰ σὰ κομισάμενος γράμματα, ἥσθην, τὴν σὴν περὶ τὴν ἰατρικὴν τέχνην φιλοτιμίαν καὶ φιλομάθειαν μαθὼν ἐξ αὐτῶν· καί τοι πρότερόν ποτε ὁ αὐτὸς οὐκ ἐπέτρεπόν σοι, τῷ διδασκαλικῷ ἐπαγγέλματι, οὗ χρεία πλείστη ὅση νῦν τοῖς Ἕλλησι γίγνεται βουλόμενος παραμεῖναί σε· πρὸς τοῦτο γάρ σε ἐξ ἀρχῆς ἐξεπαίδευον. Ἐπειδὴ δὲ νῦν καὶ ἐν Ἀσκληπιάσι διαπρέπειν πεφιλοτίμησαι, τύχῃ ἀγαθῇ χώρει πρὸς τὸ σκοπούμενον, ἐπίτασιν κἀντεῦθεν τῇ ὑπαρχούσῃ σου ἕξει δαψιλευόμενος· ἐκεῖνο δὲ εἰδέναι σε χρὴ, ὡς τοσοῦτοι εἰσὶ παρ' ἡμῖν ἰατροὶ, ὥστε μονονουχὶ περιόντες, καλοῦσι τοὺς νοσοῦντας, εἴτινες εἶεν, ἐλθεῖν ὡς αὐτούς· διὸ δεῖσε οὐ μόνον ἰατρὸν ἐμπειρότατον ἡμῖν ἐκ Παρασίων, ἀλλὰ καὶ ἄριστον ἀναφανῆναι διδάσκαλον, ἵν' ἀμφιδεξίου οὕτω σοι τῆς τύχης γεγενημένης, οὐ μόνον ἰατρὸς, ἀλλὰ καὶ ἰατροδιδάσκαλος εἴης·

• Ἀμφότερόν τ' ἀγαθὸς βασιλεὺς, κρατερός τ' αἰχμητής.

Ὅσον δὲ περὶ πόρου χρημάτων ἔσται σοι παρ' ἐμοῦ μετὰ δύο ἔτη χρυσᾶ, εἴγε περισσεύσειαν, ἑκατόν· νῦν γὰρ περὶ ἕτερα ἄττα ἐνασχολούμενος, ἐν τούτοις τοὐμὸν καταδαπανήσω φιλότιμον. Ἔῤῥωσο.

*Τῷ Ῥαδιούργῳ* (276.)

Οὐδεμία ἀτοπία εὐπροσώπου ἀπολογίας ἠπόρεσε πώποτε· οὕτως οἱ ἁμαρτωλοὶ τῆς γῆς, ἐν οἷς ἁμαρτάνουσιν, ἀποσεμνύνονται· ἀκούω γάρ σε καὶ ἐπαινεῖσθαι ἐν ταῖς ἀτόποις ἐπιθυμίαις, ὅτι συνέπραξας διαλῦσαι τὸ τῶν Ὀρφανῶν καταγώγιον· ὅπερ οὐδ' οἱ βάρβαροι πράξαντες ἂν καυχήσαιντο· εἶτ' ἐπιφέρων καὶ τὴν αἰτίαν, ἐπιβλαβὲς φὴς εἶναι τοῖς Ἑλ-

οὐκ ἐκ τοῦ κοινοῦ θησαυροῦ εἰς τὰ κοινὰ, κἀκεῖθεν αὖ πάλιν ἔμπαλιν εἰς ταὐτὸν, καθάπερ τὸ αἷμα ἐκ τῆς καρδίας ἐς τὰ τοῦ σώματος μέλη, κἀκ τούτων αὖθις ἐξ ἀναδρομῆς ἐπάνεισιν εἰς ἐκείνην; ὅπερ εἴτις ἐπίσχοι, αὐτὸ τὸ ζῆν ἀφαιρεῖ. Σὺ δ', ὅπως εἰδῇς, ὅσον ἑκὼν ἐξαπατᾷς σεαυτόν τε καὶ ἄλλους, σκόπει μοι τὴν φύσιν αὐτὴν, ὅπως τοῖς κοινοῖς ἀναλώμασι τὴν τοῦ ὅλου σώματος ὕπαρξιν διασώζει· ἃ γὰρ ἀπὸ πάντων ἐν μέρει καταναλίσκειν δοκεῖ, τούτοις τῷ συνόλῳ παρέχει τὸ ἀεὶ συνυφίστασθαι· καὶ οὐθ' ἁπλῶς, οὔτε πῇ ἐκ τούτου βλάβος οὐδέν· οὔτε γὰρ ἡ χέρσος, οὔθ' ἡ ὑγρὰ, τῶν ὑδάτων ὑπὸ τῆς τοῦ ἡλίου ἀναφερομένων ἀκτῖνος, μειονεκτήσει· οὔτ' αὖ πάλιν τῶν νεφῶν ἐν μέρει καταῤῥαγέντων, ὁ οὐρανὸς ἄνικμος ἔσται· οὔτε μὴν τἄλλα ζῶά τε καὶ φυτὰ, ὡς ἐν μακρᾷ τῇ ἠπείρῳ, γιγνόμενά τε καὶ ἀπογιγνόμενα ἐν διηνεκεῖ τῇ ῥοῇ ἐλαττοῦται· ἀλλὰ τοῦ ὕδατος, ὥσπερ ἐπὶ ζώου τὸ αἷμα, κυκλοφοροῦντος, αὐτά τε ταῦτα καὶ φύσει καὶ ποιότητι καὶ ποσότητι ταὐτὰ διαμένει, καὶ ἡ γῆ ἀρδευομένη, καὶ πιαινομένη, μυρίων ἀγαθῶν τοῖς ἀνθρώποις πρὸς τὸ ζῆν ἀφθονίαν παρέχεται. Ἐκ δὴ τούτων συνειδείης ἂν, εἰ ἐθελήσειας συνειδέναι, ὅτι οὐκ ἔρως πατρίδος ἐστὶ τὸ παρὰ σοῦ πεπραγμένον, οὐδὲ πρόνοια τῶν κοινῶν· πῶς γάρ; ἀλλὰ φθόνος καὶ βασκανία ἄντικρυς τὸ πλημμέλημα· ὧν σε ὁ ἀγαθὸς ἀπαλλάξειε Σαβαὼθ, ἵνα μὴ καὶ ἄλλα τοιαῦτα ἀγαθὰ ποιήσῃς τοὺς Ἕλληνας. Ἔῤῥωσο·

Ἰωάννῃ. (277.)

Λόγος συχνὸς αὐτόθεν, ὡς ἀπὸ μητροπόλεως εἰκὸς, ταῖς ἀκοαῖς ἡμῶν ἐνηχεῖ περὶ τῆς τοῦ Καταγωγίου τούτου τῶν Ὀρφανῶν καταλύσεως, τῶν μὲν καλῶς, τῶν δὲ μὴ καλῶς

τοῖς τε ἐπέστησα τοὺς διδάξαντας, κἀγὼ ἐθελοντὴς παραλαβὼν τοὺς προβεβηκότας, ἐπαίδευον. Οὕτως οὖν τὸ τέταρτον ἔτος ἑξῆς ἀγόμεναι, ἐς τοσοῦτον ἐπεδίδοσαν, ὥσθ' οἵτε οἰκοῦντες καὶ παροικοῦντες τὴν νῆσον ταύτην, ἐῶντες χαίρειν τὰς ἄλλας διατριβὰς, ἡδέως συνέθεον καθ' ἑκάστην Κυριακὴν διακούειν τῶν μαθητῶν μελέτας τινὰς ἀπαγγελόντων, καὶ πρὸς ἀλλήλους διαγωνιζομένων πρὸς φιλοτιμίαν, τίς τίνα παρευδοκιμήσῃ· κἀν τούτῳ κρότος μὲν πολὺς ἦν, καὶ ἡ φήμη πανταχοῦ διεφοίτα· ἀλλ' οὐχ ἧττον ἐνεφύετο φθόνος καὶ βασκανία· ἃ, ὡς ἐν πονηρᾷ διοικήσει φιλεῖ, ἐπεκράτησαν· ψήφῳ γὰρ τοῦ Γραμματέως καὶ πέρυσι μὲν ἑκατὸν τῶν μαθητῶν ἐξωσθέντες οἱ πρῶτοι, ἀπῄεσαν ἄλλος ἄλλοσε, ἐλεεινῶς ἀποζήσοντες, ὅπῃ τύχοι, καὶ νῦν δ' αὖθις, καταστάσης τῆς βασιλείας, ἕτεροι ἑκατὸν ἀπελήλαντο, συμπαραλυθέντων αὐτοῖς καὶ τῶν διδασκάλων, πλὴν ἑνὸς τοῦ ἐσχάτου· Οὕτως οὖν ἔσχε τὰ καθ' ἡμᾶς· τὸ γὰρ πραττόμενον παρ' ἡμῶν μέγ' ἦν πρόσκομμα τοῖς μὴ ἀνεχομένοις ἀντιβλέπειν πρὸς τὰ ἔργα τοῦ Κυβερνήτου· καί τοι εἰ προφάσεως εἴχοντο οἱασοῦν διαλῦσαι τὸ πρᾶγμα, ἀλλὰ γοῦν ἔδει εὐπρεπέστερον τοῦτο ποιεῖν, εἰ μὴ παντάπασιν ἐλύσσων τῷ φθόνῳ· ἔδει γὰρ παρατεῖναι τὸν χρόνον ἔτι μικρὸν εἰς διετίαν, ἐν ᾧ ὡσεὶ διακόσιοι τῶν μαθητῶν ἤμελλον ἔσεσθαι ἐγκρατεῖς πάντων τῶν ἐγκυκλίων· ἀλλ' ἐν τούτῳ βάσκανος ψῆφος, ὡς χάλαζα ῥαγδαία, ἐπὶ τοὺς καρποὺς ἐπισκήψασα, διέλυσε τὸ πᾶν συναφελοῦσα καὶ αὐτὰς τὰς ἐλπίδας. Τέως δ' οὖν οὐκ ἀποροῦσιν εὐπροσώπων ἀπολογιῶν οἱ τὰ τοιαῦτα μηχανησάμενοι· ὁ γὰρ δημόσιος, φασὶ, θησαυρὸς, ἀφ' οὗ οἱ παῖδες ἐτρέφοντο, χρημάτων ἐστὶ κενὸς τὸ παράπαν· καὶ πολὺ τὸ, τί δεῖ γραμμάτων πένησι παιδαρίοις· καὶ ἄλλο ἄλλον προσφέρουσι λῆρον· ἀλλὰ τίς ἀτοπία γέγονε πώποτε,

» Τί φής; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;

Οὐ γάρ τοι δώσω, φιλῶν τὸν ἐμὸν Μενοικέα· οὐ δώσω, οὐδ' εἰ δέκα πόλεις διαφθαρεῖεν· ταῦθ' ὁ πατήρ· ἀλλ' οὐχ οὕτως ὁ παῖς, ἀλλ' αὐτὸς ἑαυτὸν προσφέρει θῦμα τῇ πατρίδι γενέσθαι, ὁ εἷς ὑπὲρ πάντων

» . . . . . . . . . . » Εἶμι καὶ σώσω πόλιν.
» Ψυχήν τε δώσω τῆς δ' ὑπερθανεῖν χθονός.

Τί δ' ἡ Ἀγαμεμνονὶς ἐν Αὐλίδι; οὐχ ὑπερέλαβε κἀκείνους τὴν φύσιν, ἑκοῦσ' ἐλθοῦσα ἐπὶ θυσίαν; καὶ τίποτ' ἔφη;

» Ἡ δ' ἐμὴ ψυχὴ, μί' οὖσα, κωλύσει τάδε;
» Οὐ δῆτα· δίδωμι σῶμα τοὐμὸν Ἑλλάδι·
» Θύετ', ἐκπορθεῖτε Τροίαν,

Οὕτως ἡ πρὸς τὴν πατρίδα ἀγάπη, καθαρὰ μὲν προκύπτουσα, ἀπροφάσιςος καὶ ἀνένδοτος ὅλως ἐςὶν, ὑπερόπτις μὲν τῶν ἰδίων, ὑπέρμαχος δὲ τῶν κοινῶν· κίβδηλος δὲ, μέχρι λόγου μόνου κομψεύεται, ἐξαπατῶσ' ἀεὶ τοὺς τυχόντας πρὸς τὸ ἴδιον κέρδος· καί τοι τὸν τοιοῦτον ἔρωτα χρὴ ἴσην δύναμιν ἔχειν τῇ τοῦ πατριάρχου Ἀβραὰμ πίστει· ἣν οὔτε τὸ μονογενὲς, οὔτε τὸ φιλόστοργον, οὔτε τὸ τῆς ἀπαιτήσεως σκληρὸν, ὡς πιςεύεται, ὑποσαλεῦσαι δεδύνηνται· τοιοῦτον δέ τινα γενέσθαι τῇ πατρίδι ἀμήχανον, εἰ μή τις κρείττων γένοιτο τῶν παθῶν, ὑφ' ὧν ἑλκόμενος ὡς ἀπὸ ῥινὸς, λέγει τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· τηνικαῦτα δὴ οὐδὲν δεινὸν ἂν εἴη καὶ τὸ ἀποθανεῖν ὑπὲρ τῆς κοινῆς ὠφελείας· ὑπὲρ ἧς πίνει μὲν τὸ κώνειον ὁ Σωκράτης, ἐξοστρακίζεται δ' Ἀριστείδης· καί τοι καὶ τοῦτον ἴσμεν πῇ ἐνδιδόντα τῷ φθόνῳ, καὶ ἀντειπόντα πρὸς τὸν ἀντίζηλον οὐ καλῶς· διὸ καὶ λωφήσαντος τοῦ πάθους οὐ πολλῷ ὕστερον, συναισθόμενος ἐλε-

τοὺς Βασιλεῖς, τὰ μὲν ὡς παρὰ τῶν συνισταμένων παίδων πρὸς τὸν ἡμέτερον Ἄνακτα, τὰ δὲ ὡς παρ' ἐμαυτοῦ πρὸς τὸν εὐκλεέστατον αὐτοῦ μὲν πατέρα, ἡμῶν δὲ προστάτην καὶ εὐεργέτην. Εἴη δ' οὖν ἡμῖν διὰ σοῦ τυχεῖν, οὗ στοχαζόμεθα, ᾗ καὶ τῷ θεῷ ἔσται φίλον. Ἔῤῥωσο.

*Τῷ Βασιλεῖ Βαυαρίας.* (279.)

Εἰκόνα θεοῦ ἔμψυχον ἔφη τις τῶν σοφῶν τὸν βασιλέα εἶναι· τοῦτο δὲ οὐ μᾶλλον, οἶμαι, διὰ τὸ προνοητικὸν, ἢ καὶ τὸ εὐεργετικόν· ὃ καὶ μᾶλλον ὅμοιον θεῷ τὸν ἄνθρωπον ἀπεργάζεται. Ἐν τούτῳ τοίνυν ἄλλος ἄλλον σπεύδει παρευδοκιμῆσαι, ᾗ ἕκαστος προαιρέσεως ἔχοι· σὺ δ' ὑπερῆρας πάντας, φιλανθρωπότατε βασιλεῦ, καὶ μάλιστα πρὸς τοὺς Ἕλληνας ἐνδεικνύμενος τοῦτο· ἄλλα τε γὰρ πολλὰ ἐν καιροῖς πολλῶν κακῶν συνέχειαν ἔχουσιν αὐτοὺς εὖ πεποίηκας· καὶ δὴ καὶ Ναὸν αὐτοῖς παρὰ τῷ σαυτοῦ θρόνῳ ἀνήγειρας, ἐφ' ᾧ οἱ ἐπὶ θήρᾳ φιλοσοφίας τῶν ἡμετέρων προσφοιτῶντες αὐτόσε, τά τε καθήκοντα σφίσι τῷ θεῷ ἀποδιδοῖεν, καὶ τῶν ἐπιστημῶν αὐτῶν γίγνοιντο ἐγκρατεῖς. Ταῦτ' ἀρεταὶ Βασιλέως, ταῦτ' ἐπαίρουσι τοὺς εὖ πάσχοντας οὐρανίους σοι τὰς ἀμοιβὰς ἐξαιτεῖσθαι· καὶ εἴης ἡμῖν ἐκεῖθεν ὑγιαίνων τε καὶ φρουρούμενος εἰς καύχημα μὲν τῶν εὐδαιμόνων Βαυαρῶν, σέμνωμα δὲ πρὸς καταφυγὴν ἡμῶν τῶν ταλαιπώρων Ἑλλήνων. Βασιλεῦ, ὁ Βασιλεὺς μὲν ἡμῶν, σὸς δὲ περικλεὴς παῖς, τάτ' ἄλλ' εὐτυχὴς ὢν, καὶ παρὰ πάντων τῶν ὑπηκόων αὐτῷ εὐνοούμενος, ἅμ' ἐπιβὰς πρώην τῆς φίλης ἡμῶν πατρίδος, καὶ ὡς ἔχει ἡμῖν τὰ πράγματα, γνοὺς, τὸ πλεῖστον τῆς προνοίας περὶ τὰ σπουδαστήρια τῶν νέων τυγχάνει ποιούμενος, μηδὲν ἄλλο τιθέμενος ἔμπροσθεν, ἢ τὰς Μούσας αὐτὰς εἰς τὸν πάτριον ἀνακαλέσασθαι θρόνον. Ἀλλὰ πρὸς τοιαύτας καὶ τηλι-

ἀναγκαζόμεθα καὶ τελειοτέρων μαθημάτων ἀκοῦσαι· τούτου δ' ἄλλῃ πῃ οὐκ ἂν τύχοιμεν ῥᾷον, ἢ ἐν τῇ τοῦ Μονάχου Ἀκαδημίᾳ. Ἐκεῖσε τοίνυν ἡμῖν ἡ ἔφεσις ἀποτείνεται· ἀλλ' ἀντικρούει πρὸς ταῦτα ἡ ἔνδεια ἰσχυρῶς· διὸ ἐκλιπαροῦντες, δεόμεθα τῆς ὑμετέρας Μεγαλειότητος πόρον τινὰ ἐκεῖθεν παρὰ φιλοστόργου πατρὸς, τοῦ εὐκλεεστάτου καὶ γενναιοτάτου τῶν Βαυαρῶν Βασιλέως, οὗ τὸ κλέος οὔποτ' ὀλεῖται, ἡμῖν διαπράξασθαι. Εἴης δ' οὕτως ἡμῖν, εὐμενέστατε Ἡγεμόνων, εἴης ἀντὶ τούτων μὲν ἡμῖν ὄλβιος καὶ τρισόλβιος, εἴης δὲ καὶ κατὰ τὸν Προφήτην ἐπιβαίνων ἀσπίδος καὶ δράκοντος.

## Τῷ ῥᾳδιούργῳ. (281.)

Ἀναγνοὺς, χθὲς ἐν τῇ ἐφημερίδι, ἃ τοῦ ἀοιδίμου Κυβερνήτου κατήμεσας λοίδορα, ἔφην κατ' ἐμαυτὸν τοῦτο δὴ τὸ τῆς Κωμῳδίας,

« Ὡς σεμνὸς οὐπίτρεπος· αἱ κνῆμαι δέ σου βοῶσιν
« Ἰού, ἰού, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.

Εἶτ' ἐπιστήσας μικρὸν, ἐπεβαλόμην ἀνευρεῖν τὴν τῆς λοιδορίας αἰτίαν, δι' ἣν οὕτως ἀνοσίως οὐκ ὤκνησας καθικέσθαι ἀνδρὸς, εἰ μὴ ἄλλο, ἀλλὰ γοῦν τεθνεῶτος, οὐδ' οἶσθα, ὅτι δεῖ ἐᾷν τοὺς νεκροὺς τεθνηκέναι, θάπτειν δ' ἕκαστον τοὺς ἑαυτοῦ νεκρούς· καὶ ἀνευρὼν, ᾠήθην μὴ ἄκαιρον εἶναι ἀνακοινῶσαι τὴν ἰδέαν ταύτην καὶ πρὸς τὴν σὴν σεμνοπρέπειαν· οἴομαι γάρ σε οὕτως ἴσως ἐμέ τε ἐρεῖν μὴ φαῦλον εἶναι τῶν παθῶν ῥιζοτόμον, καὶ σεαυτὸν οὐ σμικρὸν ὠφελήσειν, δεξάμενον τὴν ἀνάπτυξιν· Ἴσθι τοίνυν, ὦ βέλτιστε, ὅτι ἡ ψυχὴ, ἐπειδὰν ἅπαξ, τῆς οἰκείας ἐκπεσοῦσα ἀξίας, ἥττων γένηται τῶν παθῶν, οὐκέτ' ἐστὶν ἑαυτῆς· ἄλλοτε γὰρ ἄλλως ὑπ' ἐκείνων ἐκφερομένη, καὶ κατὰ τὰ ἀνερμάτιστα τῶν πλοίων

Τούτου οὖν οὕτως ἔχοντος, ὁρᾶτε, ὦ βέλτιςοι, ὅπως μὴ ὑπὸ τῶν ἰδίων παθῶν ἐξαγόμενοι, προδῶτε τὴν ἁπάντων τῶν Ἑλλήνων χρηστότητα τοῖς βλασφημεῖν γλιχομένοις· πολλὰ γὰρ ἐν αὐταῖς ἀναγινώσκομεν λοίδορα, πρὸς οὓς ἥκιστα ἐχρῆν σφενδονούμενα· καὶ τὰ περιοδικὰ ταῦθ᾽ ὡς τοιαῦτα, ἀφικνούμενα μέχρι πόῤῥω ἔς τε καὶ ἐπ᾽ αὐτοὺς τοὺς Ἀντίποδας, ὅπως ἔχοιεν ἠθικῶς πρὸς ἑκάτερα, οὕτως ἢ ὡς χρηστῶν, ἢ ὡς φαύλων, καὶ περὶ ἡμῶν κοινῇ διδόασιν ἐκείνοις φρονεῖν· καὶ γὰρ ψυχῆς ἐξηγητὴς ἀξιόχρεως μάλιστα πάντων ὁ λόγος ἐστί. Παύσασθε τοίνυν, ὦ ἄριστοι, δυοῖν θάτερον, ἢ ὡς ἀπὸ κοινῆς γνώμης τὰ τοιαῦτ᾽ ἐκτοξεύοντες λοίδορα, ἢ αἰτίαν τοῖς ξένοις παρέχοντες βλασφημεῖν εἰς τοὺς Ἕλληνας, ἀγρίους αὐτοὺς ἐκ τούτων ἀποκαλοῦντας. Ἔστι δ᾽ οὖν ὁ λόγος οὗτος οὐ πρὸς σὲ, μηδὲ πάθῃς τι μεταξὺ, ἀναγινώσκων τὰ γράμματα· ἀλλὰ πρὸς τοὺς σοὺς ὁμοτέχνους· ὁ γὰρ σὸς Κρόνος (τοῦτο γὰρ ἂν μᾶλλον δηλοίη Χρόνος τοῦ κατάρχοντος στοιχείου τραπέντος, οὐκ οἶδ᾽ ὅπως εἰς τὸ ἀντίστροφον), ὡς πρεσβύτερος ἡλικίᾳ θεὸς, ἀμφοτέρων τῶν ἄλλων εἰκότως διαφέρει δὴ καὶ φρονήσει· διὸ καὶ οὔπω ἔδοξέ πῃ τοῦ καθήκοντος ἐκτραπέσθαι· τὴν δὲ μέσην τέμνων ἐν ἅπασιν, οὔτ᾽ ἐπαινῶν ὁντινοῦν, εἰς ὕθλους ἐκπίπτει· καὶ εἴτινος αὖ ἐφ᾽ ὅτῳ καθάψαιτο, μάλα σωφρόνως τοῦτο ποιεῖν δοκεῖ, ὥςε μόνον ὑπομνῆσαι αὐτὸν, ὧν πεπλημμέληκεν, εὖ καὶ προσηκόντως διεφεύγων ὡς ἀπὸ γνώμονος τὸ ἑκατέρωθεν ἑτεραλκὲς τῆς κουφότητος· διὸ ὥσπερ ἐκ τῆς ἡλικίας τὰ πρεσβεῖα, οὕτω κἀκ τοῦ τρόπου εἴληχε παρὰ πάντων τὰ πρῶτα τῆς εὐλογίας καὶ φήμης. Εὔχεσθαι οὖν ἄξιον τὸν αὐτὸν, οἷα δὴ πάππον ὄντα, γενέσθαι καὶ τοῖς ὁμοτέχνοις τῷ τε υἱωνῷ καὶ τῇ υἱωνῇ τῆς αὐτῆς ἀπαθείας διδάσκαλον. Ἔῤῥωσο.

ὡς ἔθος ἐμὸν, κροτούντων καὶ εὐφημούντων τοὺς Ὀρφανούς. Ἐπὶ δὲ τούτοις εἶπον κἀκεῖνο, καὶ λέγων οὐδέποτε παύσομαι, ἀληθῆ λέγων, ὡς τῶν τοιούτων Καταγωγίων ἀνεγειρομένων μὲν καὶ βελτιουμένων ἀεὶ, γεννᾶται ἡ τῶν ἐθνῶν εὐδαιμονία καὶ δόξα· φθειρομένων δὲ καὶ ἀποῤῥεόντων, ὥσπερ οἱ ὀδόντες μου νῦν, συνδιαφθείρονται κἀκεῖνα, καὶ συναποῤῥέουσιν, ὥσπερ ὁ χρόνος αὐτὸς, ὡς μὴ ὤφειλε, μετὰ μικρὸν ἀποδείξει. Ταῦτ' εἰπὼν, κἀκ τοιαύτης ὁρμηθεὶς προαιρέσεως, πῶς οὐκ ἂν ἐμεμψάμην δικαίως τοὺς τὸ Καταγώγιον καταλύσαντας;

Ἀλλ' ὁ ἀντιπὼν Ἀνώνυμος, τί ποτε ἀντιπεριπλέκων πρὸς ταῦτα σοφίζεται; ὁ Προφήτης ἀποκρινέσθω, Κύκλῳ, φησὶν, περιπατοῦσιν οἱ ἀσεβεῖς κατὰ τὴν περιφέρειαν, καὶ ὡς ἐξ ἀποκέντρου τινὸς δυνάμεως ἐξωθούμενοι, τοῦ κέντρου αὐτοῦ ἐπιβαίνειν οὐκ ἔχουσιν· οὕτως ἐκτοπισθεὶς ὁ ἡμέτερος ἥρως ἀπὸ τῆς οὐσίας τοῦ πράγματος, τοῖς περὶ τὴν οὐσίαν ἐνδιατρίβει συμβάμασιν, ἐκ τῶν περιςατικῶν πειρώμενος καθελεῖν τὴν τοῦ Καταστήματος ἁγιότητα, ῥητὰ καὶ ἄῤῥητα ἐν τῷ λόγῳ συμφύρας, κακοηθείας Ἐπιστατῶν (ἐπιτρέπει γὰρ αὐτῷ τὸ ἀνώνυμον συνείρειν εἰς ταὐτὸν ὅ,τι βούλοιτο) προσθεὶς, καὶ τροφὰς τοῖς Ὀρφανοῖς σεσηπυίας, νόσους τε περιγράφων, καὶ κλοπὰς ἀνυπάρκτους· καὶ ὅσα γε τοιαῦτα τὸ ἀντίζηλον αὐτῷ ὑπηγόρευσε· καί τοι τά γε τοιαῦτα καὶ εἰ θεῖμεν ἀληθῆ εἶναι, εἰσὶ δήπου ἐπισυμβάματα ἔξωθεν, οὐχὶ δὲ οὐσιώδη κατηγορήματα τῆς τοῦ Καταστήματος φύσεως, οὐδὲ τῆς ἱερότητος αὐτοῦ ἐξαρτήματα ἐπιλήψιμα· διὸ θεραπευτέα ταῦτα, ἀλλ' οὐχὶ διὰ ταῦτα καθαιρετέα καὶ τὰ ἱερὰ Καταγώγια· ἄλλως γὰρ τοιαῦθ' ὁρῶμεν συμβαίνοντα κἀν τοῖς ναοῖς τοῦ ὑψίστου, καὶ ἐν αὐτοῖς πολλαχῇ τοῖς σχολείοις· κἀκεῖ γὰρ εὑρήσεις πολλαχῇ καὶ ἱερεῖς ἀμα-

σιν, τὴν οὐσιώδη ἐλευθερίαν ἀπ' αὐτῆς ἀφελόντα! ἐπειδὰν γὰρ ταῦθ' ἅπαξ κρατήσωσι τῆς ψυχῆς, τότε

„ Οὐκ ἔστιν οὐδὲν δεινὸν, ὧδ' εἰπεῖν, ἔπος,
„ Οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος,
„ Ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.

## Ἰγνατίῳ. (284)

Πρόγραμμα Βασιλικὸν ἐκδοθὲν, συγκαλεῖ τοὺς Ἐπισκόπους εἰς Σύνοδον, τοῦτ' αὐτὸ περὶ τῆς Ἐκκλησίας, ὅπως ἕξει γε τοῦ λοιποῦ ἐν ἐλευθέροις τοῖς Ἕλλησι, σκεψομένους. Ἀλλ' ὁρᾷς ἄρ' ἀφ' οἵας κρόκης ἤρτηνται τὰ ἡμέτερα; τῶν γὰρ Ἐπισκόπων τούτων οἱ μὲν πολλοὶ εἰσὶν, οἷοι μηδὲν προϊδεῖν ἐς τὸ μέλλον ἐπὶ μακρότατον· τοὺς δὲ, εἴτινες εἶεν ἐκ πολιτικῆς ἐμπειρίας δεινότεροι ἐμβατεῦσαι τοῖς πράγμασι, τούτους τὶς ἂν εἴη ἐχέγγυος μὴ οὐχὶ διεφθάρθαι ὑπὸ τῶν κάκιστ' ἀπολουμένων σπουδαρχῶν, ὅπως ἐξείη αὐτοῖς ἄγειν καὶ φέρειν ἐπ' ἀδείας τὰ τῆς Ἐκκλησίας, ὥσπερ καὶ πρότερον, μεγάλας ἑαυτῆς δωρεὰς ἐντεῦθεν ἔσεσθαι προσδοκῶντας; ἐννόει δέ μοι ταῦτα πολιτικῶς· ὁ γὰρ λόγος ἐνταῦθα πρόκειται οὐ περὶ δογμάτων, ἀλλ' ὅπως ἂν ἐκφύγοιμεν τὰς τῆς Δυτικῆς Ἐκκλησίας διαδύσεις καὶ σκευωρίας, καιροφυλακτούσης, εἴπως ἐκπετάσειε τὴν σαγήνην ἐπὶ πλουσιωτέραν, ἧς ἔχει ἄγρας· ἡ γὰρ τῶν ξένων εἰς τὴν ἡμετέραν ἐπιῤῥοὴ, καὶ αἱ προσδοκώμεναι ἔτι τῶν Δυτικῶν παρ' ἡμᾶς ἀποικίαι, προστιθέμεναι τοῖς νῦν κατέχουσι τὰς νήσους Καθολικοῖς, προσόντος αὐτοῖς καὶ τοῦ ἀπὸ τοῦ Ἡγεμόνος ὁμοιοθρήσκου, οὐ σμικρὸν τῇ γλώσσῃ καὶ τῇ θρησκείᾳ, τοῖς δυσὶ τούτοις καὶ μόνοις τῶν Ἑλλήνων χαρακτῆρσιν, ἐπαπειλοῦσι τὸν κίνδυνον, καὶ ταῦτα συγχωρηθείσης τῆς ἀμοιβαίας ἐπιγαμίας ἐξ ἀδείας πολιτικῆς· τὰ γὰρ ἐπιγενησόμεθα ποτέρως βαπτισθήσονται;

εἴτι ἐκ δεισιδαιμονίας παρεισφρῆσαν, ἔτι ἐπιπολάζει· ἀλλ' ὅπως ἀντιφραξάμενοι, κωλύσομεν τὸν τῆς ἀθείας χείμαῤῥον, ἐπαπειλοῦνθ' ἡμῖν ῥαγδαίως καταῤῥαγήσεσθαι, τοῦτο νῦν μᾶλλον σκεπτέον· ἀθεΐα γὰρ καὶ δεισιδαιμονία, ὡς παρεκτροπαὶ τῆς εὐσεβείας ἀμφότερα, ἐναντία εἰσὶν ἀλλήλοις· τὰ δὲ τοιαῦτα, καθάπερ οἱ τύραννοι περὶ θρόνων, ἀλλήλοις διαμαχόμενα, ἑκάτερον τὴν ἑκατέρου καθέδραν σπεύδει καταλαβεῖν· τὸ δὲ μέσον, ἐφ' οὗ ὁ τῆς εὐσεβείας καθίδρυται θρόνος, ἢ κέντρον τοσιχον, καὶ μόλις ὁρώμενον, δυσθήρατον καθέστηκε μάλιστα· καὶ οἱ ἡμέτεροι, κοῦφοι ὄντες, κύκλῳ, φησὶν ὁ Προφήτης, περιπατοῦσι κατὰ τοὺς ἀσεβεῖς. Γενοῦ μοι τοίνυν ἄλλος Ἀθανάσιος, γενναίως τῆς τοῦ Χριστοῦ προμαχόμενος Ἐκκλησίας· κοὐκ ἀπολέσεις τὸν μισθὸν ἐπὶ τούτοις, κἀνταῦθα μὲν κλεϊζόμενος παρὰ πάντων, καὶ μετὰ ταῦτα δ', ὁπότε πᾶσα ἀγαθοεργία ἕξει ἔνδικον μισθαποδοσίαν, τὴν ἀκήρατον καὶ παντὸς λόγου κρείττω. Ἔῤῥωσο.

*Ἰωάννῃ* (286.)

Ἄλλοτ' ἄλλα δεινὰ ἐπιῤῥοῇ καὶ ἐφόδῳ βαρβάρων πέπονθεν ἡ Ἑλλάς, ἀλλὰ καὶ τὴν γλῶσσαν ἐπίπαν διέφθαρται· ἥν, ὥσπερ τὴν Αὐγείου κόπρον ἐκκαθᾶραι ἐπιβαλόμενοι πεντηκοστὸν ἔτος ἐκ τότε μάλιστα, νῦν ἄλλῳ κακῷ περιπίπτομεν τοσούτῳ χείρονι τοῦ προτέρου, ὅσῳ δοκεῖ τοῖς χρωμένοις σεμνότερον, ἅτε δὴ ἀπὸ πηγῆς ἐξαντλούμενον Γαλλικῆς· ἡ γὰρ γλῶσσα ἡμῶν, ἀσυμφύλοις ἰδιώμασι κλυζομένη, οὐδὲν ἄλλο ὑστέρῳ χρόνῳ ἔσεσθαί μοι δοκεῖ, ἢ ἀπρφώλιον τέρας, τὰ μὲν πρῶτα λέων, τὰ δ' ἔσχατα ὄφις· τῇ μὲν ὕλῃ Ἑλληνίς, τῷ δ' εἴδει Γαλλίς· ταῦτα δὴ τὰ νῦν τῶν ἡμετέρων γραμματικῶν λειεύματα· οἱ ἐπιπολαίως τὴν τῶν ἀρχαίων Ἑλλήνων

» Ἀσπίδα, φρῦνον, ὄφιν, καὶ Λαδικέας περίφευγε,
Καὶ κύνα λυσσητὴν, καὶ πάλι Λαδικέας·

Περὶ δὲ τῶν ἄλλων οὐδὲν προτιμῶ σου, φησὶν ἡ Κωμῳδία· φορῶ γὰρ φαρμακίτην δακτύλιον πριάμενος παρ' Εὐδάμου· πρὸς δὲ τὸν καλὸν κἀγαθὸν Ἐφημεριδιοπλάστην ἐκεῖνο μόνον,

• Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.

Εἰ δὲ καὶ [illegible], τότ' οὐκ ἂν ἐνδοιάσαιμι εἰπεῖν, ὅτι καὶ μετὰ ἀνόμων λογησθήσεται. Δέδοικα δ' οὖν, μὴ καὶ ταῦτα νουθετικὰ ἄλλως ὄντα, ὡς λοίδορα καὶ αὐτὰ ἐκλαβόντι ὁμοίως, ἀπεχθώμεθ' αὖθις αὐτῷ, δέον μαθεῖν, ὡς τὰ ἁμαρτήματα ἐξομολογούμενα μὲν, καὶ ἐξοστρακιζόμενα, καθιλαρύνουσι τὰς ψυχάς· οἰκουροῦντα δὲ καὶ ἐντρεφόμενα, ἐρεθίζουσι πολλάκις ἐκείνας εἰς φλεγμονὴν, καὶ δέος ἐντεῦθεν, μὴ καὶ εἰς ἕτερόν τι τῷ χρόνῳ περιτρέψωσιν αὐτὰς χαλεπώτερον. Τὸ δὲ, Τὸν θεὸν, ἐν τῇ πρὸς σέ μου ἐπιστολῇ, καὶ τὸ, Ἐλπίσαντες ἐν τῷ προλόγῳ τῆς Τερψιθέας, ὧν ἐπιλαμβάνονται μάλιστα, γραφέσθωσαν, ὡς ἐγράφησαν ἐξ ἀρχῆς· τὸ μὲν, Τὴν θεὸν θηλυκῶς (τὴν Ἀθηνᾶν)· τὸ δὲ, Ἐλπίσαντας, εἰς Αἰτιατικήν· ἵνα μὴ περιϊόντες σκιρτῶσι, καλοὶ κἀγαθοὶ ὁμολογούμενοι εἶναι, ὁ μὲν, ἐφ' οἷς ἠσέβησα· ὁ δὲ Φρῦνος, ἐφ' οἷς ἀμαθής εἰμι, καί τοι συνίσασιν ἀμφότεροι ταῦτα ὄντα τυπογραφικὰ ἁμαρτήματα. Ἔῤῥωσο.

## Ἐπισκόπῳ. (288.)

Ἐρήμην ἄρ' ἑάλω Προκόπιος, οὐδ' εἰδὼς ὁ ἄθλιος ἐπὶ τίσιν ἐξώρισται, οὕτως ἀνόμως διαβολῆς γενόμενος παρανάλωμα. Ὁρᾶθ' ὅπως ἔχει νῦν τὰ ἡμέτερα, καὶ ὅπως οἱ νῦν αὐτοσχεδιάζουσιν, οἱ πρὶν τούτων τοῖς καθεστῶσι ἐπὶ προφάσει ἐλευθερίας μὴ ἀγαπήσαντες; ποῦ τοίνυν ἔσθ' ὑμῖν ἐπ' ἐκείνῃ

ποίμνης μονώτατος αὐτὸς ἔσεσθαι ποιμήν· περὶ γὰρ αὐτοῦ φησὶ ταῦτ' εἰρῆσθαι· τῶν δ' Ἑλλήνων μηδεὶς ἀντιτείνειν πρὸς ταῦτ' ἐθέλει, οὗ ὁ λόγος ἐξ ἐπαγγέλματος ἄξιος εἰσακούεσθαι· πολλοὶ δὲ συμπράττειν πεφιλοτίμηνται, ἄλλος ἄλλης ἐλπίδος ἐχόμενοι· ὃς δ' ἦν μόνος δαιμόνιος ἀνὴρ ἐν τοῖς Ἕλλησι, συνιέναι δεινὸς καὶ διαιτᾷν τὰ τοιαῦτ' ἀξιόχρεως, τοῦτον φθάσαντες οἱ καὶ τῷ γένει τῶν Ἑλλήνων καὶ τῇ πίστει πολέμιοι, πεφονεύκασιν, ὡς τὸν Προφήτην οἱ παράνομοι Ἰουδαῖοι μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου· ἀλλὰ τὸ αἷμ' ἐκείνου μὲν ἐγένετο ἡμῖν, κατὰ τὸν ὑμνογράφον σωτήριον βάπτισμα· τούτου δ' οὐ πείθομαι, εἰ μὴ παράμουσον ῥάντισμα· ὁ γὰρ ἐκείνου παράνομος θάνατος εἰς τοῦθ' ἡμᾶς ἐπαπειλεῖ περιστήσεσθαι. Ἐγὼ δ' οὖν καὶ εἰπὼν πρὸς ὀλίγους ἰδίᾳ, καὶ γράψας πρὸς πάντας κοινῇ, πεπλήρωκα τὸ ὀφειλόμενον· νῦν δὲ καὶ πρὸς ἀπειλὴν ἐντετάλμεθα μηκέτι μηδὲν φθέγξασθαι περὶ τούτου, εἴγε βουλοίμεθα μὴ παθεῖν ταὐτὰ Προκοπίῳ. Τοῦτο οὖν πράττω νῦν, συχνότερον τὸν θάνατον ἐπιβοώμενος· τί γὰρ ἐᾷ με ἔτ' ἐπὶ γῆς, ἑβδομηκοντούτην ἤδη γεγενημένον; τῶν γὰρ νῦν πραττομένων χρηστὸν μὲν οὐδὲν, κακὰ δ' ὅσα ἔξεστιν ὑπονοεῖν ἔσεσθαι ἐν τῷ μέλλοντι· ἔςαι γὰρ ὅτε ὁ σὸς ἔγγονος ἐρεῖ ποτε πρὸς ἄλλους συμπαίςορας· οἱ πάπποι ἡμῶν, ὦ παῖδες, ἦσαν Σχισματικοὶ οἱ ταλαίπωροι. Ἔῤῥωσο.

*Γεωργίῳ.* (291.)

Θαυμάζειν φῂς, ὅπως ἐμφιλοχωρῶν τῷ πολιχνίῳ τούτῳ, τὴν τῶν φίλων ἐρημίαν ῥᾳδίως φέρω, καὶ οὐ μεταβαίνω Ἀθήναζε παρ' ὑμᾶς, ἔνθα καὶ θεαμάτων πολλῶν χορεία· ἃ ὁ πρὶν ἐξύμνησεν αἰὼν, καὶ ὧν πολλοὶ ἀπὸ πάσης τῆς Εὐρώπης ἐπὶ θέᾳ συνθέουσι. Τούτων μὲν οὖν ἐξ ἀφυχῆς κἀμὲ

σοι κατά γε τὸ μέτρον τῆς χρείας· σεαυτὸν δὲ, ὡς ἄπληστον τῶν ἐκείνης δώρων καὶ ἀγνώμονα παρεχόμενος· δῆλον γὰρ ὅτι ἡ πλεονεξία σε πρὸς ταῦτ' ἐξεβίασε, τὸ ἀκόρεστον βασανίζουσα· τοιοῦτον φύσει ὁ ἄνθρωπος· αἱ γὰρ ἐπιθυμίαι πλανώμεναι πανταχοῦ, ἄλλ' ἄλλοτε τῶν κακῶν ἐπιφέρουσι τοῖς κεκρατημένοις· ἐπιθυμεῖ γὰρ βουκόλος βασιλικὸς γυναικὸς Λακαίνης βασιλικῆς καὶ αὐτῆς, καὶ ἀπόλλυσι Τροίαν· ἐπιθυμεῖ ἡ Ξέρξου γυνὴ Ἀττικῶν θεραπαινίδων, καὶ εὐθὺς ἐξαρτύονται στόλοι, καὶ πᾶσα ἡ Ἀσία κάτεισιν ἐπὶ θάλασσαν· ἡ δ' Εὐρώπη ταραχθεῖσα πρὸς ταῦτα, ἀμύνεται· ἐπιθυμοῦσι δὲ Σικελίας οἱ Ἀθηναῖοι, κἀντεῦθεν, εἰ εὖ αὐτοῖς προχωροίη, μειζόνων ἔτι καταστοχάζονται· ἀλλὰ τί τὸ τέλος τούτων τοῖς ἀκρατῶς ταῖς ἐπιθυμίαις δουλεύουσι; μάχαι, καὶ φόνοι, καὶ σφαγαὶ πανταχοῦ θηριώδεις, καὶ τέλος τύχης μεταβολαὶ, καὶ ἐθνῶν ὅλων ἀπώλεια. Ὁρᾷς ποῖποτε τὸ πλέον ἔχειν ἐποίησεν αὐτοὺς ἐξοκεῖλαι; Ἀγάπα τοίνυν, οἷς κέκτησαι, ζῶν μετρίως, τὸ σοφὸν ἐκεῖνο μετὰ Θεόγνιδος ἐπιλέγων· οὐκ ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι· ἀλλ' εἴη δέ μοι ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν. Ἔρρωσο.

### Τῷ Κωνσταντᾷ (293.)

Ἀλγεῖς, ἐφ' οἷς οἱ πονηροὶ, φθόνῳ τηκόμενοι, παντοίως τὰ ἡμέτερα μυκτηρίζουσι, ψωραλέους ἡμᾶς ἀποκαλοῦντες, καὶ τῆς ἀρχαίας μούσης ἀπόζοντας; μὴ τοῦτο πάθῃς μέχρις ἂν αὐτοὺς ὁρᾷς εὐχομένους, καθάπερ οἱ θηρῶντες θηρίοις, ἡμετέροις ἁμαρτήμασιν ἐντυγχάνειν, ἵν' ἔχωσι καὶ πλείω λυσσᾷν καθ' ἡμῶν, ἀναισχυντία μὲν γὰρ πλατύνει στόμα βλάσφημον,

» Στρεπτὴ γὰρ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι.

οἱ Ἕλληνες πολλαχῶς μὲν ἐκινδύνευσαν, νῦν δὲ ἀμφισβητεῖν πρὸς ἀλλήλους προάγονται. πότερον,

* Ἄρ' ἔστιν; ἄρ' οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ·

Αὕτη τό γε δὴ κατ' ἐμὲ χαιρέτω· ἐγώ τε γὰρ αὐτὸς ὅσον οὔπω τὴν ἀπόλυτον ἐλευθερίαν ἐλεύθερος ἔσομαι· καὶ οἱ Ἕλληνες ὀπίσω οὐκ ἄξιοι κουφότητι φρενῶν, καὶ ψυχῆς μοχθηρίᾳ ἀπολαύειν ἐκείνης· τῆς δὲ παιδείας ὅμως καὶ τῆς θρησκείας τῶν μάλιστα τούτων ἐθνικῶν χαρακτήρων καὶ πάνυ γε μέλει μοι· σφόδρα γὰρ ἄχθομαι, ὁρῶν τοὺς ἡμετέρους ἀμφοτέραις ταῖς ἰγνύαις ταύταις κατὰ τὸν εἰπόντα χωλαίνοντας· ἥτε γὰρ ἀγυρτία, ἰσχύος λαβομένη, ὡς ἐν καιρῷ πονηρῷ τὰ τοιαῦτα ἀνθεῖ, ἐπικρατεῖ πανταχοῦ· ὥστε τὸ τῆς ἀρχαίας γλώσσης καλὸν, καθάπερ θρυαλλίδιον διψαλέον, ἀποσβεννύμενον κατὰ βραχὺ, ἐπαπειλεῖ τελέως ἡμᾶς ἐπιλείψειν, εἴγε διδάσκαλος τῶν γε νεωτέρων εἷς οὐδὲ εἷς, οὐδὲ γοῦν ἐπιστόλιον οἶδε γράφειν ἐν τῇ ἀρχαίᾳ· καὶ ἡ ῥαδιοῦργος αὖθις ἐν μέρει πολιτικὴ, ἀπ' εὐπρεπῶν ὁρμωμένη ἀρχῶν, τῶν Ἑλλήνων τῶν μὲν ἄλλας διωκόντων ἐντεῦθεν ἐλπίδας, τῶν δὲ καὶ τὸ παράπαν ἀναισθητούντων, ἐκρήξασα νῦν ἀπὸ τοῦ Οἰκουμενικοῦ θρόνου τὴν θυγατέρα, ὑπανοίγνυσιν ἤδη τὴν πολύπλοκον Παπικὴν σαγήνην πρὸς ἄγραν πλουσιωτέραν· καὶ οὐ πάνυ πόῤῥω ἐσμὲν ὑπονοεῖν, ὡς μετ' οὐ πολὺ ὀψόμεθα ἴσως καὶ βιβλίον ἐκεῖθεν τὴν τῶν ἐκκλησιῶν ἕνωσιν ἐνστησόμενον· ἡνίκ' οὐκ οἶδ' ὁπότερον εἴπω, πότερον ὁ πτωχὸς ἡμῶν Ἰλισσὸς Τίβεριν τὸν ναυσίπορον, ἢ ἐκεῖνος ἀνασκιρτήσας τῆς κοίτης, τὸ ἡμέτερον κατακλύσει ῥυάκιον, καὶ ταῦτ' ἐκείνῳ μὲν πολλῆς ἐξ ἑτέρων ὠκεανῶν ἐκεῖθεν ἐπιχορηγίας προσυπαρχούσης, τῶν δ' ἡμετέρων ἐχόντων, ὡς ἔχουσιν, ἀπροστατεύτων καὶ ἀδυνάτων· ὥστ' ἔγωγε ἀμφιγνοῶ πότερον, ἀγαθῶν ἢ κακῶν πλειόνων ἐκ

ἀναστῆσαι δ' ἑτέραν ὁμιλίαν μὴ συνηθεῖσι παραβλητέον τὸν ἄνδρα, ἢ ἐρίῳ στέψαντες ὅλως, ἀποπέμψωμεν αὐτὸν ἐς κόρακας, τὸν μήτε γοῦν καθελεῖν οὐχ ὅπως πόλιν, ἀλλὰ μήτε καλύβην, μήτ' εἰδότα, μήτε δυνάμενον· καταθρασύνεσθαι δὲ καὶ πλέον, ἢ πιστεύειν ἀκούσαντα, καὶ δυνάμενον καὶ βουλόμενον· ὅταν γὰρ ἀφέλῃς μὲν τῆς ψυχῆς τὸ εἰδέναι, φησὶν ὁ Τύριος σοφιστὴς, παράσχῃς δὲ τὸ δύνασθαι, πολλὴν δίδως τοῖς ἁμαρτήμασιν ἐπιῤῥοὴν καὶ ἐξουσίαν καὶ δρόμον· ἄφες τοίνυν τοὺς λυττῶντας λυττᾷν, εἰκῇ ὑμῶν τὰ τοιαῦτα καθυλακτοῦντας, ὅπῃ καὶ ὅπως αὐτοὺς ὁ φθόνος δάκνει· ἡμεῖς δ' ἐχώμεθα αὖθις, ὧν ἐξ ἀρχῆς, καλῶς ποιοῦντες, εἰχόμεθα· μείζων γὰρ ἡ παρὰ πάντων ἐπὶ τούτοις εὐγνωμοσύνη τῆς παρὰ τῶν τοιούτων κακηγορίας. Ἔῤῥωσο.

## Τῷ Ἰατρῷ. (297.)

Χειρουργίαν οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ τοῖς ἀλόγοις τῶν ζώων ἴσμεν σωτήριον οὖσαν τέχνην· πολλὰ γὰρ καὶ τούτων ὑπ' αὐτῆς θεραπεύεται. Χότζος τοίνυν οὑμὸς, ὃν οἶσθά με φιλοῦντα τὰ μάλιστα (ἔχει γάρ τι φιλητικὸν τοῖς ἀνθρώποις ἡ φύσις ἀκατανόητον κατὰ Πλούταρχον, ὅπερ ἡμεῖς οἱ Καλόγηροι, οἷα δὴ παίδων στερούμενοι, εἰς τοιαῦτα καταναλίσκομεν κτήνη) ἀποστήματος αὐτῷ ἀναφυέντος παρὰ τὸ οὖς, πάσχει δεινῶς, καὶ δεῖται τομῆς πρὸς ἀνάῤῥωσιν. Ἐπειδὰν τοίνυν μέλλῃς ἥξειν εἰς τὸ τῶν Ὀρφανῶν Καταγώγιον, μέμνησο παραλαβεῖν τὸ σχαστήριον, ὅπως παριὼν καὶ ἐντεῦθεν, ὁδοῦ πάρεργον τὴν τοῦ φύματος αὐτῷ ποιήσῃς τομήν· ὑπισχνεῖται δέ σοι τὸ θηρίον καὶ σῶστρα μηκέτι διαῤῥήξειν σου τὰς χεῖρας τοῖς ὄνυξιν, ἐπειδὰν τύχῃς αὐτοῦ προσαπτόμενος. Ἔῤῥωσο.

νος ἐν τοῖς μάλιστα· ὑποσχόμενος γὰρ γράψειν ἡμῖν ἐκ Ναυπλίου, τοῦτ' αὐτὸ μόνον δηλῶν, ὅπως τὰ κατ' αὐτὸν προχωροίη, περὶ ὧν αὐτῷ σπουδάζειν διέφερε μάλιστα, ὁ δὲ, καταπραξάμενος πάντα, ἀπέπλευσε πρὸς τὸ σπουδαζόμενον, ἀμνημονήσας ὅλως, ὅτι καὶ ἴδιόν τι ἡμῖν ἦν πρακτέον περὶ τῶν παίδων· περὶ ὧν πρώην γέγραφα καὶ πρὸς αὐτὸν τὸν κρατοῦντα Βλαχων, δεόμενος αὐτοῦ γενέσθαι αὐτοῖς τι ἐκεῖθεν χρηματικὸν σπουδῆς ἐπικούρημα· Ἀλλ' ὡς ἔοικεν ἀμφοτέρωθεν ἐκπίπτομεν τῶν ἐλπίδων. Ἔῤῥωσο

Καλλινίκῳ (300.)

Λόγος χθὲς διατεθρύλληται περὶ σοῦ, ὡς ἀναχθέντος τὴν εὐκταιοτάτην ἀναγωγήν· τοῦ δὲ λόγου πατὴρ ἦν μᾶλλον ὁ σὸς Λεονάρδος, ὃ οὐκ ὀλίγον με ταραχθῆναι πεποίηκεν, ὡς δῆθεν παροφθέντα ὑπὸ Καλλινίκου, ὃν πεφίληκα ἐν τοῖς μάλιστα, εἴγε καταλιπὼν ἡμᾶς, ἀπῆρε πρὸς ὃ σπουδάζει, μηδὲ γοῦν τοῦθ' ἡμῖν ἀξιώσας μηνῦσαι. Ἀλλ' ἐν τούτῳ ἀποδοθέντα μοι τὰ σὰ γράμματα, ἀποκατέστησεν αὖθις τὴν ψυχὴν εἰς τὸ κατὰ φύσιν· διὸ καὶ φιλῶ, ὡς ἐφίλουν, καὶ ποθῶ ἰδεῖν σε μεγαλεμπορώτατον ἐπανήκοντα. Ἴθι τοίνυν, ἀδελφὲ, πρὸς τὸ σπουδαζόμενον, ἐντείνων καὶ κατευοδούμενος, θεὸν Ἡγεμόνα καὶ προστάτην σεαυτῷ ἐν πᾶσι ποιούμενος. Ἔῤῥωσο.

Φιλεταίρῳ. (301.)

Ὁ τῆς φιλοτιμίας χρόνος παρῴχηκε, καὶ ἡ σορὸς, ἐδώδιμον ἤδη κνωδάλοις γεγενημένον, αὐτίκα σὲ καταδέξεται· παῦσαι τοίνυν τῶν τοῦ βίου φροντίδων, γερόντιον ἄπληστον, ἐξ ὑπαρχῆς αὖθις τῶν αὐτῶν ἐχόμενος παιδικῶν. Ταῦτ' ἔφην πρὸς ἐμαυτὸν, ἐνθυμηθεὶς εἰς οἷον αὖθις ἀγῶνα ἐπαποδύομαι, καὶ ταῦθ'

τῇ τῆς Ἀρχῆς ἐξουσίᾳ, καὶ ταῦτα πολλῆς καταβοῆς αὐτῷ οὔσης. Ἀλλ' ὅπως ἂν ἔχῃ, αὔριον μαθησόμεθ' ἄμεινον παρὰ τῶν ἐφημερίδων· διαφέρει δ' οὖν μοι πολὺ μηδὲν τὸν Φρασικλέα παθεῖν. Ἔῤῥωσο.

*Ἰωσήφῳ.* (303.)

Φιλίας διάστασις, οἷς φιλία κτημάτων ἁπάντων τὸ τιμαλφέστατον κρίνεται, λύπην φιλεῖ ἐμποιεῖν· ἡ δὲ λύπη νόσος ἐστὶ σκυθρωπὸς τῇ ψυχῇ καὶ ἀγέλαστος. Τοῦτ' οὖν πάσχομεν ἤδη καὶ ἡμεῖς, ἔρημοι φίλων γεγενημένοι· τὴν γὰρ τῶν ἄλλων ἀπουσίαν τῇ σῇ ἐς δεῦρο παραμυθούμενος παρουσίᾳ, νῦν καὶ τοῦτο, σοῦ καταλείψοντος ἡμᾶς, ἀφαιρήσομαι. Ἀλλ' ἴθι, ἀδελφὲ, θεὸν τὸν ἐνόδιον, ἐν οἷς ἂν πράττῃς ἀεὶ προστάτην σεαυτῷ καὶ ἡγεμόνα ποιούμενος, καὶ ἡμῶν γε, ὅπῃ ἂν ᾖς συνεχέστερον μεμνημένος. Ἔῤῥωσο.

» Ταῦτ' ᾖσε Δούκας ὑστάτως Ἰωσήφῳ·
» Τὰ δ' ἄλλα ὀψὲ ἐν θεοῦ παρουσίᾳ.

*Ἰωάννῃ.* (304.)

Πυνθάνῃ ἴσως, ὅπως ἡμῖν νῦν τὰ πράγματ' ἔχει· καὶ λίαν σχληρῶς· ὁ γὰρ Ἰωσῆφος, ὃς μόνος μοι ἦν τῶν φίλων λοιπὸς, ᾤχετ' ἀπιὼν καὶ οὗτος χθὲς εἰς τὴν ἑαυτοῦ· ἡ δ' Αἴγινα, καίτοι ἄλλως χωρίον τῶν τερπνοτάτων, ἀλλ' οὐκέτι μοι τῷ αὐτῷ μέτρῳ διὰ τὴν τῶν φίλων ἀπουσίαν ἀγαπητόν· ὁ δὲ Κωνσταντᾶς, ὃν περιμένω ἐπανελθεῖν ἐκ Ναυπλίου, καὶ αὐτὸς, τοῦ γήρως αὐτῷ ἐπιβρίθοντος, καὶ τῶν πραγμάτων μοχθηρίᾳ τῶν ἡμετέρων ἀρχόντων βραδυνόντων πέρας λαβεῖν, κατηφὴς ἔσθ' ὅλως καὶ ἐν συνουσίαις οἱασοῦν ἡδονῆς τὸ σύνολον ἄγονος, ἅτε κεκμηκὼς ἤδη καὶ ταῖς τῶν κοινῶν καμφθεὶς ταλαιπωρίαις· καίτοι οὐδ' αὐτὸς οὐδέπω οἶδεν, ὅπῃ σῇ

## Μανουήλῳ. (306.)

Νῦν δ' ἔγνων ὅ,τι ποτ' ἐπῆλθε τῷ κωμικῷ τῶν ἀςάτων καθάψασθαι Ἀθηναίων, ἐκεῖνα ποιήσαντα,

Δῆμος Πνυκίτης, δύσκολον γερόντιον
Ὑπόκωφον.
Τί δ' ἔστ' Ἀθηναῖος; τί; πρᾶγμα ἀνώμαλον.

Οὕτω τὴν ἐκείνων παροινίαν μετῆλθε. Ταῦτα τοίνυν εἴτις καὶ νῦν πρὸς τοὺς Ἕλληνας εἴποι, οὐκ ἂν ἄπο σκοποῦ ἐκτοξεύσειεν· τοῦ γὰρ θεοῦ αὐτοῦ, ὥσπερ ἐξ οὐρανοῦ ἀποστείλαντος αὐτοῖς ἄνδρα, ὃν εὗρεν ἐν ἡμῖν μόνον κατὰ τὴν ἑαυτοῦ καρδίαν, ὡς ἄλλον Δαβὶδ, τὸν ἀοίδιμον Κυβερνήτην, τοῦτον αὐτοὶ λαβόντες, μὴ ἀγαπήσαντες τῇ δωρεᾷ, ἀλλ' ἀπολύτου ἐλευθερίας προσισχόμενοι, σκαιοὶ ἔτι ὄντες καὶ ἀμαθεῖς, ἀπέκτειναν στασιάσαντες, τὸν δίκαιον καὶ ὅσιον οἱ ἁμαρτωλοὶ καὶ ἀνόσιοι. Ἐκ δὴ τούτων αὖθις παραλαβόντος τοῦ Αὐγουστίνου τοὺς οἴακας, καὶ συντάξαντος αὐτοῖς Σύνταγμ' ἄριστον, τὴν τοῦ γένους ψῆφον ἐν τοῖς ἀμφιβαλλομένοις ποιούμενον περὶ πλείονος, οὐδὲ τούτοις ἠγάπησαν, δημοκρατίαν μὲν ζητοῦντες, οἱ μυρίοις δουλεύοντες πάθεσιν, ἀπολέσαντες δὲ καὶ ἣν εἶχον ἐλευθερίαν· ἀπαλλαγέντες γὰρ ἐκείνου, ἐπιπεσόντες ἀλλήλοις, ὥσπερ θηρία, ἥδισθ' ἑωράκασι νῦν Βασιλέα ξένον ἀπολύτῳ ἐξουσίᾳ χρωμένῳ πρὸς τὴν τῶν πραγμάτων ἀνόρθωσιν· καλῶς τοῦτο· ἀλλ' οὐδὲ τούτοις νῦν δοκοῦσι χαίρειν, τῶντε παρεληλυθότων μεμνημένοι, ὡς ἐλευθερώτερον αὐτοῖς πραττομένων ὡς πρὸς τὰ παρόντα, καὶ τὰ μέλλοντα προσδεδιότων, μή τι αὐτοῖς ἐπενέγκῃ καὶ χεῖρον. Τοιοῦτος οὖν ὄχλος ἀνόητος ὢν, ἀγόμενος καὶ φερόμενος ὑπὸ τῶν προστυχόντων, τὸν αὐτὸν καὶ νῦν ἐφέλκεται ἑαυτῷ τὸν Ἀριστοφάνους δίκαιον ἔλεγχον. Ἀλλ' ἡμεῖς γε,

πρόσω· ἡ δὲ διαλιποῦσα μικρὸν ὡς ἀνέσφηλεν, ἀνεπτερύγησε· τὸ δὲ κτῆνος τῇ τῶν πτερύγων συγκρούσει ἐκπτοηθὲν, καὶ ἀνασκιρτῆσαν, ἀποβάλλει τὸν ἀναβάτην· καὶ ὃς πεσὼν, τὸ σκέλος κατάγνυσιν. Οὐκ ἂν οὖν βουλοίμην κᾀυτός γε, τοὺς κόρακας κρώζοντας βάλλων, κατεαγέναι καὶ δεύτερον τὸ κρανίον· μέμνησαι γὰρ, οἵων ἐν Βουκουρεστίῳ ποτε πεπειράμεθα, τὸ ῥόπαλον ἐπὶ κόῤῥης καταδεξάμενοι. Ἔῤῥωσο.

## Κύρῳ. (309.)

Ἐπειδὴ καὶ πάλαι μὲν, οὐχ ἧττον δὲ καὶ νῦν ὁρῶ σε ἄλλης ἐξ ἄλλης ἐπιστήμης ἐγκρατῆ γενέσθαι γλιχόμενον, ὅπως πολυΐστωρ τις γενόμενος ἐφ᾽ ἁπάντων, εὐδοκιμήσῃς, μὲν αὐτὸς ἐν τῷ βίῳ, παρευδοκιμήσῃς δὲ τοὺς ἀντιζήλους, εἵτινες εἶεν· εἴθ᾽ οὕτως, ὑπὲρ ἐκείνους τὶ εἰδὼς, κατὰ πάντων ᾄσῃς τὰ νικητήρια, δεῦρο σκεψώμεθα, εἰ οὗπερ καταστοχάζῃ, τεύξῃ ῥᾳδίως· εἰ μὲν γὰρ ἐν τῷ πολλῷ τὸ τέλειον ἦν εὑρεῖν, ἦν ἂν λόγον ἔχον τινὰ διὰ πάντων ἰέναι σπερμολογοῦντα, ὃ ἄλλῳ μέν τῳ, οὕτως ὡς τύχοι, ἐπιπολάζοντι, οὐκ ἂν ἄχρηστον εἴη πολλῶν ἐμπειρίαν διώκειν· διδασκάλῳ δὲ ἥκιστα, ἐξ ἐπαγγέλματος προσποιουμένῳ τὴν ἕξιν, οὗ ἐπαγγέλλεται· νῦν δ᾽ ἐπειδὴ τὸ πολύπειρόν ἐστι πανταχῇ ἀτελὲς, ἐπανελθόντα σὲ δεῖ ἀπὸ πάντων, ἃ ἐς δεῦρο τυγχάνεις σπερμολογήσας, καὶ ἑνὸς ὅτου δὴ ἐπιβεβηκότα, ἐν τούτῳ τελειοῦν σεαυτόν. Οἶδα δ᾽ οὖν σε θαυμάζοντα μάλιστα Θουκυδίδας καὶ Περικλέας, Ξενοφῶντας καὶ Δημοσθένεις, καὶ τὸν ἄλλον ὅμιλον τῶν σοφῶν καὶ πολιτικῶν ἐκείνων ἀνδρῶν, ὧν λόγος παρὰ πᾶσι πολύς· εἰ οὖν τούτους περὶ πλείστου ποιῇ, μιμοῦ τὰς πράξεις αὐτῶν· τίνας δὲ ταύτας φημί; μῶν στρατηγὸν βούλομαί σε γενέσθαι; μῶν δημαγωγόν; οὔμενουν οὐδέτερον τούτων· ἀποπεφυκέναι γάρ μοι δοκεῖς

βουλεῦσαί σοι οὐ μᾶλλόν γε ὡς διδάσκαλόν σοι ὑπάρξαντα, ἀλλὰ καὶ ὡς πατέρα (ἀμφότερα γάρ μοι ταῦθ' ἡ προαίρεσις δέδωκεν) ἀφεμένῳ τῶν μετεωρολογικῶν καὶ τούτων δὴ τὴν φαντασίαν ἐπιτερπόντων, ἔχεσθαι μᾶλλον τῆς πολιτικῆς ἀρετῆς, καὶ ταύτης τὸ περὶ τὸ ἦθος περὶ πλείστου ποιεῖσθαι· πρὸς δὲ τοῦτο ῥάστη πασῶν ἂν εἴη λόγους ἐσκεμμένους συντάττειν· ἐντεῦθεν γὰρ ἄλλοι τε πολλοὶ καὶ Θεμιστοκλῆς λέγεται ἄρξασθαι. Ἔῤῥωσο.

### Τῷ Κωνσταντᾷ. (310.

Ἀνέγνως δήπου ἐν τῇ Ἀθηνᾷ, ἃ καὶ πάλιν καὶ πολλάκις ἡμῶν οἱ ἀπαυθαδιάζοντες καταναισχυντοῦσιν· ἔμοιγε δὲ δοκοῦσι περιΐπτασθαι, ὡς οἱ κόρακες κράζοντες, οἷον πρὸς τὴν ἑαυτῶν μεμψιμοιροῦντες τύχην, ὅτι οὐχ εὑρίσκουσιν ἐν ἡμῖν τροφὴν ἁμαρτημάτων, ἵν' ἐπιπεσόντες ἔχοιεν ὅ,τι καὶ ἐμφορηθέντες ἡμῖν ἐξεμέσωσι. Δῆλον ἄρ' ἐξ ὧν λοιδοροῦσιν, ὅτι πικρῶς αὐτῶν ἥψατο ἡ τῶν πολλῶν καταβοὴ ἐπὶ τῇ τοῦ Ὀρφανοτροφείου οὕτως ὠμῶς διαλύσει· σύνηθες γὰρ τοῖς πονηροῖς ταῖς τῶν ἄλλων λοιδορίαις πειρᾶσθαι τὰ ἑαυτῶν ἁμαρτήματα συγκαλύπτειν, ἀπὸ τῶν γυναίων παραλαβόντας τὸ ἔθος. Τί οὖν; ἀπαντῶμεν αὐτοῖς, βέλη σιδηρᾶ πρὸς οἰσύϊνα ἀντεμβάλοντες, ἵνα γνῶσι πίθηκες ὄντες; ἀλλὰ τίς ἡμῶν δικάσει αὖθις ἅ,τι καὶ ἂν εἴποιμεν; οἱ γὰρ ἐκ τῶν ἔργων ἡμῶν εἰσὶ πεπεισμένοι, οὗτοι καὶ ἄνευ ἀπολογίας κηρύττουσι πανταχοῦ, ἃ ἑωρακότες τυγχάνουσιν· ἀλλὰ μέτριοι ὄντες, οὐκ ἂν ἀγαπῷεν πρὸς ἀνθρώπους ὑβριστὰς ὑπερτείνεσθαι, περὶ ὧν ἐποίησεν Ὅμηρος,

„ Ψεῦσταί τ', ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι,
„ Ἵππων τ' ὠκυπόδων ἐπιβήτορες, οἷα τάχιστα
„ Ἤγειραν μέγαν ἦχον ἀπαιδεύτοισι θεαταῖς,
„ Νηπιάχοις, ξυνὸν δὲ κακὸν πολέεσσι φέρουσι.

ἐν σκότῳ βαδίζων, ἀποπλανηθήσῃ εἰς ὑπερβολῶν καὶ ἐλλείψεων ἀνοδίας πρὸς ἀπώλειαν μᾶλλον, ἢ εἰς σωτηρίαν ἀγούσας. Ἔῤῥωσο.

*Γεωργίῳ.* (312.)

Οὐκ ἂν ᾠήθην ποτὲ τοσαύτην σε ἐπὶ τῇ τῶν Ὀρφανῶν προσπαθείᾳ καταγνώσεσθαί μου μωρίαν· οὐδὲ μετὰ τῶν ἄλλων, ὧν τὴν ψυχὴν δεινὸς σμύχει φθόνος, περιϊόντα καταγελάσειν με τῆς πρὸς ἐκείνους προνοίας· οἶδα γάρ σε τἄλλα μέτριον ὄντα τε καὶ τῶν τοιούτων λόγον ποιούμενον· ὅ ἐστιν ἀρετὴ κοινὴ παρὰ πᾶσι τοῖς ἔθνεσιν· ἡ γὰρ φύσις τὸν νόμον τοῦτον ἐνέσπειρε τοῖς ἀνθρώποις, μηδὲν μηδένα κακῶς ποιεῖν, ὃ ἂν αὐτὸς μὴ παρ' ἑτέρου ἐθέλῃ πάσχειν, ἐνδομύχως τοῦθ' ἑκάστῳ εἰσηγουμένη· ὅπερ ὁ σωτήριος ἔπειτα Λόγος δι' ἐντολῆς τοῖς τὸν λόγον τιμῶσι καὶ σεβομένοις ἐπεσφράγισεν, εἰπών· Καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. Ἀλλ' ἐατέον ταῦτα, ὡς σεμνότερ' ἴσως, ἢ ὥστ' ἐπαΐειν· ἔλθωμεν δὲ εἰς τὰ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει δὲ τὰ τοῦ νόμου ποιοῦντα· δεῦρ' οὖν εἰπέ μοι, τίποθ' Ὅμηρος χαίρει τοὺς μὲν δίους, τοὺς δὲ εἰκέλους, καὶ μῆτιν ἀταλάντους καλῶν τῷ Διῒ, καὶ τίνας τῷ θεῷ προσεικάζει; Ἀγαμέμνονα φὴς, καὶ Διομήδην, καὶ τοὺς ὁμοίους· τί δήποτε; ἢ ὅτι πολλῶν τῶν ὑπ' αὐτοῖς πρόνοιαν ἐποιοῦντο· πατρικὸν γὰρ δήπου ἡ πρόνοια· διὸ καὶ αὐτὸν τὸν Δία πατέρα ἅμα θεῶν καὶ ἀνθρώπων ἐποίησεν ὁ αὐτὸς, οὐχ ὅτι γυναιξὶ θνηταῖς ἐπλησίαζε,

» Σπερμαίνων τὰ πρῶτα γένος κυδρῶν βασιλήων·

» Οἱ σκηπτοῦχοι ἅπαντες ἐπιχθονίοισιν ἔσονται.

πρὸς τοὺς ὑπ' ἐλαχίστων ἐπαινουμένους, ἢ πρὸς τοὺς ὑπὸ τῶν πολλῶν γεραιρομένους, ἐφ' οἷς οὐδ' οὗτοι αὐτοὶ ἴσασιν οὐδ' ὅ,τι ἐπαινοῦσιν, οὐδ' ὅ,τι καὶ ψέγοιεν. Τί οὖν μοι βούλεται ταῦτα πρὸς σέ; ἢ ὅτι τῆς ἠθικῆς παραμελήσας φιλοσοφίας, τριγώνοις μᾶλλον καὶ τετραγώνοις προσέχεις τὸν νοῦν· ἐξ ὧν, ἔνθα δημηγοροῦσιν οἱ Νέσορες, ὑμεῖς στήσεσθε κεχηνότες. Ἔῤῥωσο.

### Τῷ αὐτῷ. (314)

Τῶν μὲν ἐν ταῖς λέσχαις διαλέξεων μήθ' ὅλως ἀπέχου, μήτε διατείνου ἐς τέλος, τὴν ὠφέλειαν, ἀλλὰ μὴ τὴν νίκην ἐν πᾶσι θηρώμενος· ἔστι γὰρ οὐχ ὅπως ὑπὸ τῶν εὐνοούντων, ἀλλὰ καὶ ὑπὸ τῶν βασκαινόντων τοῖς σοῖς ὠφελεῖσθαι, ὁπότε τοῦτο κατὰ τρόπον διώκοις· τῶν δ' ἐριστικῶν καὶ πρὸς τὴν νίκην διατεινομένων ἀφύκτως, ἀπέχου· ἔρις γὰρ,

„ Οὐρανῷ ἐπεστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.

Μέχρι μὲν οὖν ζητεῖται ἁπλῶς τἀληθὲς, φιλοσόφει, χρώμενος πρὸς πάντα λόγῳ καὶ ἐπιδείξει· ἐπειδὰν δ' ἴδῃς τὸν ἐνιστάμενον ἰσχυρογνωμόνως ἐπιμένοντα τῇ ἀπάτῃ, καὶ ἀκροβατοῦντ' ἐν πολλαῖς φοραῖς καὶ ἑλίξεσι λόγων εἰκῇ·

„ Παντοῖος δ' ἐπέων πουλὺς νόμος ἔνθα καὶ ἔνθα.

Παραχώρει κακοζήλου φιλοτιμίας· ἐν γὰρ ὁμίλαις πονηραῖς ὁ κρακτικώτερος πάντως τὴν νίκην, ὥσπερ ἀλέκτωρ, ᾄσει· νίκην δ' οὖν χείρω πολλῷ τῆς ἥττης. Ἔῤῥωσο.

### Ἀνδρέᾳ. (315.)

Μὴ θαύμαζε, εἰ πολλὰ, ὥσπερ ἐξ ἑωλοκρασίας, κατεῖπόν μου πολλοὶ τῶν τοῖς ἐμοῖς βασκαινόντων· τοὐναντίον δ' ἂν

ἄρα τὸ τῆς ἐλευθερίας καλὸν κεκιβδήλευται, μερισθὲν ἀπὸ τοῦ πρώτου τὸ δεύτερον· καὶ ἔσθ' οὕτω νῦν τῆς ἐλευθερίας ἡ μὲν φερώνυμος, καὶ ὅλως ἱερὰ, ὅλως θεία τοῖς τὴν ἁπλότητα καὶ ἀλήθειαν, αἷς ὡς ἐπὶ βάσεσι τετραπέδοις ἐκείνη ἐστήρικται, τιμῶσι, θείᾳ μοίρᾳ δεδωρημένη· ἡ δὲ ψευδώνυμος καὶ ἀπατηλὴ, καὶ τοῦτ' αὐτὸ ἐκ μοχθηρᾶς ἀναφυομένη ἕξεως, ἐμπαθὴς ὅλως καὶ μαινομένη, ὡς ἐπ' ἀσπίδος καὶ δράκοντος ἐπιβεβηκυῖα· κἀκείνῃ μὲν χρῶνται, οἷς τἀληθὲς πρεσβεύεται ὅλως ἀπαθές· ταύτην δ' ὑποτρέφουσιν ἑαυτοῖς, οἷς ὁ βίος δόλιος, καὶ τὸ ψεῦδος τοῦ ἀληθοῦς προτιμότερον, ἐφ' ᾧ περιϊόντες, ἔχοιεν ἐκτραχηλίζειν καὶ τοὺς ἐκλεκτοὺς, εἰς ὃν αὐτοὶ, δοῦλοι τῶν παθῶν γεγονότες, ἐξώκειλαν βόθυνον. Ἐντεῦθεν ἄρα δικαίως ἂν μακαρίζοιμεν πόλεις καὶ ἔθνη ὅλα, οἳ τῆς ἀρχετύπου ἐλευθερίας ἐχόμενοι, ἐποίησαν τὰς ἑαυτῶν πατρίδας ζηλωτὰς παρὰ πᾶσιν· οὓς καὶ Ὅμηρος οὐκ ἀμυδρῶς ἐξύμνησεν ἐν τοῖς ἔπεσι, φυσικωτέρᾳ τῇ εἰκόνῃ ἐκείνῃ χρησάμενος·

„ Χείματος ἠνεμόεντος ἀπ' αἰθέρος οἰχομένοιο,
„ Πορφυρέη μείδησε φερανθέος εἴαρος ὥρη
„ Γαῖα δὲ κυανέη χλοερὸν ἐστέψατο ποίην,
„ Καὶ φυτὰ θηλήσαντα, νέοις ἐκόμασε πετήλοις.
„ Οἱ δ' ἁπαλὴν πίνοντες ἀεξιφύτου δρόσου Ἠοῦς
„ Λειμῶνες γελόωσιν ἀνοιγομένοιο ῥόδοιο.

Οὕτω τὰ κατ' αὐτοὺς ἐκ τῶν περὶ αὐτοὺς ἐμεγάλυνεν ὁ τῶν τῆς Καλλιώπης θεραπόντων εὐγνωμονέστατος. Περὶ δὲ τῶν δευτέρων, τῶν τὴν ἀκόλαστον ἐκείνην καὶ εὐπερίστατον τῆς σώφρονος καὶ κατακουούσης τοῦ λόγου ἐλευθερίας περὶ πλείονος ποιουμένων ἐκεῖνά φησιν ὁ τῶν τραγῳδῶν κορυφαῖος·

„ Οὐκ ἔστιν οὐδὲν δεινὸν, ὧδ' εἰπεῖν, ἔπος,
„ Οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος,
„ Ἧν οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.

βελτίωσιν· καὶ οὐδὲ νῦν γ' ἐῶσιν ἡμᾶς, ὡς ἀλγηδόνας τοῖς αὐτῶν προσποίπτοντας ὀφθαλμοῖς, μετὰ τῆς φίλης ἡσυχίας τοῦ γε λοιποῦ ἀναπαύσασθαι· ἐν ᾗ ἡ φύσις ἤδη αὐτὴ, τὰ ἐκ τῆς ἡλικίας δυσχερῆ παραμυθουμένη, καὶ τοὺς προταλαιπωρήσαντας θεραπεύουσα, δίδωσιν αὐτοῖς τό γε λοιπὸν τοῦ βίου διαγαγεῖν εὐθύμως ἐν θεωρίᾳ μὲν τῶν ὑπ' αὐτῶν πεπραγμένων, ἐλπίδι δὲ τῶν προσδοκωμένων παρά τε θεοῦ καὶ ἀνθρώπων. Οὕτως ἡ νεωτέρα αὕτη ἐλευθερία, πολλαχῶς ἐπηρεάζουσα, καὶ παντοίως τοῖς ἡμετέροις βασκαίνουσα, εἴτι ἡμῖν πέπρακται ἀγαθὸν, ἀφελεῖν πειρᾶται τὴν ἐκ τούτων ὑπόληψιν· πρῴην γὰρ, δεύτερός που μὴν οὑτοσὶ, Φρῦνός τις, πολὺν ἐκχέων ἰὸν, κατορωρυγμένος μὲν τῇ ἀνωνυμίᾳ, ἐπιειμένος δὲ ἀναιδίην καθ' Ὅμηρον, ἐπιπηδήσας, ὡς σκορπίος ἄττων, τῷ τῆς γραμματικῆς μου προλόγῳ, ἐπεβάλετο διορθοῦν, ὧν τὴν γνῶσιν ἀφῄρηται, οὕτως ὥσπερ ἂν εἰ ἦν συντάγματ' ἄττα τῶν αὐτοῦ μαθητῶν, οὓς οὐδ' ἰδεῖν, μήτι γε καὶ διδάξαι ἠξίωται πώποτε· καὶ τετόλμηκεν ἐπικρίναι καὶ κατακρίναι κάλλος Μούσης, ἧς τοῖς κόλποις ἢ οὐδέποτε ἠξίωται πλησίον γενέσθαι, ὥστε καὶ ἀπογεύσασθαι τῶν ἐκεῖθεν ἐπαφροδίτων χαρίτων, ἢ προσιὼν μικρὸν, ὅσον καὶ οἱ ἀκόλαστοι τῆς σώφρονος Πηνελώπης μνηστῆρες, τῆς τελείας ἀπολαύσεως ἀπεσκορακίσθη, ἀκούσας ἐκεῖνο τὸ κακέμφατον μὲν, ἀληθὲς δ' ἄλλως·

» Τραχύς τις εἶ, εὐνῆς ἐμῆς ἀπόσχου, ὦ κόραξ.

Ἀλλὰ τά γε τοιαῦτα, ὅσα ἐς λόγους ἥκει, ὑλακτείτω ὅ,τι καὶ βούλοιτο.

» Οὐδ' ἅπτεταί μου ταῦτα τῆς ὁμοχροίας.

χώρησεν ἀθλιότητος, καὶ ἃ πέπρακται αὐτῇ ἐν τῇ πλάνῃ ταύτῃ ἀναμνησθεῖσα, τίκτει τὴν συνείδησιν, οἷον διφυᾶ θυγατέρα· τοῦτον δὴ τὸν ἀπαραίτητον δικαστὴν, τὸν ἅμα κατήγορον καὶ συνήγορον, τὸν ἐπιτιμῶντα καὶ παραμυθούμενον, τὸν πλήττοντα κέντρῳ δικαίως, καὶ ἰώμενον ἐκ χάριτος ὑποκρίσει· ἡ γὰρ Κόρη καθάπτεται μὲν ἐσωτερικῶς τῆς μητρὸς, ἐφ' οἷς ἐπλημμέλησε· προσποιεῖται δ' ἐξωτερικῶς συνηγορεῖν αὐτῇ, ἐν οἷς ἐξελέγχεται πράξασα, ἵνα μὴ τελέως ἀπογνοῦσα τυχὸν, ἀπάγξηται. Ταῦτ' ἄρα ὑπερασπίζουσα τῇ μητρὶ πρὸς τοὺς ἔξωθεν ἐπιόντας ἐλέγχους, καταφεύγει εἰς λόγους, οὐχ οἵους αὐτὴ τίκτει φύσει, ἐκ τῆς φιλοσοφίας πορίζομένη· ἀλλ' οἵους ἡ ἐπίχριστος τεκταίνεται ῥητορεία, ἐκ τοῦ ψεύδους τὴν ὕλην δανειζομένη·

„ Στρεπτὴ γὰρ γλῶττ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι.
„ Παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

Τοιούτοις οὖν ὁπλισθεῖσα ἡ ταλαίπωρος ψυχὴ, πειρᾶται ἐπαμύνεσθαι πρὸς τὰς ἐπιούσας Ἐριννῦς, παντοίαις χρωμένη μορφαῖς κατὰ τὸν Πρωτέα, εἴπως ἐκ πολλῶν καὶ διαφόρων μορμολυκείων γένοιτ' αὐτῇ ἀποσοβῆσαι τοὺς ἐπερχομένους ἀλάστορας· ἀλλ' ἐς μάτην· τὰ γὰρ τοιαῦτα πέφυκεν ἐκφοβεῖν τὰ παιδία· τῇ δὲ ψυχῇ συνειδυίᾳ τὸ ἑαυτῆς, ἀπαλλαγὴ ἀπὸ τῶν τοιούτων μόνη ἂν εἴη ἡ εἰλικρινὴς τῶν τετολμημένων ἐξομολόγησις. Τοῦτ' οὖν ποιήτωσαν καὶ αὐτοὶ, εἰ ἔτι περίεστιν αὐτοῖς συνειδός· ἐντεῦθεν μόνον ἡ σωτηρία· ἐσωτερικὸν, αὐθαίρετον, ἀνανάγκαστον τὸ ἴαμα πάρεστιν· εἰπάτωσαν, ὅτι ἥμαρτον· ὁμολογήτωσαν, ὅτι ἠδίκησαν τριακοσίους καὶ τριάκοντα Ὀρφανοὺς, τήν τε τροφὴν καὶ τὴν παιδίαν φθόνῳ τῷ πρὸς ἡμᾶς αὐτοὺς ἀφελόντες ἀσυνειδήτως· καὶ

### Γεωργίῳ. (319.)

Εἶθ' οὕτως εὐήθως ᾠήθης ἐλεύθερος εἶναι, ὅτι μὴ φέρεις πέδας τοῖς ποσὶν, ὥσπερ ὁ Καρίων τὰς χοίνικας, ταύτας δὴ τὰς φανερὰς καὶ κροτούσας, ὁ ὑπὸ μυρίων καὶ χαλεπωτάτων αὐτὸς δεσμῶν ἀφανῶν τὴν ψυχὴν κατεχόμενος, οἷα ἦν τὰ καὶ αὐτὸν τὸν Ἄρην, ᾗ φησιν Ὅμηρος, κατασχόντα;

„ Ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
„ Ἠΰτ' ἀράχνια λεπτὰ, τά κ' οὐκέτις οὐδὲ ἴδοιτο.

Ταῦτ' οὖν, ὦ βέλτιστε, πρῶτον τὰ ἀράχνια εἰ δύνασαι διοπτεῦσαι, πειρῶ διαλύειν, εἰ τῷ ὄντι χαίροις ἐλευθερίᾳ· τὸ δὲ σῶμα κἂν δεθῇ τὸ σὸν, κἂν φρουρηθῇ, οὐκ ἂν ἀληθῶς ἀπολέσειας τὸ ἐλεύθερον, οὐ μᾶλλον, ἢ εἰ καὶ τὸ σόν ποθ' ἱμάτιον καθειρχθείη. Διογένης γὰρ καὶ πωλούμενος, ἄρχειν ἀνθρώπων ἐπίστασθαι ἔλεγε, καὶ δοῦλος γενόμενος αὖθις, δεσπότης ἦν τοῦ δεσπόζοντος· ὁ δ' Ἀνάξαρχος, σιδηροῖς ἐν τῷ ὅλμῳ ὑπέροις τυπτόμενος, ἥδετο παιωνίζων τὴν νίκην, Πτίσσε, λέγων, πτίσσε τὸν Ἀναξάρχου θύλακον· Ἀνάξαρχον γὰρ οὐ πτίσσεις. Ἐπὶ γοῦν τοιαύτῃ ἐλευθερίᾳ βουλοίμην σε καυχᾶσθαι, μηδαμῇ δ' ἐν μηδενὶ ὑπὸ τῶν ἀφανῶν δεσποτῶν παρασύρεσθαι. Μέμνησο δ' οὖν καὶ ἃ ἤκουσάς ποτε ἐν τοῖς περὶ τοῦ ἤθους λόγοις· μᾶλλον δ' ἔπιθι τὸ βιβλίον, ὅσα καὶ προσευχῇ αὐτῷ χρώμενος· ἵνα δὲ μὴ λάθῃς ποτὲ παριδὼν, ἀναλάμβανε τῇ μνήμῃ, ἐπιλέγων τὸ Πυθαγόριον. Πῇ παρέβην; τί δ' ἔρρξα; τί μοι δέον οὐκ ἐτελέσθη; Ἔρρωσο.

### Κωνσταντᾷ. (320.)

Γεώργιος ὁ Γεννάδιος ἑορτάζει σήμερον τῇ θυγατρὶ τὰ γεννέθλια· δεῖ ἄρ' ἡμᾶς συγχαρῆναι ἀνδρὶ φίλῳ καὶ πατρὶ φιλοστόργῳ· Ἐλθὲ τοίνυν εἰς τὴν καθ' ἡμᾶς Ἐκκλησίαν τάτε

τὴν πατρίδα πᾶσαν μικροῦ δεῖν διαρπάσαντες, ἀνάστατον πεποιήκασιν; Ἀλλ' ἐξηπατήθησαν, φὴς, ὑπόγε τῶν Φαναριτῶν· οὐκοῦν οἱ μὲν εἰς τὸ παράνομον ἔργον αὐτοὺς ἐκκινήσαντες, τυχόντες, οὗπερ κατεστοχάσαντο, νῦν ἀδεῶς ἐντρυφῶσι, κατασχόντες τὰ πράγματα· οἱ δὲ, ἐπαγόμενοι εἰς εἱρκτὴν, ἀποτίουσιν, ὡς οἱ χοῖροι, ἃ κατέφαγον γίγαρτα. Ἀλλ' ὑπὲρ ἐλευθερίας, φὴς, ἐκεῖν' ἀποτετολμηκέναι δοκοῦσι· τίνα ταύτην φὴς τὴν ἐλευθερίαν; ποτέραν, τὴν σώζουσαν, ἢ τὴν

» Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγεα θῆκε,
» Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν;

τί γὰρ τῶν κακῶν πέρυσιν ἡμῖν οὐκ ἐγένετο; οἱ γὰρ Ἕλληνες ἐλευθερίαν προφέρειν ἴσασιν, μέγα τι καὶ πλατὺ λαρυγγίζοντες. ὅ,τι δέ ποτ' ἐστὶ τὸ χρῆμα τοῦτο, παντάπασιν ἀγνοοῦσιν, καὶ τοῦτ' οὐχ οἱ πολλοὶ, ἀλλὰ καὶ οἱ μάλιστα παιδείας μετεσχηκότες· οἴονται γὰρ τὸ μηδὲν μηδενὶ ὑπείκειν καὶ τὸ παρ' οὐδενὸς ἐν μηδενὶ προστάττεσθαι, τοῦτ' ἐλεύθερον εἶναι· ὃ τῶν τε πρώην συμβάντων ἡμῖν καὶ τῶν ἔτι μελλόντων, εὖ οἶδ' ὅτι, κακῶν αἴτιον ἔσται καί τοι ἐν ἄλλοις οὐκ ἀφυεῖς δοκοῦσί μοι εἶναι· εἰ γάρ τις ἔροιτ' αὐτῶν τινὰ, ὅ,τι ποτε νομίζει ἐλευθερίαν εἶναι, τὸ ἐλεύθερα φρονεῖν, φαίη ἂν, καὶ μηδενὶ πειθαρχεῖν, πράττονθ' ἁπλῶς τὰ δοκοῦντα· εἰδέ τις προσεπερωτῴη αὐτὸν, εἴποτε τύχοι πη ἢ χορευτὴς ἐν χορῷ, ἢ συνᾴδων ἐν ἁρμονίᾳ, πότερον προσέχει τῷ τοῦ χοροῦ κορυφαίῳ, ἢ τῷ τὴν ἁρμονίαν εἰσηγουμένῳ, ἢ τοὐναντίον, ἐκεῖ μὲν ὀρχεῖται, ὁπωσδήποθ' οἱ πόδες αὐτοῦ ἐφάλλεσθαι δύναιντ' ἄν· ἐνταῦθα δὲ ᾄδει τε καὶ ἀπᾴδει, ὅττικεν ἐπ' ἀκερίμναν γλῶσσαν οἱ ἔλθῃ, ταῦτα δὴ εἴτις ἐπερωτῴη, οὐ φήσει γε δήπου· ἀλλ' ὅτι δεῖ ἕπεσθαι, οἷς ἂν δόξῃ τοῖς ἑκατέρας τῶν ἐπιστημῶν ἡγεμόσι νομοθετεῖν. Οὕτως

νομεν τέλος, καὶ ἤδη πρὸς τὴν νύσσαν ἐσμέν· εἰδὲ μὴ, οὔτε ταῦροι ἡμῖν πῦρ ἐκπνέοντες, μέχρις ἂν τῆς δυνάμεως ταύτης ςερώμεθα, οὔτε ἄϋπνοι δράκοντες ἐπιλείψουσιν. Ἔῤῥωσο.

Φιλεταίρῳ. (324.)

Τὰ φλεγμαίνοντα τῶν σωμάτων οὐκ ἂν εὐθὺς ἐνδιδῴη τῇ πρώτῃ καταιονήσει· ἀλλὰ δεῖ συνεχῶς ἐξῆς καταπλάττειν τὸ πεπονηκὸς μέχρις ἂν, τῶν συῤῥυέντων αὐτοῦ ὑγρῶν, ἐξ ὧν ἡ φλεγμονὴ, διαλυθέντων, ῥᾷον σχῇ τὸ νοσοῦν· οὕτω τοίνυν χρῶ καὶ αὐτὸς τῷ λόγῳ συχνότερον πρὸς τοὺς παῖδας, φαρμάκῳ σοφωτάτῳ καταστέλλων αὐτοῖς τὰς τῶν παθῶν φλεγμονὰς, καὶ οὐκ ἀτυχήσεις τῆς ὑγιάσεως. Ἔῤῥωσο.

Κύρῳ. (325.)

Ὁ πονηρός ἐστι τοῦτ' αὐτὸ, ὃ πάντες φασὶν, ἀνόητος· ὁ δὲ κόλαξ τοῦτόν τε καὶ πάντας ὑπερέβαλεν ἀφροσύνῃ. Πασῶν οὖν τῶν κακιῶν αἰσχίστην ὑπολειπτέον τὴν κολακείαν· εἰδέ τις καὶ ἀδικωτάτην αὐτὴν φαίη, οὐκ ἂν ἁμάρτοι· φθείρει γὰρ αὕτη πανταχοῦ τἀληθὲς, ὅπερ ἐστὶ τὸ τοῦ βίου πηδάλιον. Ἔῤῥωσο.

Φιλεταίρῳ (326.)

Τίποτε τἀρημότερα τῶν χωρίων δοκῶ διώκειν; μῶν τὸν μετὰ τῶν θηρίων βίον μᾶλλον τοῦ μετὰ τῶν ἀνθρώπων προήρημαι ζῆν; ταῦτα φὴς ἴσως, ὡς διὰ πολλοῦ μὴ ἰδών με κατιόνθ' ὡς ὑμᾶς εἰς τὴν πόλιν· ἀλλ' οὐ θηρίων, ὦ 'γαθὲ, ἀλλ' ἀνδρὸς φρονοῦντος, ἀσφαλῶς ζῆν ζητοῦντος, καὶ μεθ' ἡσυχίας τά γε δυνατὰ φιλοσοφοῦντ', εὐθυμεῖν· ὃ ἐρημία ἐν ἀλόγοις ἀθῴοις, ἢ πόλις ἐν λογικοῖς πονηροῖς ἐπιτηδειοτέρα παρέχειν. Ἔῤῥωσο.

ἀπὸ τῶν λόγων ὑπισχνούμενα εὔκλειαν· ἀλλ' ἐνδοιάζοντι ἔοικας, εἰ καὶ τὰ πράγματα ἀκολουθήσει τοῖς κομψοῖς τῶν ῥημάτων λαρυγγισμοῖς. Πρὸς ταῦτα τοίνυν μετά τινος ἀστείου ἀποκρινούμεθα· σὺ δὲ ὅπως μὴ τῇ βωμολοχίᾳ προσχὼν, ἀναίδειάν τινα ἡμῶν εὐθὺς καταγνώσῃ· ἀλλὰ τὴν τοῦ πράγματος ἀγασθεὶς ὁμοιότητα, ἀνειλίττου τὴν περὶ οὗ ὁ λόγος ἀλήθειαν. Τῶν εὐνούχων φασὶ τοὺς ἀσελγεστάτους ἐρᾶν μὲν τῶν γυναικῶν, καὶ συγκαθεύδοντας αὐταῖς ἐνοχλεῖν· γίγνεσθαι δ' οὐδὲν πλέον ἐκ τούτου, οὐδ' ἂν πάσας ἡμέρας καὶ νύκτας αὐταῖς συνῶσιν. Οὕτως οὖν καὶ τῶν νῦν διδασκόντων οἱ πλείους πολλὰ μὲν δοκοῦσι σπείρειν, ὀλίγα δὲ φύονται, καὶ ταῦτ' οὐ σπουδαῖά τινα, ὑετοῦ πρωΐμου καὶ ὀψίμου στερούμενα· τὸ γὰρ τῆς γλώσσης καλὸν, ὃ πάσης βάσις ἐστὶ παιδείας, ἠμέληται τὸ παράπαν, ἄλλαις τισὶν, ἢ τῇ πατρῴᾳ φωνῇ προσεχόντων τῶν ἡμετέρων· οἱ οὖν καρπὸν φιλοσοφίας ἐντεῦθεν συλλέγειν ἐλπίζοντες, οὐκ ἐκ συκῶν σύκα, ἐκ δὲ ἐρινεοῦ ὀλύνθους, καὶ ἄλλ' ἅττα τοιαῦθ' ὑπηνέμια λανθάνοντες συγκομίζονται· ὥστ' οὐ φθάνουσι ταῦτα ἐναποθέμενοι, καὶ τῶν ἐλπίδων ἐκπίπτουσι, τῶν ἀποθηκῶν μηδὲν τῶν τροφίμων παρεχομένων· τῆς γὰρ ἐμμελοῦς Μούσης ἀποτυχόντες, νεφέλῃ κατὰ τὸν Ἰξίονα σκοτεινῇ καὶ ἀχλυώδει συγγίνονται· ἐξ ἧς ἀλλόκοτ' ἀποκυήματα, τοὺς Κενταύρους, ποικίλον γένος, ἔκ τε Γαλλικῆς καὶ Ἑλληνικῆς συνουσίας πεμφυρμένον καὶ ἀσύμφυλον ἀποτίκτουσι.

## *Τῷ Κωνσταντᾷ.* (329)

Πρῴην, οὔπω πάνυ πρῴην ἔτυχον περιπατῶν παρὰ τὸ Ὀρφανοτροφεῖον κατὰ τὴν συκῆν τὴν πρὸς νότον· ὡς δ' ἐχώρησα μικρὸν ὡς πρὸς τὸν μέγαν λιμένα, ἐνέτυχόν τινι τούτων δὴ τῶν καταχρωμένων τῷ καιρῷ πρὸς διαβολήν· ὃς

τας ὑπόνοιαν· καὶ ἀπαγαγόντας μέλλειν παραδώσειν τοὺς ἐνόχους τοῖς νόμοις ἐπὶ τιμωρίᾳ· ἡ δὲ ζημία τοῖς πλεῖόν τι τῶν πεντακοσίων δραχμῶν σφετερισαμένοις θάνατος κατεγνώσθη· ὅτι δὲ οὔτε τούτων ἔμοιγε μέλει,

„ Οὐδ' ἅπτεταί μου ταῦτα τῆς ἐμοχροίας, „

καὶ σὺ ἂν αὐτὸς ὁμολογοίης, συνειδὼς ἐμοὶ, οὐδ' εἰ τὰ μέγιστ' ἐπιτραπείην κοσμεῖν, μὴ ἂν ἀδικήσοντι ὁτιοῦν· σὺ δὲ τί φὴς περὶ σεαυτοῦ, ἐν ᾧ νῦν καθέστηκας ἐπαγγέλματι; πολλὰ γὰρ καταμαρτυροῦσί σου, οἳ πρὸς τὸ κλέπτειν εἰσὶ πολλῷ σου δριμύτεροι. Ὅρα τοίνυν, μὴ ἐπιβαρύνῃς τὴν συκῆν ταυτηνὶ, ἀπαγχθεὶς ἀπό τινος τῶν αὐτῆς ἀκρεμόνων. Τούτων οὖν οὕτως σὺν δριμύτητι ἡμῶν πρὸς ἀλήλους ἀστειευσαμένων, προσεποιήσατο μὲν ὑπομειδιᾷν, τοῦτο δὴ τὸ Σαρδώνιον σεσηρώς· ἀλλ' ἀπῆλθε πλεῖον τῆς πτοήσεως μεταλαβὼν, ἢ ᾠήθη αὐτὸς ἐμοὶ μεταδοῦναι· ἔδειξε γὰρ ἀπὸ τοῦ σχήματος μὴ μικρὸν τεταράχθαι· καὶ τοῦτ' οὐ μᾶλλον, οἶμαι, ἐφ' οἷς ἐπηπείληται (δεινὸς γὰρ τὴν κλεπτικὴν λέγεται εἶναι· ὥστ' οὐδ' αὐτὸς ὁ Ἑρμῆς ὁ τῆς τέχνης καθηγητὴς οἷος τ' ἂν εἴη αὐτὸν ἐξελέγξαι) ἢ ἐφ' οἷς κατέμαθεν ἡμᾶς ταῖς αὐτοῦ διαβολαῖς τὸ παράπαν ἐσομένους ἀλήπτους. Οὕτως οὖν κᾀυτὸς καλῶς ποιήσεις, τοὺς πονηροὺς μετελθὼν, πασσάλοις σιδηροῖς τοὺς Οἰσυΐνους αὐτῶν ἐκκρουόμενος. Ἔρρωσο.

## Τῷ Ἰωσήφῳ. (33ο.)

Ὡς ἐπέχω τὴν χάριν, τὸ ἀπὸ Ζακύνθου τιμαλφέστατον ἀγώγιμον τὰ σὰ, φημὶ, γράμματα κομισάμενος, οὐδ' ὤφθης ψευσάμενος τὴν ὑπόσχεσιν· κᾀγὼ οὖν ἀπέπεμψα τῷ θεῷ τὴν ἐνήκουσαν δόξαν, ἐφ' οἷς εἰς τὴν πατρῴαν παρεγένου ἑστίαν· ἀκηκοὼς γὰρ, ἅ σοι συνέβη παθεῖν κατὰ Κόρινθον ἀπο-

Ἀλλ' ἔσται ὅτε καὐτὸς τεύξεται μελαμπύγου τοιούτου· ᾧ ἀκολάστου γλώσσης πάντως ἀξίαν ὑφέξει δίκην· ἡμῶν γὰρ ἀρχὴ καὶ τέλος ἐν κακῶς μὲν πάσχοντας συγγινώσκειν· ἀκούοντας δ', εὐλογεῖν· τοῦτο γὰρ ἐντετάλμεθα. Ἔῤῥωσο.

Τῷ Κύρῳ. (332.)

„ Ἆρ' οἶδεν ἀνθρώπων τις; ἆρα φράζεται;
„ Τί χρῆμα; ποῖον τοῦτο πάγκοινον λέγεις;
„ Ὅσῳ κράτιστον κτημάτων εὐβουλία·
„ Ὅσῳ περ, οἶμαι, μὴ φρονεῖν πολλὴ βλάβη·
„ Ταύτης σὺ μέν τοι τῆς νόσου πλήρης ἔφυς.

Ἢ οὐκ οἶσθ' ὅλως, ὅτι ὅσον ἡ ψυχὴ τῶν ἱερῶν λόγων ἀνήκοος διαγίγνεται, τοσοῦτος ἑσμὸς μοχθηρῶν διαθέσεων δίκην χειμάῤῥου πανταχόθεν συῤῥεῖ εἰς αὐτήν; ὁ γὰρ νοῦς, ἡ πρώτη καὶ μάλιστ' αὐτῆς ἐνέργεια, τοῦτ' αὐτὸ ἐνέργεια ὤν, πνεῦμ' ἄϋλον καὶ ὀξὺ, ἐν τῷ κινεῖσθαι τὴν ὕπαρξιν ἔχων, οὐκ ἂν ὑπάρξειε, μὴ κινούμενος· κινοῖτο δ' ἂν οὐχ ὑπὸ τῶν πόῤῥω μᾶλλον, εἰ μήτι ποτὲ δυνάμει μνήμης, εἰ τύχοι, ἢ ὑπὸ τῶν προσεχεστέρως ταῖς αἰσθήσεσι προσβαλλόντων. Τούτων δ' οὐχ χρηστῶν μὲν ὄντων, ἐπὶ χρηστά· φαύλων δὲ, δῆλον ὅτι ἐπὶ τὰ χείρω ἀνάγκη κινεῖσθαι· σὺ δ' ἔοικας

„ Θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχειν·

Καίτοι οὐκ ἐχρῆν· ἀλλὰ τὸν τῶν Κεφαλλήνων μιμούμενον ἀρχηγὸν τά τ' ἄλλα, καὶ

„ Κηρῷ τὰ ὦτα φράζειν πρὸς φαύλους λόγους·

Ἀναπετανύειν δὲ τοὐναντίον πρὸς τὰ σωτηριώδη ἐκεῖνα. Τὰ λόγια Κυρίου λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως. Ἔῤῥωσο.

κατὰ θυμὸν χωρεῖ τὰ ἡμέτερα, ἑτέρων ἁμαρτανόντων, οἷς οὐδὲ συνείδησις πρόσεστιν· ἀλλ' αὐτοὶ τὰ κοινῇ καὶ ἰδίᾳ συμφέροντα πράττοντες, κἀνταῦθ' εὐφροσύνως διάγοιμεν ἄν, κἄπειτα ἐν τῇ κρίσει τῶν ἁπάντων οὐκ ἂν ἀπολέσαιμεν τὸν μισθὸν, ἐφ' οἷς ἐς τέλος διάγομεν, τὸ δοθὲν ἡμῖν τάλαντον πιστῶς ἐργαζόμενοι. Πῶς οὖν, τούτων οὕτως ἐχόντων, οὐκ ἂν εἴημεν πάντων εὐδαιμονέστεροι; διττὸν γὰρ τοῦθ' ἡμῖν τὸ κέρδος ὁρίζει ἐνταῦθα μὲν εὐθυμίαν, ἐι οἷς ἐργαζόμεθα, καὶ ταῦθ' ἑκόντες οὐκ ἄκοντες· μετὰ ταῦτα δὲ τὴν ἐξ ἐπαγγελίας τῆς ἐπὶ τοῖς ἔργοις μισθαποδοσίας ἀπόλαυσιν. Ταῦτ' ἄρα ἄκρατον τὸ εὔθυμον ἔχει· τὰ δὲ ἄλλα μεμιγμένην τὴν χάριν τῇ λύπῃ παρέχει.

„ Πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα,
„ Καὶ ζῆ, τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ
„ Τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
„ Οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν. Ἔρρωσο.

*Ἀδάμῳ.* (334.)

Ἐπειδὴ δι' ἐφέσεως ἔχεις μαθεῖν, ὅπως τὰ τῶν Ἑλλήνων ἔχει πράγματα, ἴσθι ταῦθ' ὡς πρὸς μὲν τοὺς σώφρονας καὶ τὴν εἰρήνην περὶ πολλοῦ ποιουμένους, καλῶς· ὡς δὲ πρὸς τοὺς ἀπαυθαδιάζοντας, καὶ πάνυ γε σκυθρωπῶς· συνορῶντες γὰρ οἱ ἄρχοντες, οἷα βουλεύονταί τινες, καταχρώμενοι ταῖς Ἐφημερίσιν, ἀπαγαγόντες ὡς ἀφ' ἑνὸς σημείου πανταχόθεν τοὺς στρατηγοὺς, κατέκλεισαν φυλακῇ, καὶ τὴν τυπογραφίαν περιώρισαν νόμῳ πολλῷ βαρυτέρῳ ἐκείνου, δι' ὃν ὁ Σὸς Ἀπόλλων αὐχεῖ ἀποκτεῖναι τὸν ἀγαθὸν Νομοδότην. Ἐντεῦθεν ἄρα πέπαυνται οἱ μὲν λοιδοροῦντες, οὓς ἥκιστ' ἐχρῆν· οἱ δὲ σώφρονες, ὑλακτούμενοι· καὶ νῦν ὡς ἀπ' ἀφώνου μηχανῆς διοικοῦνται τὰ καθ' ἡμᾶς κατὰ πρόσταγμα· ἐξ ὑπεροχῆς,

σιν ἔχον, καὶ τὴν ἡδονὴν, εἴτις εἴη, κλονουμένην καὶ ἄστατον, προαπειλεῖ ἀεὶ κακόν τι ἐκρήξειν αὐτίκα μάλα. Ἐντεῦθεν ἄρ' ἀτυχίας τινὸς τῶν ἐφετῶν, ὡς εἴωθε τὰ τοιαῦτα, ἐπισυμβάσης, μεμψιμοιρίαι πρὸς τὴν τύχην καὶ τοὺς καιροὺς, καὶ ῥήματα βλάσφημα πρὸς τὴν πρόνοιαν·

„ . . . . . . Ἀσέ με δαίμονος αἶσα κακή.
„ . . . . . . Ἐγὼ δ' οὐκ αἴτιός εἰμι.
„ Ἀλλὰ Ζεὺς, καὶ μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννύς.

Τοιαῦτα καὶ ἄλλ' ἄττα τραγῳδοῖς μὲν ἐπιτετραμμένα ἐπὶ τῆς σκηνῆς· τοῖς δὲ ἐσχηκόσι νοῦν ἐπίπαν ἀπέοικεν· θεὸς γὰρ ἀναίτιος κατὰ Πλάτωνα, αἰτία δὲ ἑλουμένου· οὔτε γὰρ τῷ Ἐλπήνορι αἰτία ἡ Αἶσα ἐκπεσεῖν τοῦ ὀρόφου, ἀλλ' ἡ μέθη, ὡς πολὺν τοῦ ἀκράτου σπάσαντι παρὰ νύμφης γοητικῆς· οὔτ' αὖ Ἀγαμέμνων δίκαιος ἂν εἴη Δία καὶ τοὺς ἄλλους τῶν κακῶν, ὧν ὑπέσχεν αὐτός τε καὶ πάντες οἱ Ἕλληνες, αἰτιᾶσθαι· ἔρως γὰρ κοριδίου ἔπεισε καὶ αὐτὸν τὸν τῆς Θέτιδος ἀτιμάσαι. Ἀλλ' ἔθος τοῦτο τοῖς γε πλείστοις κακόηθες, ὅπως ἀποστροφὴν τῆς αὐτῶν μοχθηρίας εὐπρόσωπον εὕρωσιν, ἐπ' ἄλλας ἀναγκαιοτέρας ἀρχὰς τὴν τῶν κακῶν ἀνατιθέναι αἰτίαν· ὃ τοῖς μὲν πολλοῖς εἴη ἂν ταῦθ' οὕτω λεγόμενα, ψυχῆς παραμύθιον πλανωμένης· πεπαιδευμένῳ δ' ἀνδρὶ ἥκιστα πρέπον οὕτω παραλογίζεσθαι, εἰδότι καὶ Ἐπίκτητον αὐτὸν, οἴκοθεν συμβαίνειν τοῖς φιλοσόφοις τάτε χρηστὰ καὶ τὰ φαῦλα ἀποφηνάμενον. Οὐκοῦν εἴποτέ σοι γένοιτο, ὡς μὴ εἴη, τὶ παθεῖν, μέμνησο λέγειν συνεχῶς, παιδεύων ἄλλους, τὸ τοῦ Ἀποστόλου. Ἐν ᾧ ἐκλήθη ἕκαστος, ἐκεῖ καὶ μενέτω. Ἔῤῥωσο.

## *Προκοπίῳ.* (336.)

Ἅμα τὰ σὰ κομισάμενος γράμματα, πάτερ σεβασμιώτατε, τὸ σεμνόν μοι τοῦτο καὶ πρᾶγμα καὶ ὄνομα, μεγίστην

πρὸ νόμου ἀπηνής· οἱ δ' αὖ περίδοξοι στρατηγοὶ, οὐκ οἶδ' ἐφ' ὅτῳ ἀπαχθέντες, ὡς ἀφ' ἑνὸς σημείου, καθείρχθησαν σήμερον, αὐτοῦ, ὧν ἠγωνίσαντο, τὰ ἆθλα ἀποληψόμενοι· Αἱ Μοῦσαι περιπολοῦσι γλίσχραι καὶ ἄγαν ψεδναί· Ἡ γλῶσσα, ἣν τοῦ τε γένους καὶ τῆς θρησκείας σωστικήν τε καὶ συστατικὴν ἅμα πάντες ὁμολογοῦμεν εἶναι, ἡ μὲν ἀρχαία παρημέληται τὸ παράπαν, ὡς ἀρχαῖόν τι καὶ τετρυχομένον ἱμάτιον, τιμωμένων τῶν ξένων· ἡ δὲ νεωτέρα ἐκτρεπομένη καὶ αὐτὴ κατὰ μικρὸν τοῦ κατὰ φύσιν ἑαυτῆς ῥύακος, καταῤῥεῖ διηνεκῶς δι' ἑτέρων ἀξυμφύλων ὀχετῶν εἰς θάλασσαν ἀλλοτρίαν· Τὰ δὲ τῆς θρησκείας ἀπρονόητα, οἱ Πρεσβύτεροι ἀμαθεῖς, οἱ Ἐπίσκοποι καὶ εὐπτόητοι ἔτι, περιορώμενοι ἕκαστος τὸ καθ' ἑαυτὸν, καὶ ὑπὸ τῶν φύλλων αὐτῶν, ὥσπερ λαγωοὶ, ἐκφοβούμενοι· Ἡ ἱερὰ λεγομένη Σύνοδος ἀπαγχομένη, προστάττεται· ἡ Ἐκκλησία σκυθρωπάζει, τὸν ἑαυτῆς μὲν ἀφαιρεθεῖσα στέφανον, ὑπονοοῦσα δ' ἕτερον νόθον ἐξ ἀκάρπου συκῆς δολίου καὶ ἀλαζονικοῦ Ἀποστόλου· οὗ τὰ δίκτυα ἤδη ἐπ' ἐλπίδι θήρας πολλῆς καταρτίζονται· καὶ οὐκ οἶδ' ἐφ' ὅσον ἡμῖν χωρήσει τὰ πράγματα, τῆς ταλαιπώρου Ἑλλάδος μὴ ἐχούσης ἄνδρα, οἷον ὁ Κυνικὸς λύχνος ποτὲ περιϊὼν ἐζήτει· ὃν δὲ μόνον εὕρατο ποτὲ οὐρανόθεν, τοῦτον ἀπέκτεινεν, ὡς τὸν Ζαχαρίαν, μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Τί δὲ τὸ τέλος τούτων; ὑμᾶς μὲν ὁ χρόνος διδάξει· ἐγὼ δὲ ἤδη γῆς δοκῶ μοι ἐρᾷν. Ἔῤῥωσο.

Κωνσταντᾷ. (337.)

Μὴ θαύμαζε, ὅπως ἐν τοῖς κάτω πρότερον εἰωθὼς διατρίβειν, νῦν αἴφνης τῇ τῶν μετὰ ταῦτα μᾶλλον ἔοικα ἐντρυφᾷν θεωρίᾳ· τοῦτο γὰρ καὶ ἕτεροι οὐ τῶν ἀπὸ τοῦ πάτου δοκοῦσι παθεῖν, Νεύθων τε ὁ Ἄγγλος, καὶ τῶν ἡμετέρων

δίκαιοι κ...ὰ τοὺς ἄφρονας ἐποδύρεσθαι; Ἀλλὰ καὶ τἀκεῖθεν, φησὶ, ὡς φοβερὰ ἡμῖν ἀπαγγέλλεται· δικαστήρια γὰρ ἀδέκαστα λέγεται, καὶ τῶν βεβιωμένων ἔλεγχος ἡμᾶς περιμένειν· καὶ μὴν διὰ τοῦτό σε δεῖ μᾶλλον πρὸς ἐκεῖνα ἐπείγεσθαι χαίροντα· εἰ γὰρ οὗ ὁ βίος ἀγὼν ἀρετῆς, οὗτος ἐνδοιάζει πρὸς τὴν τῶν χρηστοτέρων ἐλπίδα, οἷς τἀναντία βεβίωται, ποῦ φανοῦνται; Χωρῶμεν τοίνυν εὐθυμότερον, πρὸς ὃ ὁ ἀγαθὸς δημιουργὸς καλεῖ τοὺς αὐτὸν ἀγαπήσαντας. Ἔρρωσο.

*Ἰωάννῃ* (338.)

Δραχμὰς τέσσαρας ὀφείλεις μοι πρὸς ταῖς ἑξήκοντα· ἴσας δ' αὖ κἀγὼ Λέοντι τῷ Γάλλῳ ἐνοίκιον· ἵν' οὖν διαλύσωμεν τὸ χρέος ἀμφότεροι, ἀποδεδόσθω τῷ ἀνδρὶ τὸ ἀργύριον. Ἔρρωσο.

*Γεωργίῳ.* (339.)

Ἐδανείσω πέρυσι παρ' ἐμοῦ χάρτου τυπογραφικοῦ δέσμας δέκα· ἐπειδὴ τοίνυν μέλλω νῦν ἀπαρεῖν ἐς Σύραν τύποις ἐκδώσων, ἅ μοι πεπόνηται, οἶσθ' ὅτι ἥξει μοι ὁ χάρτης εἰς χρῆσιν· οὐκοῦν ἀποδεδόσθω μοι τὸ ὄφλημα ὁποτέρως ἂν βούλῃ, ἤτοι ἀντίτιμον εἰς ἀργύριον, ἢ εἰς ὕλην ἴσην τε καὶ ὁμοίαν. Ἔρρωσο.

*Κωνσταντᾷ.* (340.)

Δόξαι σφαλεραὶ τὰ μὴ ὄντα τοιαῦθ', ὡς ὄντα, ἀγαθὰ καὶ φαῦλα, τὰ γιγνόμενα ἡμῖν παριστῶσιν· εἰ γὰρ ἀδικία οὐδέν ἐστιν, ἢ ἀφαίρεσις ἀγαθοῦ· ἀγαθὸν δ' αὖ οὐδὲν, πλὴν ἀρετῆς, τί ἀλύεις αὐτὸς, ὡς ἀδικηθεὶς, μηδὲν ἀφῃρημένος; ἡ γὰρ ἀρετὴ ἐστὶν ἀναφαίρετος, εἰ καὶ ὁ ἀδικήσας ἠδίκησεν, αὐτὸς ἑαυτὸν

θεῶν καὶ θνητῶν ἐντιθέντες ταύτην διάφορον· οὐ γὰρ ἄλλους, ἢ τοὺς ἀγαθοὺς ἐν τῷ βίῳ γεγενημένους, οἷον Ἡρακλέα, καὶ Θησέα καὶ τοὺς τοιούτους κατέταττον ἐκεῖνοι τὴν μοῖραν ταύτην κατέχειν· πολλῶν γὰρ ἀνθρώποις ἀγαθῶν ἐγένοντο αἴτιοι· ἐφ' ᾧ καὶ Διὸς παῖδες ἤκουσαν. Ἔγωγε μὲν οὖν τοῦτο οἴομαι. Ὁπότ' οὖν καὶ οἱ θύραθεν τὸ τῆς ἀθανασίας ἐγέραιρον, τί χρὴ ποιεῖν τοὺς ἐκ τῆς ἀκηράτου πηγῆς ἀρυσαμένους ὕδωρ ζῶν καὶ ἁλλόμενον; ἢ εὔχεσθαι τοῦτο πιεῖν ἥδιόν τε καὶ εὐθυμότερον. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (342.)

Χαλεποῖς ὀνείροις ἔδοξα διὰ πάσης νυκτὸς προσπαλέσαι· καί μοι δοκῶ οὐκ ὀνείροις, ἀλλ' ἀγγέλοις ἐντετυχηκέναι κελεύουσι μονονουχὶ πρὸς τὴν τελευταίαν παρασκευάσασθαι ἐκδημίαν· ἀγαθῇ τύχῃ! Εἰ οὖν τοιοῦτό τί μοι συμβαίη (τί γὰρ οὔ;) μηδέν σε χρὴ πρότερον δρᾶσαι, ἢ τὰς χειρογράφους μοι βίβλους παραλαβόντα, κατακλεῖσαι ἐν τῷ σαυτοῦ κιβωτίῳ, μηδὲν μηδενὶ μήθ' ἅψασθαι, μήτ' ἰδεῖν ἐπιτρέποντα· δέος γὰρ μήτις ἀκόλαστος χεὶρ φθόνῳ ποτὲ, ἢ πλεονεξίᾳ ἀποσπάσηταί τι τῶν ὅλων. Τὸ δ' ἀπὸ τούτου περιττόν γε παρακαλέσαι τὸν φίλον Γρηγόριον φροντίδα καθ' ἡσυχίαν ποιήσασθαι τῆς τῶν βίβλων ἐκδόσεως, παραλαβόντα συνεργοὺς καὶ τοὺς ὑπ' ἐμοὶ παῖδας ἄμφω, ὡς ἱκανούς γε ὄντας διαιτῆσαι ὑπὸ σοὶ ἡγεμόνι ἕκαστα κατὰ τρόπον· τὸ δὲ πρὸς ταῦτα ἀργύριον πρόσεστι. Τοῦτο δὲ ποιήσας, ὡς ἐνδεὲς ὑπ' ἐμοῦ καταλελειμμένον, ἥκοις καὶ αὐτὸς ὀψέποτε εὔθυμος, ἔνθ' ἔξεστιν ἀκραιφνῶς καὶ ἀπραγμόνως φιλοσοφεῖν τὴν ἀκήρατον καὶ πλήρη φιλοσοφίαν. Ἔῤῥωσο.

θησαν ἰδόντες τὸ φῶς καὶ τὰ ἐν αὐτῷ χαλεπὰ, καὶ ἀνῄρουν ἀλλήλους, μέχρις οὗ κατηνάλωνται ἅπαντες, ἑταιρικῶς, ἀλλ᾽ οὐ δι᾽ ἔχθραν τοῦθ᾽, ὡς ἔοικε πράξαντες. Τί δὲ καὶ οἱ παῖδες τῆς ἱερείας ἐν Ἄργει; οὐ κἀκεῖνοι ἔργῳ τὴν γνώμην ταύτην προσεβεβαίωσαν, εὐχὴν σπουδαίαν τῆς μητρὸς τὴν παρὰ τῆς θεοῦ εὑράμενοι τελευτήν; Ἐκ τούτων ἄρ᾽ εἴτις εἴποι ἄμεινον τὴν ἀρχὴν μὴ γενέσθαι, ἢ γοῦν γενόμενον εὐθὺς ἀπολέσθαι, ἢ τοσοῦτον στάδιον κακῶν διελθεῖν, οὐκ ἂν ἁμάρτοι. Ἀλλὰ τί μοι ταῦθ᾽ ὑπαινίττεται, οὕτω παρὰ δόξαν εἰσαχθέντα τῷ λόγῳ; οὐ γὰρ ἄνευ λόγου καὶ δικαίας αἰτίας τοιούτων ἂν λόγων πρός γε σὲ ἐπεμνήσθην· εἰ γὰρ εἰσί τινες καὶ τῶν ζώντων ἔτι ἄλλοι ἄλλων ἑτέρῳ γε ὅτῳ λόγῳ ἐν τῷ βίῳ μακαριώτεροι, τούτων πάντων ἡμεῖς, ἐγώ τε καὶ σύ· σὺ μὲν πρῶτος, ἐγὼ δὲ ὕστερος, τὰ πρῶτ᾽ ἂν εἴημεν ἔχοντες· ἡμεῖς γὰρ πάντων ἐσμὲν ἐγγυτέρω τοῦ ἀπαλλαγῆναι τοῦ βίου· καὶ σὺν τούτῳ συναποθέσθαι καὶ τὴν ὀϊζύν· Πῶς οὖν ἕνεκά γε τούτων οὐκ ἂν μακαρίσαιμεν ἑαυτοὺς, οἵγε μέλλοιμεν μετὰ μικρὸν εἴτε Σωκράτει καὶ τοῖς περὶ τὸν Σωκράτην βούλει, εἴτε μᾶλλον αὐτῷ Ἀβραὰμ καὶ τῷ ἄλλῳ τῶν μακαρίων χορῷ, τὴν κρείττω καὶ ἀπράγμονα συμφιλοσοφεῖν θεωρίαν; Ἐγὼ μὲν οὖν ταύταις ἐπαιρόμενος ταῖς ἐλπίσι, τά τ᾽ ἄλλα φέρω γενναίως, καὶ εἴτι καὶ τὸ γῆρας παρενοχλοίη, καὶ τοῦθ᾽ οὕτως ἀνακουφίζων παραμυθοῦμαι. Βουλοίμην δ᾽ ἂν οὖν καὶ σὲ αὐτὸν, τοῖς αὐτοῖς γενόμενον κάτοχον, ἐνθυμότερον πρὸς τὰ ἐλπιζόμενα ἐπιῤῥώνυσθαι. Ἔῤῥωσο.

*Δημητρίῳ.* (344.)

Ἀπὸ μὲν τῶν ἄλλων ἁπάντων ἀπεσχόμεθα ἤδη, καὶ πρὸς μόνα ἀφορῶμεν τὰ μέλλοντα· τὸ δ᾽ ἀργύριον ἔτι πιέζον τὸν τράχηλον, οὐκ ἐᾷ με πρὸς ἐκεῖνα πάμπαν εὔζωνον εἶναι· διὰ

λέγμηνε· παρερχ[illegible] δ' οὕτως, οὐκ ἂν μᾶλλον, ἢ ὄναρ ἀπαίσιον φανὲν, αὐτὸν ἂν λυπήσειεν· τὸ δὲ ἐνδιδόναι ἀγεννῶς ἀεὶ τοῖς προσπίπτουσιν ὡς δεινοῖς, καὶ τούτων ἀπαλλαγὴν αἰτεῖσθαι θεοκλυτοῦντα, τοῦθ' ὅμοιον ἂν εἴη, ὡς εἴτις ἐν ὄμβρῳ ἰὼν ἄνευ σκέπους, εὔχοιτο διαφυγεῖν τῶν σταγόνων ἑκάστην· ἢ οὐ συνεχέστερά εἰσι τῶν σταλαγμῶν τὰ ἀπὸ τῆς τύχης συμβαίνοντα ὁπότε τις ἐκτιθοῖτο ἀσκεπὴς πρὸς ἐκεῖνα· σκέπος δὲ πρός γε ταῦτ' οὐδὲν ἀσφαλέστερον, ἢ ἡ φρόνησις· ἧς ἄνευ καὶ μεθ' ἧς τά τε χρηστὰ καὶ τὰ φαῦλα γίγνεται ἐν τῷ βίῳ· τοῦτο γὰρ ἦν καὶ Ὀδυσσεῖ τὸ Μῶλυ πρὸς Κίρκην· τοῦτο καὶ Περσεῖ ἡ Γοργὼ πρὸς τὸ κῆτος· καὶ Ἰάσονι ἡ Μήδεια πρὸς τὸν δράκοντα· καὶ Ἀθηνᾶ Ἀχιλλέα λαβοῦσα τῆς κόμης, καὶ ἡ λεοντῆ Ἡρακλεῖ. Ταύτην οὖν τὴν λεοντῆν εἰ προβάλοιτο ἕκαστος, ῥᾳδίως τῶν δοκούντων δεινῶν κατισχύσει· ἄνευ δὲ ταύτης πάντα ταῦτα ταῦροι πῦρ πνέοντες, καὶ δάκροντες ἄϋπνοι καὶ πολυκέφαλοι ὕδραι, καὶ χίμαιραι σύμμικτα κᾀποφώλια παρέσονται τέρατα. Ἔῤῥωσο.

Γερασίμῳ. (346.)

Ἄλλοισιν ἄλλος ἐπιτέρπεται ἀνὴρ, κᾀμὲ τῶν ἐμῶν παιδικῶν ἔρως ἔχει· καλὸν μὲν γὰρ συνιστάναι πτωχοτροφεῖα, ἀλλ' ἔργον τῶν κρατούντων καὶ δυναμένων· καλὸν δὲ καὶ τοῖς δεομένοις ἐπαρκεῖν, ἀφ' ὧν τις κέκτηται, καὶ φιλάνθρωπον· ὅπου γε χριστιανοῖς καὶ ἐντέταλται δανείζειν, ὅθεν οὐκ ἐλπίζουσι μάλιστα ἀπολήψεσθαι, ἀλλ' οὐδεμία ἀρετὴ κατορθοῖτ' ἂν ἀνεπιλήπτως, μὴ προηγουμένης τῆς λυχνοφόρου φρονήσεως. Πότερον οὖν κρίνεις αὐτὸς κρεῖττον εἶναι, πένησιν οὕτως ἁπλῶς διανεῖμαι τὰ ὄντα, ἢ τὴν πενίαν αὐτὴν πειρᾶσθαι τούτοις ἐξελεῖν ἑτέρῳ γε τρόπῳ, ἢ γοῦν ἐς τοὐλάχιστον περιστεῖλαι; ἐγὼ μὲν γὰρ τοῦτό γε οἶμαι· καὶ τοῦτο δο-

δ' οὖν αὐτὸ συμβαίνει ... ἐπὶ τῶν γραμμάτων· πολλὰ γὰρ ἐμοῦτε καὶ ἄλλων περὶ τῆς παιδείας τῶν Ἑλλήνων εἰπόντων, ὅπως ἂν ἄριστα γίγνοιτο, οὐδέν πω γενόμενον εἴδομεν, οὐδ' ὀψοίμεθα, τῶν ἐν τοῖς πράγμασιν ἐξ ὑπαρχῆς καὶ ἀνεπιστημόνως παρασυρόντων τὸ πρᾶγμα, ὅπως ἂν φαντασίᾳ μὲν μέγα φαίνοιτο, ἔργῳ δ' οὐδὲν γένοιτο τῶν δεόντων· ἀλλ' αὐτὸ περὶ αὐτὸ ἐκ μεγαλοῤῥημοσύνης ἀφανῶς καταῤῥέοι· εἰ δέ τις ταῦθ' ὑφορῶν, ὅπῃ δήποτε ἀποβήσεται πειρᾶται ἐπανορθοῦν ἐκ σπουδῆς, μυκτηρίζεται· καὶ ἀποπεμπόμενος· κελεύεται σιγᾶν, ὡς ἀπότροφος Μουσῶν· Οἱ δὲ ἀνατείναντες, τὸν τράχηλον, ὡς ἀλέκτορες, παιανίζουσι περιβλεπόμενοι καὶ σοβῶντες, καὶ μικροῦ δεῖν αὐτὸν οὐρανὸν ἀράσσοντες τῇ κορυφῇ κατὰ τὴν Ὁμηρικὴν Ἔριν, ἣ

„ Οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει,

Οὕτως ἡ μοχθηρία διαφθείρουσα τὸ πατρῷον κειμήλιον, συνωθεῖ τοὺς νῦν εἰς τὸ κακοδαίμονας εἶναι. Ἔῤῥωσο.

## Τῷ Φιλεταίρῳ (348.)

Ὑπακοὴ μὲν, φασὶ, ζωὴ, παρακοὴ δὲ θάνατος· Ἐγὼ δ' οὖν οὐχ' ἡδονὰς διώκων, ᾑρούμην μᾶλλον τῆς Αἰγίνης τὴν Σύραν· πῶς γὰρ τῆς φίλης μοι ἡσυχίας τὴν τύρβην; ἀλλ' ἐβουλόμην μεταβῆναι ἐκεῖσε, ὡς ῥᾷον αὐτόθεν τὰς βίβλους διανεμῶν πρὸς οὓς τοῦτό μοι μεμελέτηται, ὑφορώμενος τοῦ θανάτου τὸ ἄδηλον, μὴ ἐπελθὼν ἤδη ὡς ἐκ τοῦ ἐγγυτάτω, ὑποσκελίσῃ με ἀπὸ μέσων τῶν ἔργων· Ἀλλ' ἐπειδὴ τοσαῦτ' ἐστὶ τὰ διάφορα πρὸς τὸ ἡσυχώτερον καὶ εὐθηνότερον ζῆν τοῦ ἐνταῦθ', ἢ ἐκεῖ ἐπιχειρεῖν τῷ τύπῳ, μένωμεν, ἐπεὶ τοῦτο σοι δοκεῖ, ἐν Αἰγίνῃ· καὶ ἄλλως γὰρ ἡ νῆσος συνήθης τε καὶ χαρίεσσα. Ἔῤῥωσο.

τὰ κοινῇ συμφέροντα ...ιον, οὐκ ἂν ὠκνήσαιμι, ἵππον ἐς πεδίον ἀφιεὶς τὸ τοῦ λόγου, προσθεῖναί τι τῇ φιλογενεῖ σου ψυχῇ, οὐκ ἀξυντελὲς γ' ἴσως, πρὸς ὃν ἀνύττεις καμπτῆρα, ἐσόμενον· ἴσμεν γὰρ πείρᾳ πολλῇ, ὡς μὴ προϋπαρχούσης φιλολογίας, ἀβληχρὰ καὶ πάνυ γε γλίσχρα καὶ τὰ ἐκ τῆς φιλοσοφίας ἐλπιζόμενα ἀποβήσεται· γλώσσης γὰρ, ἣν ὡς βάσιν ἁπάσης ἐπιστήμης τό γε νῦν εἶναι μάλιστα χρὴ νομίζειν, μὴ προδειδαχθείσης ἀκριβῶς, ἀνάγκη συγχωλαίνειν καὶ τἄλλα. Περὶ ταύτην οὖν σε τὴν πλείστην σπουδὴν ποιήσασθαι δεῖ, ἵν' ἔχῃς ἔπειτα καὶ τἄλλα σὺν ἐλάττονι μὲν πόνῳ, πλείονι δὲ εὐμαθείᾳ ἐπακολουθοῦντα· δεῖ γάρ δὴ καὶ λόγον διδασκάλων, ὧν ἡ Ἑλλὰς στερεῖται παντάπασιν, οὐ τὸν τυχόντα πρὸς τὸ μέλλον ποιήσασθαι. Ἀλλ' ἔδεισε ἐν τῷ κέντρῳ τὴν ἕδραν ἔχειν, ἵν' ἐκ τοῦ ἐγγυτάτω μεταδίδως τῆς εὐμούσου φωνῆς σου καὶ τοῖς ἀποκέντροις· ἀλλ' εἶεν· δυνατὸν γὰρ κἀκεῖθεν τὰ καλὰ καλῶς γενόμενα καὶ τῶν κεντρικῶν αὐτῶν ἐμμελέστερα γίγνεσθαι.

„ Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
„Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
„ Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.

Ἔῤῥωσο, καὶ τὸν ὑπὸ σὲ ἐλλόγιμον τῶν διδασκάλων χορὸν τοῦτ' αὐτὸ πρόσειπε.

## Τῷ Κύρῳ. (351.)

Λόγου περὶ εὐγενείας ἐθνῶν πρῴην ποτὲ προτεθέντος, τὶ τίνος μάλιστα προὔχει, καὶ τίνος ὑποδεέστερον ἕρπει ἕτερον ἑτέρου, αὐτὸς γνώμην προὔθηκας, ὥς φασι, τὸ μὲν τῶν Ἑλλήνων ὑπέροχον πάντων γεγονέναι, τὸ δὲ τῶν Ἰουδαίων ἔσχατον πάντων εἶναι· ταῦτα δ' ἀκούσας ἔγωγε τεθαύμακα μάλιστα, ὅπως σε τοιοῦτον ψεῦδος φύγεν ἕρκος ὀδόντων, ἐκ

ἑτέρου ὡς ἐμὲ ἐλθόντος φίλου· ὃν ἔδει ἐπιεικῶς ὑποδέξασθαι, ἀλλ' οὔτοι καὶ τήμερον ψαύσομαι· κἂν ἄγρικός τινι δόξω· ἅμα γὰρ τῇ τῶν λύχνων ἁφῇ ἥξω ὡς τὸν καλὸν κἀγαθόν σοι γείτονα, ἵνα σύντρεις, ὡς εἰκὸς ἁρμονικωτέραν τὴν πρεσβυτικὴν ᾄσωμεν ξυναυλίαν· ὁ γὰρ βίος ἀνέσει καὶ τάσει, ὥσπερ ὄργανον, ἁρμοζόμενος, ἡδίων καθίσταται. Ἔῤῥωσο.

## Τῷ Κυρίλλῳ (353.)

Φίλου κτῆσις πλοῦτος ἀδάπανος· τοῦτ' ἔφην κατ' ἐμαυτὸν, ἅμα τὰ σὰ κομισάμενος γράμματα, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ αὐθαίρετον, κοὐκ ἀναγκαστὸν κατ' οὐδένα γε τρόπον τὸ κτῆμά μοι τοῦτο προσήνεγκας, καὶ μάλιστα νῦνγ' ὁπότ' ἐς τοῦθ' ἡλικίας προβέβηκα, ἐν ᾧ πάντα τἄλλα, πλὴν φιλίας, ψυχρὰ δοκεῖ εἶναι καὶ πολλῆς ἀηδίας μεστά· τὸ γὰρ γῆρας, πάντα τἄλλ' ἀποβαλὸν, μόνον τὸ φιλότιμον ἀγήρω σώζει· τοῦτο δὲ μάλιστα πάντων ὑποτρέφει φιλία· εἰ γὰρ ὥσπερ νοσοῦσιν ἰατροὺς, οὕτω καὶ τοῖς ἀτυχοῦσι φίλους παρεῖναι δεῖ, ᾗ φησιν ὁ Δημόκριτος, ἀτυχίαν ἐκεῖνος τὴν ἔνδειαν ἐννοῶν, πῶς οὐκ ἂν καὶ τῶν ἐνδεῶν ὁ γέρων ἀτυχέστερος λέγοιτο; ἐκεῖνοι μὲν γὰρ, κἂν μὴ ἔχωσιν, ὅτῳ πρὸς αὐτάρκειαν χρήσωνται, ἀλλ' οὐ προσαπολλύασι καὶ τὴν τῆς χρήσεως δύναμιν, ἐπειδάν ποτε εὐπορήσωσιν· ὁ δὲ γέρων καὶ ἀπόντων τῶν ἀγαθῶν τὴν ἐπιθυμίαν, καὶ παρόντων τὴν ἀπὸ τούτων χάριν ἀφῄρηται, αὖος καὶ ψυχρὸς ἐν πᾶσιγεγενημένος. Διὸ τὴν φιλίαν ἀδαπάνητον θησαυρὸν ἐν προοιμίοις ἔφην, ὡς μόνην αὐτὴν παράκλησιν οὖσαν ψυχῆς, τῶν ἀπὸ τοῦ σώματος μοχθηρῶν πολλὴν δεχομένης ἐπήρειαν. Χάρις σοι τοίνυν, ἀδελφὲ, προσενεγκόντι μοι δωρεὰν ψυχῆς παραμύθιον· ἣν οὐκ ἂν ἀπαξιώσειας καὶ τοῦ λοιποῦ προσεπαύξειν τοῖς γράμμασιν· οὕτω γὰρ καὶ τὰ φυτὰ πρὸς τοὺς

βότρυες· ὧν γὰρ ἐγκρατεῖς εἶναι οὐ δύνανται, τούτων τοῖς ἐναντίοις ἐπιχειροῦντες, τὴν τῶν πολλῶν βελτίωσιν προσποιούμενοι, ὅμοια τοῖς γυναίοις ποιοῦσιν· ἐκείνων γὰρ αἱ ἐλαττούμεναι κάλλει, ἀπαξιοῦσιν ἐκ τοῦ φανεροῦ καλλωπίζεσθαι, κἀν ταῖς ἑορταῖς μάλιστα ἑαυτῶν ἀμελέστερον ἔχουσι, τῶν ἐσθήσεων ταῖς εὐτελεστέραις ἀμφιεννύμεναι, ὅπως δόξωσι φρονήσει μάλιστα καὶ σωφροσύνῃ τὸν νοῦν προσέχειν· τὸ δὲ ἐστὶν οὐ περιφρόνησις κάλλους, οὐδ' ἀντιποίησις σωφροσύνης, οὐδὲ τύφος ἁπλῶς, ὡς ἂν εἴποι τις, τύφον ἕτερον ἑτέρῳ γ' ἐκκρουόμενος τρόπῳ, ἀλλὰ νόσος ἴσως, ἥν ποτε ἡ Ἀφροδίτη ταῖς Λημνίαις ἐνέβαλεν· οὕτω δὴ καὶ τῶν ἡμετέρων οἱ τὰ τῶν χυδαίων περὶ πλείστου ποιούμενοι, μὴ δυνάμενοι προσιέναι, τραχύφωνοι ὄντες, ταῖς Χάρισι, χαμαιτύπαις κατὰ τοὺς τῆς Πηνελόπης μνηστῆρας ἀγαπῶσι συγγίγνεσθαι. Ἔῤῥωσο.

## Κωνσταντᾷ. (357.)

Ἀθηναίους τἄτ' ἄλλα καλὰ διενηνοχέναι πολλῷ τῶν ἄλλων Ἑλλήνων, καὶ δὴ καὶ πρὸς τοὺς εὖ πεποιηκότας τὸ κοινὸν εὐγνωμονεστάτους φασὶ γενέσθαι· τοσοῦτον γὰρ τὴν ἀρετὴν τήνδε φαίνονται ἠσκηκότες, ὡς καὶ τοῖς κτήνεσιν ἑαυτῶν τὸ εἰκὸς ἀπεδίδωσαν· ἡμιόνῳ γὰρ δημοσίῳ, φασὶ, τριακοστὸν ἔτος ἠχθοφορηκότι, δεδώκασιν ἄδειαν ἐκ ψηφίσματος ἐλεύθερον πλανᾶσθαι ὁποιδήποτε βούλοιτο· μηδένα δ' ἀπείργειν, κἂν ἐν κήποις, κἂν ἐν ληΐοις βούληται νέμεσθαι, τὸν δ' ἀδικούμενον, ἥκοντα ἐς τὸ κοινὸν, λαμβάνειν ἐκεῖθεν τὸ τῆς ζημίας δίκαιον ἀντιτίμημα. Οὕτως ἐκεῖνοι εὐγνωμοσύνῃ πολλῷ ὑπερέβαλλον! νῦν δὲ ἡ περὶ ταῦτα παρθένος Δίκη διέφθαρται, κολακείαις προσαγωγοῖς μᾶλλον γλιχομένη δορυφορεῖσθαι· ἡμῶν γὰρ οὐδέ γε ὡς ἡμιόνων λόγος παρὰ τοῖς κρείττοσι γίγνεται· καί τοι οὐ τριακοστὸν,

Τῷ αὐτῷ. (358.)

Ἀκήκοά σε μαλακῶς ἔχειν τήμερον, ἀπορίᾳ πολλῇ διὰ πάσης προσπαλαίσαντα τῆς νυκτός· καὶ νῦν ζητεῖν τῶν ἀπὸ τῆς ἰατρικῆς εἴτις ὄνησις· ἀλλ' αγνοεῖν μοι δοκεῖς τὸ τοῦ πάθους ἀλεξητήριον, νηπενθὲς, ἄχολον, κακῶν ἐπίληθον ἁπάντων· ἔστι δὲ τοῦτο τίποτε; ἀνθοσμίας ὁ Τήνιος. Χρῶ τοίνυν τῷ φαρμάκῳ σωφρονέστερόν γε, ἢ ἡδονικώτερον πρὸς ἀνάῤῥωσιν· τοῦτο γὰρ οὕτως ἐντίθησι σθένος γέρουσιν Ἥρωσιν, οἷοι ἐσμὲν νῦν γ' ἡμεῖς· ὧν φρένες μὲν ἀμφιμέλαιναι μέγ' ἐμπίπλανται μένεος, ὄσσε δὲ φαεινῷ πυρὶ λαμπετόωντι ἔστὸν ἐοικότες. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (359.)

Ἔθος ἐστὶ παρὰ Γερμανοῖς, εἴτις συμβιώῃ γυναικὶ γαμετῇ πεντήκοντα ἔτη, ἐπαναλαμβάνειν τὸν γάμον νόμῳ, ἐπειδὰν ἀμφότεροι τὸ ἑβδομηκοστὸν ὑπερβάλωσιν ἔτος, δεύτερον τοῦτον βίον τιθεμένους ἀδελφικὸν, καὶ ὅλως σώφρονα καὶ ὁδηγὸν πρὸς τὸν μέλλοντα, ἀπεχομένους τῶν ἡδονῶν· ἡμῖν δ' ἀπ' ἐναντίας βεβίωται, γλίσχρα πάντα καὶ πόνων μεστά. Πῶς οὖν οὐ δίκαιον καὶ ἡμᾶς τὰ δεινὰ ὑποστάντας, νῦν γε τἀναντία ἐκείνοις ἐνστήσασθαι, καὶ δὶς ἤδη παῖδας γεγενημένους, τὸ δὴ λεγόμενον, εἰς ἡδονὰς ἀνεῖσθαι; Χαιρέτω τοίνυν γραφὶς καὶ μέλαν, σώφρων τε βίος, καὶ ὁ ἄλλος φθισίμβροτος λῆρος τῶν πόνων ἑξῆς· δεῖ γὰρ δὴ καὶ ἡμᾶς ποτε, τῶν ὀδόντων ἤδη ῥεόντων, τῶν ὀφθαλμῶν ἀμβλυωττόντων, καὶ πάντων τῶν μελῶν ἀποναρκωμένων, ἡδοναῖς νῦν γ', εἰ μὴ πρότερον, προσέχειν τὸν νοῦν, ὥσπερ δίκαιον· ὅπερ γὰρ ἀκμάζοντες ἑκουσίως ἀπεωσάμεθα, τοῦτο νῦν ἐν παρακμῇ, καί περ μὴ δυνάμενοι, ἀλλ' οὖν γ' ὑποκορισόμεθα

βειαν· πῶς γὰρ, οἱ πρῶτοι τοῦτ' αὐτοὶ ἑαυτοῖς συνεχώρησαν, ὅλα χοιρίδια σιτευτὰ καταλύοντες λάθρα; εἰδ' αὖ ἄλλως εὔηθες τὸ αἴτημα λογισάμενοι, μωρίαν ἡμῶν καταγνοῖεν, οὐ φροντὶς Ἱπποκλίδῃ· παῖδες γὰρ δὶς ἤδη γεγενημένοι, ἀνεκτῶς μετὰ τῶν ἄλλων καὶ ταῦτ' ἀκουσόμεθα. Ἔρρωσο.

## Τῷ αὐτῷ. (361.)

Οἱ μὲν πατταλοις τοὺς παττάλους τὸ τῆς παροιμίας ἐκκρούοντες ὀρθῶς τοῦτο δοκοῦσι ποιεῖν, ἀπὸ μηχανικωτέρας οὕτως ἰσχύος ὁρμώμενοι· οὐ μὴν δὲ καὶ οἱ τὰ δεινὰ τοῖς δεινοῖς πειρώμενοι ἐπεξέρχεσθαι· οἱ γὰρ τοῦτο ποιοῦντες ἐλαίῳ τὸ πῦρ ἐπιχειροῦσιν ἀποσβεννύναι· διὸ εἴτι ἐκ δυσκόλου γεροντίου ἀστειότερος ἤδη δοκῶν γεγενῆσθαι, οὕτως ἔγνων τὰ παίγνια παίζειν τοῦ γε λοιποῦ, εἰρωνείαις τὰ μὴ κατὰ θυμὸν ξυμβαίνοντα ἐκκρουόμενος, δίκαιος ἂν εἴης καὶ αὐτὸς ἀστυκῶς ἀποδέχεσθαί μου τὸ περὶ τὰ τοιαῦτα καινότροπον· οἷον τί λέγω; ὁ στόμαχος τοῖς κακῶς ἀπολουμένοις ἐπηρεασθεὶς φυσαλίας, δι' ὅλης με ἐβασάνισε τῆς νυκτός· καὶ εἰμή τι ἡ Μαρία ἐξ ἐμπειρίας προσελιπάρει, ἄλλην ἐπ' ἄλλῃ ἐπιφέρουσα θεραπείαν, οὐκ ἂν εἶδον τὸν ἥλιον σήμερον· ἀλλὰ τοῦτ' οὐδὲν πρὸς ἐμὲ, πρὸς αὐτὸ τὸ τέρμα ἤδη τοῦ βίου γενόμενον· τὸ δὲ δεινὸν ἦν, ὅτι ἔμελλες αὐτὸς πρεσβύτερος ὢν ἐμοῦ, ἐπιζήσειν· ὅπερ οὐκ ἀνεκτὸν, οὐδ' ἄλλως δίκαιόν σε περιόντα καταγελᾷν μου· ἀλλ' οὐδ' αὖ ἀπολειφθῆναι σοῦ βουλοίμην ἂν προαποιχομένου· τὸ γὰρ ἐφετὸν ἀμφοτέροις συνταφῆναι συναποθανόντας. Βούλει οὖν, ὅπως τύχοιμεν τοῦ σκοποῦ, ἀποκαρτερήσωμεν ἐκ γνώμης κοινῆς; τοῦτο γὰρ καὶ τῶν πάλαι τινὲς τῶν εὐκλεεστάτων ἐποίησαν, τῶν παρόντων δεινῶν ἀπαλλαγῆναι βουλόμενοι· καὶ γὰρ καὶ οἱ μεθ' ἡμᾶς

ἀγροίκως ἐπιόντα πρ..σι..θαι· σὺ δὲ τὸν τῶν ἐρημιτῶν ἐν τῷ κ..νῷ βίῳ μιμησάμενος τρόπον, μὴ κατὰ τρόπον δοκεῖς ἐμμένειν τῷ δόγματι. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (365.)

Ἀναστάσιος ὁ Γεωργιάδης ὁ καὶ Λευκίας ὁ ἰατρὸς ὁ πρὸς ἄλλοις τρισὶ καὶ τῆς Ἀντιπανακείας πατὴρ, ὃς τρία κιβώτια βίβλων ἐς τὸ κοινὸν βιβλιοταμεῖον ποτὲ ἀφωσίωσεν, ἐλθὼν νεωστὶ ἐκ Βιέννης εἰς Ναύπλιον, τοῦτ' αὐτό μοι πρῶτον ἐπέστειλεν· εἶθ' ὅτι πλεύσας Ἀθήναζε, οἰκόπεδόν τι αὐτοῦ ὠνησόμενος, μέλλει, ἐν τῷ ἐπανακάμπτειν παριέναι ἐντεῦθεν ἡμᾶς τ' αὐτοὺς καὶ τὴν ἡμετέραν νῆσον ἐπισκεψόμενος. Δεῖ οὖν φιλοφρονέστερον τὸν ἄνδρα προσδέξασθαι· Εἰ οὖν ἦν μοι κατάλυμα δεύτερον, ἀσμένως ἂν ἐδεξάμην αὐτὸν παρ' ἐμαυτῷ καταλῦσαι· νῦν δὲ διὰ στενοχωρίαν ἀνάγκη ὁμωρόφιον τῷ διπλῆν οἰκοῦντι οἰκίαν γενέσθαι. Δέξαι τοίνυν τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ· ἔστι γὰρ τά τ' ἄλλα ἄξιος ὁ ἀνὴρ, καὶ μελαγχολίας, εἴτις ταύτης τῆς νόσου κατέχοιτο, οὐ μᾶλλον φαρμάκοις, ἢ καὶ ἀστειότητι λόγων εὐφυῶς ἀπαλλάξας, εὐθὺς ἐς φαιδρότερον μεταστήσασθαι ἦθος. Ἔῤῥωσο

## Τῷ Κύρῳ (366.)

Ἀπορεῖν ἔοικας ὅπως τὸ θεῖον, ἀναλλοίωτον ὅλως ὂν, ἐν ταῖς ὀργαῖς ἀλλοιοῦται, καὶ ἐν ταῖς θεραπείαις αὖθις ἀποκαθίσταται ἱλαρόν· φαμὲν γὰρ, φὴς, ἁμαρτάνουσιν ἡμῖν ὀργίζεσθαι· θεραπεύοντας δ' ἐλεεῖν· τὸ δὲ οὐχ οὕτως ἔχει· θεὸς γάρ ἐστιν ὁ αὐτὸς, φύσεως ἀτρέπτου καὶ ἀναλλοιώτου, τέλειος ἐν ἀγαθότι καὶ δυνάμει· οἱ δ' ἄνθρωποι ὅμως, ἐξ ὧν ἂν ..λῶν καὶ κακῶν πράξωσι, προσιόντες ἐκείνῳ καὶ ἀφιστά-

ἐκείνης ἁμάρτωσιν ἄνθρωποι. Ταύτας οὖν ὃς μὲν ἂν ἑκὼν ὑποδέξηται, ἐς τὴν θεραπείαν ἠκούσας, τὰ ἄριστα ἔσται ἑαυτῷ προνοῶν, προῖκα τὴν σωτηρίαν προσφερομένην οἱ προσιέμενος· ὃς δὲ τοὐναντίον, δυσχεράνας πρὸς τὸ δυσειδὲς (αἰσχραὶ γὰρ πεφύκασι) ἀποτροπιάσηται, καὶ ἀπείπῃ τὴν ἴασιν, αὐτὸς ἑαυτῷ ἂν εἴη τὰ κάκιστα βουλευσάμενος. Σὺ δ' οὖν σύνοιδας μὲν σεαυτῷ ἐξημαρτηκότι, ἐφ' οἷς πρότριτα ἐπιπεσὼν ἁπλωϊκῷ μειρακείῳ, διετάραξας ἐν ὕπνοις γέροντα πάσχοντα· προσιούσας δ' ἐκείνας πρὸς λύσιν τῶν τετολμημένων, ἀπεπέμψω ἀφροντιστῶν· ἐχρῆν δ' οὐχί· ἀλλ' ἅμα φαινομένης ἡμέρας ἕπεσθαι ταῖς θεαῖς ὡς ἐμὲ, συγγνώμην τῶν πεπλημμελημένων ἐξαιτησόμενον· Ἔῤῥωσο.

Τῷ *Θηρσίῳ*. (368.)

Ἔδει ἄρα ποτὲ καὶ τοὺς Ἕλληνας, τῶν ἀπὸ τῶν πονηρῶν αἰώνων δεινῶν, ὧν πολλαχῶς ἐπειράθησαν μέχρι δεῦρο, ἤδη ἀπαλλαγέντας, ἀπιδεῖν νῦν ἀπροφασίστως ἐπὶ τὰ καλὰ, δι' ὧν πόλεις τε καὶ ἔθνη ὅλα ὀρθούμενα, ἀνύττουσι πρὸς εὐδαιμονίαν· Βαυαρὸς γὰρ ἀνὴρ Ὄθων ὁ σεβαστὸς, μονάρχης ἤδη τοῦ Ἑλληνικοῦ σκάφους τοὺς οἴακας ἐμπεπίστευται· καὶ διὰ τοῦτο τίς δύναται κωλῦσαι τὰς Μούσας ἐπὶ τὴν πρώτην ἐπανελθεῖν ἑστίαν, καὶ τοὺς Ἕλληνας τὴν πατρῴαν ἀνασώσασθαι εὔκλειαν; τούτου γὰρ νῦν ὁρῶμεν τὴν ἡμετέραν νεολαίαν γλιχομένην τυχεῖν· καὶ τοῦτ' αὐτόθεν, εἴτινος αὐτοῖς ἔτ' ἐνδεῖ, παρὰ τῶν εὐκλεῶν Γερμανῶν, τῶν τὰ ἡμέτερα ἀξίως τιμώντων, ἐλπίζουσαν εὑρήσεσθαι μάλιστα. Διὸ πιστεύων σοι τῷ σοφῷ μοι Νέστορι, παρ' οὗ πλείστη ὅση τοῖς Ἕλλησιν εὔνοια, οὐ λόγοις κενοῖς τρανουμένη, ἀλλὰ καὶ ἔργοις βεβαιωμένη, ἐγένετο, πέμπω τῇ σῇ προστασίᾳ τοὺς τὴν ἀνὰ χεῖρας ἐπιδόντας σοι νεανίσκους, ἄνθεα λευκοΐων ἀρετῶν

δεῦρο τοὺς Ἕλληνας, μηδὲ τούτους ἐάσειν ἀπράκτους, ὧν δέονται, χήτει τῶν ἀναγκαίων ἐπανελθεῖν· καὶ μάλιστ᾽ ἐπειδὰν δῶσι τῆς ἑαυτῶν ἐπιμελείας ἐχέγγυον πεῖραν· εἰσὶ γὰρ οὐχ οἵους ἂν εὕρῃ τις ἐν τοῖς Ἕλλησιν ἄλλους· τά τε γὰρ ἐγκύκλια εὐτυχῶς ἐκπεπαίδευνται, καὶ φιλοσοφίας οὗτοι πάμπαν ἀμύητοι τυγχάνουσιν ὄντες, λιπαρεῖ τε ἐπιμελείᾳ ἀεὶ πρὸς τοὔμπροσθεν τείνοντες, καὶ τοῦ ἡδέος τὸ καλὸν ποιούμενοι περὶ πλείονος. Δέονται δ᾽ οὖν συμβούλου ἐν ἅπασιν, οἷος ὁ σοφὸς ἐστὶ Φρασικλῆς. Τοῦτ᾽ οὖν προσθείης αὐτοῖς αὐτὸς, ἐμοί τε καὶ τοῖς Ἕλλησι χαριζόμενος. Ἔῤῥωσο.

## Τῷ Καλλινίκῳ. (370.)

Οὐκ οἶδ᾽ ὁπότερον εἴπω, σὺ μᾶλλον χαιρήσεις, τοὺς προσφιλεστάτους μοι τῶν μαθητῶν προσδεξάμενος, ἢ αὐτοὶ οὗτοι εὖ διατεθήσονται, σὲ εὑράμενοι φίλον καὶ προστάτην, ὡς μέγα δυνησόμενον παρὰ τοῖς κρατοῦσιν· ὁρῶ γὰρ ἄμφω ἀπὸ τοῦ ἴσου καὶ δυνατὰ καὶ ἀκόλουθα, εἴγε καὶ ὁ Καλλίνικός ἐστιν, οἷον μετὰ τῆς φιλίας καὶ ὁ χρόνος γ᾽ αὐτὸς ἐβεβαίωσεν· οὐ γὰρ ἂν εἴποιμι, ὡς μετὰ τῆς τύχης μετήμειψε καὶ τὸ φρόνημα· ἀλλὰ καὶ οὕτω τούτων ἐχόντων, ἔγωγε συνίστημί σοι τούτους ἔτι καὶ ὡς ἀγνῶτας ὅλως, δεόμενος βοηθεῖν αὐτοῖς, εἴτι σου δεηθεῖεν· εὖ γὰρ νέους ποιήσεις, παρ᾽ ὧν ἐλπὶς μέγα τοῖς Ἕλλησι γενήσεσθαι ὄφελος· ὃ δὲ παρὰ σοῦ αὐτοῖς ποτ᾽ ἔσται, τοῦτ᾽ εἰς ἐμαυτὸν νομιῶ γεγενῆσθαι, καὶ παρ᾽ ἐμοῦ σοι τούτου τὸ ἐχέγγυον ἀποκείσεται. Ἔῤῥωσο.

## Τῷ Φιλίππῳ. (371.)

Πάλαι μὲν ὥρμησα ἀπαραιτήτῳ ὁρμῇ φιλίαν πρὸς σὲ συνάψαι, ἀνεκοπτόμην δὲ, ἀξιόχρεω αἰτίας μὴ εὐπορῶν·

εἴποι καὶ φόβος, τοῦτ' ἔστι τὸ πειραθῆναί τινας ἀποτρέψαι ὑμᾶς ὥς φατε, τῆς ἐπὶ τὴν Γερμανίαν ὁδοῦ, ὅτι ἡμέτεροι ὄντες, καὶ νῦν ἐστὲ ζηλωταὶ, ταῖς τῶν καλῶν ἐμπειρίαις τῶν ἄλλων προὔχοντες, καὶ ἐλπιζόμενοι ἔσεσθαι ζηλωτότεροι· ὃ περιδεεῖς πάντως αὐτοὺς πρὸς τὰ μέλλοντα ἀπεργάζεται. Ἔχεσθε τοίνυν τοῦ σκοπουμένου, δύο ἐκεῖνα πρὸ πάντων φυλάττοντες, Θεὸν, παρ' οὗ καὶ τἄλλ' ἔπειθ' ὑμῖν προστεθήσεται, ἡγεμόνα ποιούμενοι, καὶ ὃ παρ' ἐμοῦ εἰληφότες τυγχάνετε ὅπλον, τοῦτο μὴ ἐῶντες κατιοῦσθαι ταῖς ἀμελείαις· ἀλλ' ἐπὶ πλέον ἀεὶ θήξει συχνῇ ἀποστίλβοντες, ποιήσατε αὐτὸ ἄξιον, οἷον ἀμαύρωσιν μὲν τῇ στιλπνότητι, ἀλγηδόνας δὲ τῇ ὀξύτητι τοῖς τῶν φθονερῶν ὀφθαλμοῖς ἐμποιεῖν· δεινὸς γὰρ τῶν ἀδικουμένων καὶ φθονουμένων συνήγορος καὶ προστάτης τοῦ ὀξυγράφου, κατὰ τὸν Προφήτην, γραμματέως ὁ κάλαμος. Ἔῤῥωσο.

### *Μανουήλῳ.* (374.)

Κἀκ τῶν γραμμάτων μὲν, ἀλλ' οὐχ ἧττον καὶ παρὰ τοῦ κομίσαντος ταῦτα, τὰ κατὰ σὲ μαθὼν εὖ ἔχοντα, ἥδιστα διετέθην, καὶ μέτρῳ τῷ αὐτῷ, ᾧπερ καὶ σὺ αὐτὸς, εἴποτε τύχοις μαθὼν ὁμοίως κἀμὲ διακείμενον· καί τοι αὐτὸς ἔστι πῃ καὶ συμπάσχειν μοι δοκεῖς, ὅτι τὸ γῆρας μᾶλλον ἐπιβρίθον κατὰ μικρὸν ταῖς τοῦ χρόνου προβάσεσιν, ἐπὶ πλέον ἡμῖν ἐνοχλεῖ· ἀλλὰ τίς ἡμῖν βίον ἄμικτον κακῶν ὑπέσχετο πώποτε; καὶ γὰρ ὅτε ἠγαλλόμεθα, ταῖς τῆς νεότητος αὔραις ἐαριζόμενοι, οὐκ ἀπροσδόκητα ἦν καὶ τὰ χείρω δὴ ὀψέποτ' ἐπιέναι διάδοχα, καθάπερ οὐδὲ τοῖς ἐξ οὐρίας πλέουσι τὰ ἐκ τῶν καιρῶν ἀπερίοπτα, τοῖς γε τὸ ἄγαν ἑκατέρωθεν κολούειν ἐθέλουσι· τὸ μὲν γὰρ προσδοκώμενον πρὸς ὁποτέραν μοῖραν, κἂν μέγα τοῦτ' ᾖ, μετριώτερον ἀεὶ πέφυκεν ἐπιγίγνεσθαι· τὸ δ'

ἀποσπάσας ἐκεῖθεν αὐτὴν τῶν τριχῶν, κατέῤῥιψεν εἰς τὴν γῆν, τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίου, ἐφ' ᾧ τοῖς τῶν ἀνθρώπων αὐτοῦ λυμαίνεσθαι πράγμασιν. Ἐντεῦθεν ἄρα αὖθις ἰσχυρὰ γενομένη, ἐπὶ τῆς ἑκάστου κεφαλῆς ἐφιζάνειν προείλετο, ἵν' ἔχῃ, ὥσπερ ἁρματηλάτης, ἰθύνειν ἐκεῖθεν, οὓς ἂν ἐθέλῃ, ἀεὶ πρὸς τὸ χεῖρον. Τούτων οὖν οὕτως ἐχόντων, αἰσθόμενος ὁ Ζεὺς καταβοὴν καὶ μεμψιμοιρίαν πολλὴν παρὰ τῶν ἀνθρώπων καθ' ἑαυτοῦ γιγνομένην, οἰκτείρας αὐτοὺς, ἀπέστειλε τὰς ἑαυτοῦ θυγατέρας, τὰς Λιτὰς καλουμένας, αἰσχράς τε, ῥυσσάς τε, καὶ χωλὰς, ἐφ' ᾧ παρὰ πόδας τῇ λυμεῶνι βαινούσας, ἰᾶσθαι, ἃ ἂν ἐκείνη φθῇ κακουργήσασα. Ἐπεὶ τοίνυν καὶ αὐτὸς πολλάκις ἔδοξας τῇ ἀλάστορι προσπαλαῖσαι, δέξαι τὰς ἰασομένας ἀκολουθούσας· καὶ διώρθου σεαυτὸν μετανοίᾳ, ἵνα μή σοι τὰ τραύματα εἰς φλόγωσιν περιστάντα, κἀντεῦθεν σφακελίσαντα ἀμελείᾳ, ἄωρόν σοι ἐπαγάγῃ τὸ τέλος. Ἔῤῥωσο.

### Τῷ *Λογάδῃ*. (376.)

Τρίτον ἔτος τουτὶ, ἐξ οὗ κατελθὼν εἰς τὴν φίλην Ἑλλάδα, ἐπαυσάμην μὲν οὐδέποτε περὶ σοῦ διαπυνθανόμενος, εἴ τῳ που ἐνετύγχανον τῶν αὐτόθεν ἀφικνουμένων· ἔγραψα δὲ οὐδ' ἅπαξ, τῶν ἡμετέρων κοινῶν τε καὶ ἰδίων μὴ κατὰ θυμὸν προχωρούντων· νῦν δὲ συμπράξας ἐκ μέρους τυπογραφεῖον ἐξαρτύσασθαι ἐν Αἰγίνῃ, ἄρχομαι μόλις γελᾷν, τῆς πρόσθεν με κατεχούσης ἀχλύος ἀπαλλαττόμενος· κἀντεῦθεν πρακτικώτερον βούλομαι παρέχειν ἐμαυτὸν τῷ μεμνῆσθαι τῶν φίλων. Καὶ μὴν ὥρμησα μὲν ἂν πολλά σοι ἐξιστορῆσαι περὶ ἡμῶν αὐτῶν, εἰ μή τι δέος, κρεῖττον τῆς ἐπιθυμίας γιγνόμενον, ἀνέκοπτε τὴν ὁρμήν· νῦν δ' ἴσθι, ὃ ἔξεστιν ἐμοί τ' ἐξειπεῖν, σοί τ' ἀκοῦσαι, ὅτι ὑγιῶς ἔχω τὴν δυνατὴν τοῖς γεγηρακόσιν ὑγιείαν, Γρηγόριον

τὸν τῶν ἐλλογίμων διδασκάλων χορὸν, προσειπὼν παρ' ἐμοῦ, κέλευε, μηδὲν περὶ πλείονος τῆς πατρῴας παιδείας ποιεῖσθαι, ἵνα μὴ ἐν τῷ λιμένι τὸ δὴ λεγόμενον ναυαγήσωμεν, ἐπιχαλαζούσης πανταχόθεν τῆς ἀγυρτίας.

### *Λευκίᾳ.* (377.)

Νῦν δ' ἄρ' ἔγνων μηδὲν εἶναι τῶν καλῶν ἐν Αἰγίνῃ, ἣν ὁ Δούκας πασῶν τῶν νήσων ἐξ εὐηθείας ἴσως ἑαυτῷ ἐς δίαιταν πεποίηται περὶ πλείονος. Ἀναστάσιος γὰρ ὁ Γεωργιάδης, ἀνὴρ φιλοκαλώτατος πάντων, καί τοι παραπλεύσας ἐντεῦθεν, οὐχ ὅπως προσειπεῖν, ἀλλ' οὐδὲ προσιδεῖν ἐκείνην ἠνέσχετο· οὕτω πρὸς τὰς κεντρικὰς ἡμῶν Μούσας, οἷά τις Ὀδυσσεὺς ἐμφράξας τὰ ὦτα, ὡς μάλ' ἀποκέντρους ταύτας ἑαυτοῦ ποιήσασθαι ἔσπευσε. Καί τοι ἑτέρῳ γε λόγῳ ἄλλον τινὰ ταῦτα ἂν ἔχοι λόγον· εἰ γὰρ καὶ τοιοῦτό τι ὑποθεῖμεν εἶναι παρ' ἡμῖν, οἷον ἄξιον καὶ ἀποτροπιάζεσθαι, καὶ ἀποστρέψαντά σε τὰ νῶτα ἐν τῷ παράπλῳ, ἀπιδεῖν εὐθὺς ἐς Ἐπίδαυρον, οὐκ ἂν οἶμαι γέ σε δι' ἐκεῖνο Νεοφύτου καὶ Γρηγορίου, οὓς ὁ χρόνος κατέστησε γεραροὺς διὰ γῆρας τοῖς πολλοῖς δοκεῖν εἶναι, τούτων ὀλιγωρῆσαι, εἰμήτι ἕτερον κατέπειγέ σε ἀφ' ἑνὸς διάπλου περαιωθῆναι εἰς Ναύπλιον· Τοῦτ' οὖν αὐτὸς ἐμαυτὸν πεπεικὼς, τιμῶ τὴν φιλίαν, εὐχόμενος ἅμα καὶ συμβιῶναί σοι Ἀθήνησι τοὔσχατον. Ἔρρωσο.

### *Γερασίμῳ.* (378.)

Οὐκ ἔφθην ἀκούσας παρασκευάζεσθαί σε ἐγκαταλιπεῖν τὴν Αἴγιναν, ὡς κεκληρωμένον σοι ὑπὸ τῆς Ἱερᾶς Συνόδου ἐν Ὕδρᾳ ἑδράζεσθαι τοῦ λοιποῦ, ἔσπευσα εὐθὺς συμπροπέμψων σε κᾀὐτὸς τὰ εἰκότα, καὶ τὴν ἱεράν σου χεῖρα νῦν γε τὰ ἔσχατα ἀσπασόμενος· ἀλλ' ἅμα κατατείνων ὡς ἐπὶ τὸν

Κωνσταντᾷ. (380.)

Ἴσθι με κακῶς διακείμενον τήμερον, διὰ πάσης νυκτὸς τοῦ στομάχου διαπεπονημένου πρὸς τὸ τῶν βρωμάτων κακόχυμόν τε καὶ ἄπεπτον, καί τοι λίαν φειδομένως καὶ μόλις κακοήθων φακῶν ἡψάμην. Ἀκούω δὲ καί σε οὐκ εὖ διατεθεῖσθαι, ὡς καὶ ἑτέρωτῳ πατριώτῃ συνδιαιτώμενον, κᾀκ τούτου πρὸς πλείω, ἢ προσῆκεν ἤδη τῶν ἐδωδίμων ἀναγκαζόμενόν γε ἀνίεσθαι, κακῶς εἰδότα, χάριν φέρονθ' ἑτέρῳ, αὐτὸν κακῶς πάσχειν. Εἰδὼς οὖν, ὡς φίλος ἄριστος ἕκαστος αὐτὸς ἑαυτῷ, λῦσον τὴν πρὸς ἐκεῖνον ἀξύμφορον δίαιταν· καὶ καταβὰς ἐς τὴν ἀγορὰν (τοῦτο γάρ σοι σύνηθες μάλιστα γίγνεται) ὤνησαι σεαυτῷ τε κᾀμοὶ τοῦ κρέατος, ὅσον ἡμῖν ἐξαρκέσαι ἡμέρας δύο· ἀνάγκη γὰρ λύειν τὰ τῆς νηστείας δεσμὰ, εἴγε μέλλοιμεν ὄντως οἱ γέροντες καὶ ἐπαύριον τὸν ἥλιον ὄψεσθαι· καὶ, ὃ καὶ μᾶλλον, εἴγ' ὄφελος ἔθ' ὁτιοῦν ἡμῶν τοῖς Ἕλλησιν εἴη. Ἔῤῥωσο.

Λευκίᾳ. (381.)

Ὁ τῶν φιλουμένων πόθος κᾀπὶ τὰ τῶν φίλων τοὺς φιλοῦντας ἀνάγειν πεφυκὼς, πλείστην ὅσην τῆς ἐκείνων ἀπουσίας παρέχει παραμυθίαν· καθάπερ καὶ τῶν ἐρωμένων ἀπόντων, ἀπροσδοκήτως ἐπιφανέν τι, μεταβαλὸν εὐθὺς τὴν διάθεσιν, τὸ τῶν ἐραστῶν ἐθεράπευσε πάθος· οἷον τί λέγω; ἐπειδὴ ἅπαξ ἀφήρημαι τὴν ἐλπίδα τοῦ ἥξειν σε ὡς ἡμᾶς εἰς τὴν Αἴγιναν, ἀναμνησθεὶς τῆς ἀρίστης σου Ἀντιπανακείας, θεραπεύω ἐν τῇ θυγατρὶ, ὃν ἔσχον πόθον πρὸς τὸν πατέρα· οὕτω γὰρ τῇ ἀναγνώσει αὐτῆς νῦν γ' ἐνασμενίζω, ὡς οὐδέποτε ἥδιον, ταῖς ἐν αὐτῇ Ἀττικαῖς ἄλλαις ἐπ' ἄλλαις θελγόμενος ἴϋγξι. Ἀλλ' ἐπειδὴ καὶ τετάρτη σοι βίβλος, ὥς μοι γέγ-

ηὐξάμην τῆς ψυχῆς καὶ ἑτέρους δέκα τοιούτους τό γε νῦν εἶναι γενέσθαι τοῖς Ἕλλησι, τὰ πατρῷα καλὰ τῶν ἀλλοτρίων περὶ πλείονος ποιουμένους· νῦν γὰρ ὡς ἔχει τὰ πράγμαθ' ἡμῖν τοῖς ἐν λιμένι ναυαγοῦσιν ἐσμὲν ἐοικότες, κοὐκέτ' ἂν ἴδοι τις οὐδὲν οὐδαμοῦ τοῖς τῶν ἀρχαίων λόγοις γλιχόμενον ἐντρυφᾷν· ἀλλ' ἅπαξ ἕκαστος εὐθὺς ἀπὸ τῶν σχολείων χαίρειν ἐκείνοις εἰπόντες, καὶ ἃ μεμαθήκεσαν καὶ ταῦθ' οἱ πλείους ὡς ἕωλόν τι ἀπ επιόντες, ἀσμενίζουσι μετεμφυλλιζόμενοι ἐκ τῆς καλλιελαίου εἰς ἀγριέλαιον, ὅπερ πεπόνθασί ποτε οἱ Βυζάντιοι, τῶν Ῥωμαίων πλημμυρησάντων ἀπὸ τῆς δύσεως, Ῥωμαῖοι ἀνθ' Ἑλλήνων ἐπικληθέντες. Τοιοῦτο δέ τοι καὶ ἡμῖν νῦν, ὡς ἀπὸ τῆς ναρκώσεως τῶν σχολείων εἰκάσαι, ἐπαπειλεῖται· τριακοςὸν γάρ που ἔτος ἐς τοῦτό ἐςι μάλιςα, ἐξ οὗ διδάσκαλον, ἢ ἄλλως τῆς πατρῴας παιδείας γενόμενον ἀληθῶς ἐγκρατῆ οὐκ ἂν ἔχοι τις εἰπεῖν, οὐδὲ δεῖξαι τῶν ἁπάντων οὐδέν' οὐδαμοῦ· καὶ νῦν εἴτις ἀπὸ τῶν παρόντων τὸ μέλλον τεκμαίροιτο, συνάγει ὀλέθρια· καίτοι νῦν γ' ἔδει ὡς ἐν ἐλευθέροις τοῖς πράγμασι τοῦτ' αὐτὸ πρῶτον ὅτι πλείςης ἀξιοῦσθαι ἐπιμελείας, δι' ὃ τὴν τ' ἐλευθερίαν ἀνεσωσάμεθα, καὶ τὸ ἀρχαῖον καὶ σεμνὸν ἀνειλήφαμεν ὄνομα, τὰ ἐκ τῶν περιστάσεων ἀξυμφύλως ἡμῖν περιαφθέντ' ἀποβάρβαρα Γραικὸς καὶ Ῥωμαῖος, οἱονεὶ κηλῖδας ἀπομορξάμενοι ἑαυτῶν. Ἔστι δὲ τοῦτο τί; γλῶσσα ἡ πατρῴα, ἡ θεία γλῶσσα, ἡ γλωσσῶν ἁπασῶν μήτηρ καὶ παιδαγωγὸς τῶν ἐθνῶν. Τοῦτ' οὖν πρῶτον πάντων ὑποτεθείσθω τῇ νέᾳ τῶν Ἑλλήνων οἰκοδομῇ, εἶθ' οὕτως ἐποικοδομητέον ὅ,τι περ ὄφελος, ἵν' ᾖ τὸ οἰκοδόμημα ἐχυρὸν καὶ ἀκράδαντον πρὸς τὰς τῶν ἐπιπνευσουμένων Βορεάδων προσβολὰς καὶ τυφῶνας· οἳ οὐκ ἀπροσδόκητοι κατά γε τὸ ἀνθρώπινον μὴ οὐχί ποτ' ἐκταράξειν τὰ πράγματα, οὕτως, ὥσθ' ὑποσαλεῦσαι καὶ αὐτοῦ τοῦ ἔθνους τὴν ὕπαρξιν

τῷ λόγῳ ὅ,τι ποτ' ἂν δυνώμεθα, ἐπιῤῥώσομεν, οἷον θεραπευτικὰ περιάμματα τῇ τοῦ ἰατροῦ τομῇ ἔξωθεν ἐπεισάγοντες· Δεῖ γὰρ δὴ, τοῦθ' ὅπερ πάλαι ποτὲ τοῖς πάλαι Ἀθηναίοις Δημοσθένης πῃ εἴρηκε, τὰ ὦτα τοῖς Ἕλλησι πειρᾶσθαι πρῶτον ἰάσασθαι τοὺς ἐγχεῖν τι χρήσιμον αὐτοῖς βουλομένους· διέφθαρται γάρ. Καὶ ταῦτα μὲν παρεκβατικώτερον. Νῦν δ' ἐπάνιμεν, ὅθεν ὁ λόγος ἡμῖν ὡρμήθη, καὶ ἴδωμεν, ὅπως ἂν μάλιστ' ἐπαρκέσαιμεν τοῖς φίλοις τὰ εἰκότα χαρίσασθαι· ἃ μὲν γὰρ τῶν βιβλίων ἧκέ μοι πέρυσιν ἐκ Θεσσαλονίκης ἐν τρισὶ κιβωτίοις, ταῦτα διανενέμηται πάντα λογίοις ἀνδράσι καὶ ὀρφανοῖς παιδαρίοις· ἃ δ' ἔτι προσδέχομαι ἄλλοθεν ἥξειν, καὶ ταῦτ' οὔπω φαίνεται· ἃ δ' αὖ νῦν ὡρμήθην ἐκδοῦναι τύποις, θεῶν ἐν γούνασι κεῖται, ὁπότε περαιωθήσεται. Λείπεται τοίνυν, τοῦθ' ὅπερ ἔμοι γε δυνατὸν, ἐκ τῶν περιόντων λειψάνων χαρίσασθαί σοι, πέμψαντα τὸν Ἐπίκτητον, φιλόσοφον φιλοσόφῳ, τῷ ὁμοίῳ τὸν ὅμοιον καὶ βίῳ καὶ λόγῳ. Ἔῤῥωσο.

### Κωνσταντᾷ. (384.)

Πάντες ἄνθρωποι ἐν μὲν ταῖς ἀφῃρημέναις τῶν ἐννοιῶν δοκοῦσι συνᾴδειν· ἐπειδὰν δὲ δεήσῃ ἐφαρμόζειν αὐτὰς ταῖς κατὰ μέρος οὐσίαις, ἐνταῦθα ἄλλος ἄλλο δοξάζων, διαφωνοῦσιν· αὐτίκα γὰρ Ἀγαμέμνων καὶ Ἀχιλλεὺς τῶν κατὰ τὴν Τροίαν Ἑλλήνων οἱ ἐνδοξότατοι, ἀμφότεροι δοκοῦντες ἀπὸ τοῦ ἴσου τιμᾷν τὸ τὰ δίκαια ἀπονέμειν ἑκάστῳ, ὁπότε παρῆν ὁ τοῦ Ἀπόλλωνος ἱερεὺς, σκῆπτρον φέρων τὸ τοῦ θεοῦ, καὶ τὴν ἑαυτοῦ ἐξαιτούμενος θυγατέρα, οὐκέτι ταὐτὰ ἐφρόνουν· ἀλλ' ὁ μὲν, ὁ δ' οὐκ ἔφη, οὐδ' εἴτι καὶ γένοιτο, ἀποδώσειν ἐκείνην· μᾶλλον δὲ καὶ προσηπείλησε τῷ πρεσβύτῃ χ' ἑτέραν δίκην αὐτῷ ἐπιθήσειν, εἰ καὶ αὖθις ὄψοιτ' αὐτὸν στρε-

φορούμενον· οὕτω σεαυτῷ καὶ τοῖς σεαυτοῦ συνήθη πεποίηκας τὰ νοσήματα· ἐφ' οἷς ἂν εὔξαιτό τις μηδέποτ' ἰδεῖν ἰατρὸν ὡς αὐτὸν προσφοιτῶντα· ὁπότε σὺ δοκεῖς καὶ ἀγάλλεσθαι ἐπὶ τούτῳ· ἐχρῆν δ' οὐχὶ, ἀλλ' αἰσχύνεσθαι μᾶλλον, ὅτι τὸ κατὰ φύσιν μὴ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐκβιαζόμενος, ὑποκορίζῃ, εὐγένειαν οἷον ἐπιδεικνύμενος φύσεως· ἧς σκοπὸς μὲν μάλιστα τὴν οὐσίαν διατηρεῖν, τὸ τέλειον αὐτῇ προμνηστεύουσα πανταχόθεν· ἀλλ' ἡ ἡδονὴ ὡς ἐπίβουλος ἀντιστρατηγοῦσα, σφάλλεσθαι πολλάκις ποιεῖ. Εἰ οὖν ἄμεινον πολλῷ ὡς τοῖς πᾶσι καί σοι ὁμοίως δοκεῖ μηδέποτ' ἰατρῶν δεῖσθαι, ἢ νοσοῦντα κακοδαιμονεῖν ὑπ' ἐκείνοις, πέπαυσο νοσῶν· ἔσται δέ σοι τοῦτο, σωφροσύνην τιμῶντι· ἰατρικῆς γὰρ φρόνησις ὀνησιμωτέρα εἰς ὑγιείαν πολλῷ· ἡ μὲν γὰρ ἐκ προνοίας ἀπείργει ὅλως μὴ ἐγγίγνεσθαι ἡμῖν τὰ νοσήματα, ἡ δὲ ἰατρικὴ ἐνσκήψαντά τε καὶ κρατήσαντα πειρᾶται ἀποσοβεῖν, καὶ τοῦτ' οὐκ ἂν ἐκείνης ἄνευ· τῆς γὰρ ψυχῆς μὴ συνδιατεθείσης πρότερον ἐκ τῆς ἠθικῆς ἐπιτήδειον πρὸς τὴν ἴασιν εἶναι, τὸ ἀπὸ τῆς τέχνης ἀνόνυτον. Ἔρρωσο.

## Κονσταντᾷ. (386.)

Τί ποθ' οὕτως οἱ μὲν ἀποδημοῦντες ἕκαστοι γλίχονται ὅτι τάχιστ' ἀπονοστῆσαι εἰς τὰς ἑαυτῶν, καὶ οἱ εἰς ἐμπορίαν ὡσαύτως πλέοντες θᾶσσον περαιωθῆναι, ἐφ' ἃ ἂν τύχωσι πλέοντες, εὔχονται· οἱ δὲ γεγηρακότες ἐμφιλοχωροῦντες τῷ βίῳ, ὀκνηρότερον βαδίζουσιν, ἐφ' ἃ ὁ κῆρυξ ὡς διὰ πολλῶν σαλπίγκων τῶν νοσημάτων, αὐτοὺς προσκαλεῖ, ἔνθ' ἀλυπώτερον πάντως καὶ εὐδαιμονέστερον τετάχανται ζῆν; ἢ ὅτι ἐκείνων μὲν, φαίης ἂν, ὡς ἀπὸ τῆς αἰσθήσεως βεβαία δοκεῖ ἡ ἀπόλαυσις· πρὸς δὲ τὰ μέλλοντα μόνος ὁ λόγος ὁρμὴν ἐμποιῆσαι οὐ πάνυτι ἀξιόχρεως· ἡ δ' αὖ ἐξ ἀποκαλύψεως

θευσαμένῳ. Δάνεισόν μοι τοίνυν ὅσον διαρκέσαι ἡμῖν εἰς μῆνα, ὅπως σοι προχωροίη, καὶ ἀποτίσομέν γε καὶ λώϊον εὐπορήσαντες. Ἔῤῥωσο.

Ἰωάννῃ. (388.)

Τί σοι βούλεται τοσοῦτον φλήναφον ἡμῶν καταχεῖν μὴ παρόντων; οὐ γὰρ Χολόῤῥοιαν, ὦ θαυμάσιε σύγε, ἀλλὰ Χολέραν οἵ τε πάλαι, ὧν πρῶτος Ἱπποκράτης ἂν εἴη, καὶ οἱ νῦν ὁμοίως τὴν νόσον προσηγόρευον ταύτην· οὐ γὰρ παρὰ τὴν χολὴν ῥεῖν, ὡς ᾠήθησάν τινες· ἀλλ' ἀπὸ τῶν ἐντέρων, ἃ χολάδας οἱ πάλαι, ὡς σωλῆνας ὄντα τινὰς, δι' ὧν τὰ περιττώματα ἐκχωροῦσι, προσηγόρευται, παρωνόμασται· εἰ μή τι καὶ αὐτὸς λογοδιάῤῥοιαν νοσῶν, ἔτι ἐπιμένοις τῷ δόγματι. Ἔῤῥωσο.

Γεωργίῳ. (389.)

Ἀκήκοα χαλεπῶς ἐνεγκεῖν τῶν τινα ἐν τοῖς πράγμασι Βυζαντίων, ἰδόντα τὸν ἐμὸν Κορομηλᾶν κατακομίσαντα τὸ ἐκ τῶν Παρισίων τυπογραφεῖον· καὶ ὡς δῆθεν δι' ἐμῶν τούτου κατορθωθέντος ἀναλωμάτων, δεῖν φασι τὴν δεκάτην ἀποτῖσαι τῷ τελωνείῳ Κορομηλᾶν· καίτοι τοὺς τοιαῦτα τό γε νῦν ἔχον τῷ κοινῷ συνεισφέροντας ἐργαστήρια, ἃ νῦν πρῶτον ἰδεῖν ἠξίωνται Ἕλληνες, οὐχ ὅπως ἄδειαν τούτων ἔχειν, ἀλλὰ καὶ ἑτέραν οἱανδήποτε ἐχρῆν παρὰ τῶν κρατούντων εὑρέσθαι χάριν· νῦν δὲ, ἐπειδή, φησι, τὰ τοῦ Δούκα συγγράμματα ἐκδοθήσονται, χρὴ καταβαλεῖν τὴν δεκάτην· ἰοὺ, ἰοὺ, ὅσον πονηροί γέ εἰσιν, ὅτι ἐγὼ ἀγαθός εἰμι! εἰ γὰρ ἐμαυτῷ ταῦτ' ἐξεδίδων, οὐκ ἂν ἀπεχθῶς τοσοῦτον διέκειντο πρὸς ἐμέ· ἦν γὰρ αὐτοῖς οὕτω διαβάλλειν με, ὅτι πάντα

εὔδαιμον οἴομαι πρώτως καὶ μάλιστα περιέσεσθαι· ταῦτα γὰρ δευτέρῳ γε λόγῳ εἶεν ἂν ἀγαθὰ προσγιγνόμενα· Ἀλλ' ἐκεῖν' ἔγωγε πρῶτον βουλοίμην ἄν σου πυθέσθαι· πότερον, ἔθνος ἐσμὲν, ἢ λαὸς ἁπλῶς, ὥσπερ πρότερον, ἀγόμενος καὶ φερόμενος, ὅπως τύχῃ; Ναὶ ἔθνος, φὴς, καὶ ἐσμὲν καὶ ἐσόμεθα, εἰ θεὸς θέλοι, αὐτόνομοι καὶ ἐλεύθεροι· τίς γὰρ ἀντερεῖ, ὁπόθ' οἱ ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνες καὶ κίνδυνοι τοσαῦται μέν εἰσι τῆς ὑπάρξεως αὐτοῦ μαρτυρίαι, τοσοῦτοι δὲ τῆς εὐκλείας καὶ δόξης ἀμαράντινοι στέφανοι; Καλῶς ταῦτ' εἴρηται, καὶ μάλ' εὐπρεπῶς. Ἀλλ' ἐφ' ὅτου ποτὲ τοῦτ' ἐπερείδει τὴν ὑπάρχουσαν ταύτην δόξαν καὶ ὕπαρξιν; κἀπὸ τίνος ἀγκύρας ἀναρτᾷ τὴν ἑαυτοῦ ἐθνικὴν ἀϊδιότητα καὶ διάρκειαν, ὥστε σωζόμενον, μηδὲν παραβλάψαι τῶν κατὰ φύσιν αὐτῷ ὑπαρχόντων; Δῆλον ὅτι ἐπὶ τῆς γλώττης καὶ τῆς θρησκείας· ταῦτα γὰρ ἴσμεν, ὥσπερ πρῶτα στοιχεῖα τῆς τῶν ἐθνῶν ὑπάρξεως ὄντα, καθ' ἃ ἐκεῖνα ἀλλήλων διενήνοχεν ἕκαστα· ἄλλως γὰρ πάντες ἄνθρωποι κατὰ τὴν οὐσίαν ἐσμὲν οἱ αὐτοὶ, ἀφ' ἑνὸς τοῦ Γενάρχου ἐξ ἀρχῆς ἀεὶ κατιόντες. Καλῶς γε καὶ ταῦθ' ὅσον ἀπὸ τῆς λέξεως ἕνεκα· ταῦτα γὰρ, ἃ φὴς τῆς τῶν ἐθνῶν ὑπάρξεως εἶναι σωστικὰ, παρ' ἡμῖν γε δοκοῦσιν ἐκρεῖν, νοθευόμενα ἀεὶ λεληθότως, ἀπὸ τοῦ φύσει παροχετευόμενα κατ' ὀλίγον πρὸς τὸ παρὰ φύσιν· καθάπερ γὰρ ῥεῖθρόν τι, ὁπότε πῃ τῆς ὄχθης κατεξανιστάμενον καταῤῥεῖ, ὅποι τύχοι, τῆς ἑαυτοῦ ποθ' ὕστερον ἐκτραπήσεται κοίτης· οὕτω καὶ τὰ τῶν Ἑλλήνων ταῦτα στοιχεῖα, εἴτι ἔγωγε δοκῶ ἄμεινον ὁρᾷν, ἠρέμα πως δοκοῦσί μοι κατὰ μικρὸν παρεκτρέπεσθαι, οὐ τὴν κατὰ φύσιν πορείαν χωροῦντα ὡς πρὸς τὴν θάλασσαν, ἐξ ἧς ἡμῖν τὸ ὕδωρ ἐκρεῖ τὸ ζῶν καὶ ἁλλόμενον, ἀλλὰ κατὰ τοῦ πρανοῦς ἐπὶ τὴν ἄβυσσον, ἐξ ἧς τῆς Μεῤῥᾶς τὰ πικρότατα νάματα. Ἀλλ' ἔγωγε

ἵν' ἔχῃς καὶ τρίτον τὸ ἀπὸ τούτου, ὥσπερ γραφεύς, ἐπαγαγεῖν τὸ ἄνθος τῇ τέχνῃ, ὁρμώμενος ἐκ τῆς πράξεως. Ἔῤῥωσο.

### *Πανταζῇ καὶ* Κύρῳ. (394.)

Καλλίνικος μὲν ὁ τῶν ἐμῶν φίλων ἄριστος, ἅμα σχὼν Τεργέστῃ, ἐπέστειλέ μοι τοῦτ' αὐτό, ὃ ἐμοὶ πόθος ἦν μαθεῖν κἀκείνῳ κατ' ὀφειλὴν μηνύσαι φιλίας, ὡς πέμπτῃ καὶ δεκάτῃ ἡμέρᾳ κατήχθη, εὐπλοΐσας, εἰς τὸν λιμένα· ὑμεῖς δ' οὔπω φαίνεσθέ μοι φθεγξάμενοι, ποῖ ποτ' ἄρα ἀπενεχθέντες τοῖς πνεύμασι, εἶθ' οὕτως ὑστερήσαντές ποτε διεσώθητε· δεῖ γὰρ δὴ τοῦτο πρῶτον ἐμὲ παθεῖν, ὃ λυπεῖ ἀγνοούμενον· εἶθ' οὕτω καὶ τἄλλα ἑξῆς μέχρις οὗ ὑμῖν ἐξεγένετο τόν, πρὸς ὃν ἐσπεύδετε ὅρον καταλαβεῖν. Ἐγὼ δ' οὖν, εἴτι κἀμοῦ ὑμῖν ἔτι μνήμη, ἐν τῷ αὐτῷ διαιτώμενος, ἀμφὶ τὸν τύπον τὸ πλεῖστον τοῦ χρόνου τὴν ἀσχολίαν ποιοῦμαι, εἰς τὴν Μεταφυσικὴν ἤδη χωρῶν, ἀλλ' οὐχ οὕτως σὺν ἡδονῇ, ὥσπερ ἐν ἄλλοις ποτὲ πρότερον· πόνοι γὰρ τῷ γήρᾳ οὐκ ἀνεκτοί· κἂν τοῖς ποιηταῖς τοῦ λοιποῦ ἔσονται μάλιστα ἐπαχθέστεροι, μηδενός μοι προσόντος τοῦ συναντιληψομένου, ἀδυνάτου πρὸς ταῦτ' ἔτι ὄντος τοῦ Γεωργίου. Ἀνατίθημι δ' οὖν τὸ τέλος τούτων ἁπάντων τῷ θεῷ, ᾧ πάντα καὶ τὰ ἀδύνατα δυνατά, ὃν καὶ ὑμεῖς ἡγεμόνα τῶν ἀνὰ χεῖρας ποιούμενοι, ἐῤῥωμένως διαβιοῦτε.

### Τῷ *Καλλινίκῳ* (395.)

Ἔγνων ἄρα εὐμενεῖ τῷ Ποσειδῶνι χρησάμενος· εἰσήκουσε γάρ μου εὐξαμένου οὐρίοις πνεύμασι τὸν φίλτατόν μοι παραπέμψαι Καλλίνικον· ὥσπερ οὖν πρῴην, ὅθ' ἡμῖν ἐπεδόθη τὰ γράμματα τὰ ἀπὸ Τεργέστης, ηὔφρανεν ἡμᾶς ἀναγνόντας, οὕτω βουλοίμεθ' ἂν καὶ νῦν αὖθις τὰ ἀπὸ Μονάχου

γραφίδος ἀφίστασθαι· αὕτη γὰρ ὁ ἀδωροδοκητότατός ἐστι κριτὴς τῆς τῶν ἀγαθῶν, καὶ μὴ τοιούτων, ἀνδρῶν ἀξίας, ἀμφοτέρων ἀμέλειτοι ἐκ τῶν ἀποβαινόντων. Πρὸς ταῦτα τοίνυν, ἔφην, δεῖ καί σε ἀντιφιλοτιμεῖσθαι, εἴγε μὴ μέλλοις ἐπανελθὼν, καταδολεσχηθήσεσθαι ὑπὸ τῶν ὁμοτέχνων. Ταῦτ' εἴρηται κἀμοὶ πρὸς ἐκεῖνον. Σὺ δ' εἴης ἡμῖν ἐῤῥωμένως διαβιῶν, ἵνα καὶ ἑτέρῳ τῷ εὐφράνῃς ἔτι περιόντας ἡμᾶς ἀμφοτέρους, πρός τε τὸ κοινῇ ξυνοῖσον τοῖς Ἕλλησιν ἀφορῶν, καὶ πρὸς δόξαν ἰδίαν οὐχ ἥκιστα, τὴν μὲν, σεαυτοῦ πρὸς τοὺς ὁμογενεῖς· τῶν δ' ὁμογενῶν, πρὸς τοὺς ἑτερογενεῖς· τὸ δ' ἀτρεκὲς, ἴδιον πρὸς ἀμφοτέρους ποιούμενος τοῦτ' ἀγώνισμα. Ἔῤῥωσο.

### Τῷ Κωνσταντᾷ. (397.)

Ὡς κατηφὲς, ὡς ἀγέλαστον, ἄχαρι, δυσάρεστον, καί μεμψίμοιρόν ἐστι τὸ γῆρας· ἃ γὰρ ἡ πάνσοφος φύσις ἐπ' ἀγαθῷ ἡμῖν μεμηχάνηται, ταῦτα τοῖς γεγηρακόσιν ἐπὶ κακῷ δοκεῖ πράττεσθαι ὑπ' ἐκείνης· ἀκούω γάρ σε προσκαθήμενον τῇ ἑστίᾳ, ἀνακλᾶσθαι πρὸς τὸ ψῦχος· κἀπειδὰν δ' αὖ, παρελθόντος τοῦ χειμῶνος, περιέλθῃ τὸ θέρος, ταὐτὰ, οἶμαι, καταμέμψῃ κἀκεῖνο πρὸς τὴν τοῦ ἡλίου ἀκτῖνα, ἡνίκ' ἰσχυροτέραν, ὡς εἰκὸς, καὶ κατὰ κορυφὴν τὴν φλόγα ἡμῖν ἐπαφῇ, οἷον ἔαρ, ὡς ἔοικε, τὸν ἅπαντα χρόνον οἰόμενος δεῖν διάγειν· ἐχρῆν δ' οὐχί· ἀλλὰ τὸ ἐν τῷ παρόντι παραλυποῦν μετριάζειν τῇ τοῦ ἡδέος ἐλπίδι τοῦ μετὰ μικρὸν ἐν μέρει παρομαρτήσοντος· ὃ κἂν τοῖς νόσοις παραμυθεῖσθαι εἰώθαμεν, ὑγιείας προσδοκωμένης· ταῦτα γὰρ παραλλὰξ τέθειται ὑπὸ τῆς Προνοίας ἐπ' ἀγαθῷ, ὅπως μετὰ τὰ λυποῦντα τελειοτέραν παράσχῃ ἡμῖν τῶν ἡδέων τὴν αἴσθησιν· κόρος κένωσις, ὕπνος ἐγρήγορσις, πόνος ἀνάπαυλα. Τούτων οὖν ἕκαστον εἰ

Τῷ Ἱεράρχει. (398.)

Οὐδὲν θαυμαστὸν, οὐδὲ τοῦτ' ἀπορεῖν σε δεῖ, ὅπως οἱ Ἕλληνες ἀπὸ τῆς ἄγαν δεισιδαιμονίας ἐπὶ τὴν ἀντικειμένην ἐξετράπησαν ἀπροσδοκήτως ὑπερβασίαν, τοιαύτης τῆς τύχης τῶν οἰζυρῶν ὑπαρχούσης μερόπων, ἐπειδὰν ὁ Εὐαγγελικὸς λόγος ὑπ' ἀμαθείας καθεύδῃ· τοῦτο γὰρ τυγχάνουσι πεπονθότες καὶ ἐν οἷς πολιτεύονται· οὐ γὰρ ἔφθησαν τῆς δουλείας ἀπαλλαγέντες, καὶ τῇ ἐλευθερίᾳ ἀπαρακαλύπτῳ ἀποχρησάμενοι κεφαλῇ, κατεξανέστησαν τῆς τοῦ θεοῦ δωρεᾶς, τούς τε νόμους ὑπερβάντες, καὶ τὸν Προστάτην ἑαυτῶν, τὸν σοφὸν καὶ ἀγαθὸν ἐν ἅπασι Κυβερνήτην ἀπανθρώπως φονεύσαντες, καὶ τὴν πατρίδα ὑπόθεσιν πλεονεξίας ποιήσαντες, ἐφ' οἷς νῦν μεμνημένοι δήπου, οἵων ἐκ τούτων ἀπεστέρηνται, κλάουσιν· οὕτως αἱ ὑπερβολαί εἰσι τοῖς ἀνοήτοις ἀκροσφαλεῖς ἐφ' ἑκάτερα· διὸ περιαιρεθέντες νῦν ὑπ' ἀπειλῇ νόμου τὸ τῆς ἐλευθερίας ἀπόλυτον, ἐπὶ τὴν εὐσέβειαν ἐλευθεριάζειν ἐθέλουσι, καὶ τὴν δεισιδαιμονίαν καταμεμφόμενοι, ἐπὶ τὴν ἀντιπαρακειμένην κακίαν, ὅλῳ ὑπερβάντες θυμῷ, ἐξετράπησαν. καὶ τοῦτο τοσούτῳ θᾶττον, ὅσῳ ἡ μὲν, καί τοι καὶ αὐτὴ τοῦ μέτρου ἐκπίπτει, ἀλλ' ἔχει ἐκ σωφροσύνης καὶ συγγενές τι πρὸς τὴν ἀρετὴν, ὡς δι' ἱδρώτων καὶ αὕτη δοκοῦσα προσγίνεσθαι· ἡ δὲ ἀθεΐα, ὡς ἀπὸ πολλῆς ὁρμωμένη ῥαστώνης, ἄνετος ἐπὶ θάτερα καταφέρεται· διὸ ἀπ' ἐκείνης μὲν πολλοὶ ἐπὶ ταύτην ἐξώκειλαν· ἀπὸ δὲ ταύτης πρὸς τὴν δεισιδαιμονίαν οὐδὲ εἷς ἐπαλινόστησε πώποτε· καὶ γὰρ ἓν οὐδ' ἓν ἄνετον αὐτοῖς ἐπαγγέλλεται· τὰ γὰρ ῥᾶστα ἀεὶ πολὺ τὸ ἀπόκρημνον κέκτηται· ὃ ὁρῶμεν νῦν γιγνόμενον κἀν τοῖς γράμμασιν· ἣν μὲν γὰρ ὅθ' οἱ Ἕλληνες καὶ ἀπαγγέλλειν καὶ γράφειν τὴν τῶν προγόνων γλῶσσαν φιλοτίμως διέκειντο· νῦν

τοσούτους γὰρ εἰκὸς συναυλισθήσεσθαι τοὺς ἐνταῦθα κατοικησθησομένους· διὸ δεῖν φὴς ἕτοιμόν με γενέσθαι, ὥσθ' ἐν καιρῷ πρῶτον αὐτὸν τὸν πρῶτον ὑποθεῖναι θεμέλιον, ἢ καὶ ὑπέσχημαί ποτε τό,τε σχολεῖον οἰκοδομήσεσθαι, καὶ ἕτερα τῷ κοινῷ συντελέσειν, ὧν ἂν οἷός τε ὦ. Ταῦτα μὲν αὐτὸς φὴς, εἰπὼν ἀληθῆ. Ἐγὼ δ' ἐπαινῶ τοὺς καλοὺς κἀγαθοὺς Ἠπειρώτας οὐ μόνον τῆς προνοίας τῆς ἑαυτῶν καὶ τῶν ἐξ αὐτῶν ἀεὶ ἐσομένων· ἀλλὰ καὶ τῆς μεγαλοφροσύνης καὶ φιλοτιμίας πρὸς τὸ διασώζεσθαι τὸ ἐκ τῆς φυλῆς προσγιγνόμενον φρόνημα· δεῖ γὰρ δὴ τοὺς τοῦ Πύῤῥου ἀπογόνους, ὡς ἐκ συνοικίας ἰσχυρᾶς ὁρμωμένους, ἄξια ἑαυτῶν καὶ ποιεῖν καὶ φρονεῖν τοῦ λοιποῦ. Τὸ παρ' ἐμοῦ τοίνυν ἔσται τοῦθ', ὅπερ δύναμαι· δύναμαι δὲ νῦν ἔλαττον, ἢ βούλομαι· τὸ γὰρ ἐκ πολλῶν πόνων πάλαι προσγενόμενόν μοι ἀργύριον, ἐξαντλεῖται ἤδη κοίλαις, ὅ φασι, ταῖς χερσὶ πρὸς τὴν τύπωσιν, ὧν ἐν δέκα πεπόνηκα ἔτεσιν· ἔσται δὲ ταῦτα εἰς δυσμυρίους βίβλους, ὧν τὰ μὲν ἡμίση διανεμῶ τοῖς Ἕλλησι δωρεὰν τοῖς ἐντὸς καὶ ἐκτὸς τῆς ἐλευθέρας Ἑλλάδος· τὰ δ' ἄλλα ἔσονται ἀνάθημα τῷ ἐσομένῳ ἡμετέρῳ σχολείῳ· εἰ δὲ δυνήσομαι καὶ τὴν τούτου προσθεῖναι οἰκοδομὴν, οὐδὲ τούτου ἀφέξομαι· νῦν γὰρ οὐκ οἶδα, ὅποι μοι χωρήσει τὰ πράγματα, καὶ μέχρι τίνος ἐπαρκέσει μοι τὸ βαλάντιον· πρὸς δὲ τούτοις καὶ τὸ πρᾶγμ' αὐτὸ καθ' αὑτὸ ἐργῶδες δοκεῖ καὶ οὐ πάνυ τοι πιθανόν· πολλὰ γὰρ τοῖς Ἕλλησιν εἴρηται καὶ μεγάλα, ἐπράχθη δ' οὐδὲν, ἢ ἐλάχιστα· οὐ γὰρ ἕπεται τοῖς λόγοις τὰ πράγματα, τῇ δὲ τῶν πραγμάτων φύσει τοὺς λόγους ἀκολουθεῖν ὁ ὀρθὸς αἱρεῖ λόγος. Ἀλλ' ὑπάρξαθ' ὑμεῖς σὺν θεῷ τῶν καλῶν, ἢ μᾶλλον προκατάρξασθε τοῦ ἔργου, καὶ πάνθ' ἕξει καλῶς· μέλει γὰρ τῷ θεῷ, ὁπόθ' ὁρῷη τοὺς αὐτὸν σεβομένους ἀγάπῃ πρὸς ἀλλήλους συνδεδεμένους, καὶ τὸ κοινῇ συνοῖσον περὶ πολλοῦ ποιουμένους. Ἔῤῥωσο.

μαῖοι ἐκ τῆς Ἰταλίας ἐπικλύσαντες ἐφ' ἡμᾶς, ἐβασίλευον αὐτοῦ, ἴσμεν εἰς τὴν γλῶσσαν γενόμενα· ἡνίχ' οἱ Ἕλληνες οὐκέτ' αὐτὸ τοῦτο ἦσαν, ἀλλὰ κίβδηλοι Ῥωμαίων ἀπόγονοι, εἰς τὸ ἐκείνων γένος συγχωθέντες καὶ συνουσιωθέντες παρὰ τὴν ἀξίαν· ταῦτα δὲ κἀπὶ τῶν Ἰταλῶν αὐτῶν· οἱ ἔτι καὶ νῦν οὐχ ὅπως τὸ ἀρχαῖον καὶ πάτριον, τό τ' ἐκ τῆς δόξης, καὶ τὸ ἐκ τῆς γλώσσης ἀφήρηνται ὄνομα, ἀλλ' οὐδ' εἰ Λάτιόν πη ἦν αὐτοῖς ποτε, γινώσκουσι τοῦτο· νῦν δ' αὖθις, ὥσπερ ἐκ σκηνῆς τραγικῆς ἐφ' ἡμᾶς ἐπανῆκεν ἡ τῆς τύχης ἐπήρεια· μόλις γὰρ τὴν ἐλευθερίαν ἀνασωσάμενοι, ἠλπίσαμεν προσανασώσεσθαι καὶ τὴν γλῶσσαν, καὶ αἴφνης ἐπιφανέντες τινὲς αὐτοχειρόνητοι, ἄλλος ἄλλοθεν, ὥσπερ θεοὶ ἀπὸ μηχανῆς, καὶ ἀράμενοι τὴν θείαν παρακαταθήκην, ἐκφέρουσιν αὐτὴν κατ' ἰδίαν ἀρέσκειαν, καθάπερ παλλακίδα, ὅποι βούλοιντο, εἰς ἰδιώματα ἔκφυλα· καί μοι δοκῶ προορᾷν, ὅποι τοῦτό ποτε ἀποβήσεται, σαθραῖς ὕλαις ἀεὶ τοῦ πρόσω κατ' ὀλίγον, ὥσπερ ἕλκος, ἐπινεμόμενον· ἔσται γὰρ ὅθ' οἱ Ἕλληνες οὐκέθ' Ἕλληνες, ἀλλὰ Γραικογάλλοι μετακληθήσονται· εἰ μή τις ἐκ Στεντωρείου φωνῆς, ἢ ἐκ σάλπιγκος ὁρμώμενος Τυρσηνικῆς, καὶ στέρνον χάλκεον ἔχων, συννοήσας τὸν κίνδυνον, οἷος καὶ ὅσος, ἄρξαιτ' ἀπ' ἀρχῆς ἀναλαμβάνειν αὖθις τὰ πάτρια. Ἀλλὰ τοῦτον μὲν θεὸς ἡμῖν δῴη, ὁ τὰ πάντα διεξάγων, ὡς βούλεται. Ἐμοὶ δὲ νῦν τίποτ' ἐπῆλθεν αὖθις πρός σε θρηνεῖν, πολλάκις προσανακλαυσάμενος καὶ πρότερον τὰ αὐτά; ἢ ὅτι πρόγραμμά τι, νέας βίβλου διαγγέλλον ἐντύπωσιν, ἐλθὼν πρῴην καὶ δεῦρ' ὡς ἡμᾶς, οὐ μόνον ἐμὲ, ἀλλὰ καὶ τῶν ἄλλων παρελύπησεν ὅτι πλείστους· οἶσθα γὰρ τὴν Αἴγιναν ἔν γε τῷ νῦν εἶναι μὴ πάμπαν ἔρημον οὖσαν ἀνδρῶν λογίων· καὶ γὰρ καὶ τὸ πρωτεῦον τῶν σχολείων ἁπάντων, ἐν ᾧ διδάσκαλοι δέκα μάλιστα, ἐνταῦθά ἐστιν· ἀλλὰ μαρτύρομαι τὴν ἀλήθειαν, ὡς

ἀντλήτωσαν κατὰ τὰς Δαναΐδας ἐς τετρημένον πίθον, πονοῦντες ἀνήνυτα· καὶ δικτύοις θηρευέτωσαν ἄνεμον, μετὰ τῶν Βοριάδων ἐν μετεώροις φερόμενοι· τὰ γὰρ πονήματ' αὐτῶν οὐδεὶς, οὐδ' ἔχων, ἂν ἔχοι. Ἐγὼ μὲν οὖν τό γ' ἐπ' ἐμοὶ οὐδέποτ' ἐπαυσάμην προΐσχεσθαι τῶν πατρῴων κελεύων· καὶ τοῦ λοιποῦ ὁμοίως οὐκ οἶδ' ὅπως σιγᾷν οὐκ ἂν ἔχοιμι· ἀλλ' οὐδεὶς οὐδενὸς οὐδαμοῦ, κατά γε τὸν Τραγικὸν Σάτυρον, ἀκούει· οὕτω πάντες εἰσὶ νομάδες. Ἔῤῥωσο.

## Ἀναστασίῳ (402.)

Θαυμάζειν φὴς αὐτὸς, ὅπως τοσοῦτον γλιχόμενος τελευτῆσαι Ἀθήνησιν, χαίρω ἤδη νήσῳ ἠνεμοέσσῃ καὶ λυγρᾷ ἐμφιλοχωρῶν τῇ Αἰγίνῃ· τοῦτο μὲν οὖν κἀγὼ ἂν ἐθαύμασα, καὶ ἀπειροκάλου ἂν ἀνδρὸς ἔφην εἶναι, εἰ μήτι ἐκ φρονήσεως, τῷ πρὸς ἡδονὴν μαχόμενον, ἐξενίκησε συμφερόντως· καλὸν μὲν γὰρ Ἀθῆναι καὶ ἐπιθυμητὸν αὐτοῦ τοῖς φίλοις συνεῖναι, ἀλλὰ νεωτέροις, τοῖς πρὸς πολλὰ ἐκ δραστηριότητος δυναμένοις μερίζεσθαι· γέρουσι δ' ἀβληχροῖς τε καὶ αὔοις, οἷς ἐπισκέψεις τε καὶ θόρυβοι ὀχληρὰ, ἐρημία προτιμοτέρα· μάλιστα δ' ἔμοιγε, ὃς νέον ἤδη ἀγῶνα περὶ τὸν τύπον τῶν βιβλίων ἀναδεξάμενος, οὐκ ἄγω σχολὴν οὐδ' αὐτὸ τὸ οὖς ξέσαι τὸ δὴ λεγόμενον· βουλοίμην γὰρ ἂν καὶ τοῦτ' ἔτι τὸ στάδιον σὺν θεῷ διελθεῖν· εἶθ' οὕτως ἀπροσποιήτως περαιωθεὶς αὐτόσε, καὶ κύσας τὰς ἱερὰς Ἀθήνας, οὕτως ἀποδοῦναι τὸν χοῦν τῇ μητρί. Ἔῤῥωσο.

## Κωνσταντᾷ (403.)

Ὧν πρῴην ἐδανεισάμην παρὰ σοῦ πέντε ταλλήρων, ἓν μὲν ἐδάνεισα κἀγὼ, παρ' οὗ οὐκ ἐλπίζω αὐτὸ ἐπὶ γῆς ἀπολήψεσθαι· ἕτερον δὲ ἀπώλεσεν ὁ παῖς καθ' ὁδὸν, ἐπανιὼν

ρου, οὐκ ἂν φαίην· ἄμεινον γάρ μοι δοκεῖ ἐπὶ σωτηρίᾳ ψευσάμενον φαίνεσθαι, ἢ ἀληθεύοντα ἀπολέσθαι, καὶ ταῦθ' ὁρῶντα καί σε αὐτὸν τῷ αὐτῷ ὑποκείμενον πάθει· κατὰ γὰρ τὸν τραγῳδόν. » Σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπή· Ἔρρωσο.

Φιλεταίρῳ. (407.)

„ Ὦ στυγνὸς αἰών, τί μ' ἔτι δῆτ' ἔχεις ἄνω

„ Βλέποντα· κοὐκ ἀφῆκας εἰς Ἅδου μολεῖν;

Ταῦθ' ἅμα τήμερον ἐξεγερθεὶς τῆς κλίνης, κατεβόησα ἐμαυτοῦ· ἦν μὲν γάρ μοι ὁ πρὶν βίος πόνων μεστὸς, ἀλλὰ πόνων τελευτώντων εἰς ἡδονὴν, πόνων ἐπικαλουμένων ἀεὶ ἑτέρους, οἵους ἡγεμόνας εἶναι τοῦ ζῆν ἡδέως· νῦν δ' ἐν γήρᾳ βαρυστονώτατος καὶ ἀηδὴς πρὸς πάντα πανταχόθεν κατέσκηψέ μοι· κοὐκέτι μοι ἀνέχεται τὸ σαρκίον, τῷ τῆς ψυχῆς καὶ μικρὸν γοῦν χαριζόμενον φιλοτίμῳ, ὥσπερ πρότερον, τῶν ἔργων προθύμως ἀντιλαμβάνεσθαι· τὰ δὲ παρέστη πολλὰ, καὶ ἰσχυροτέρου δεόμενα σώματος. Ἵν' οὖν μὴ ὑπερτείνας ἐν τούτοις ἐμαυτὸν, κατεστέψαιμι, δίκαιος ἂν εἴης μοι συναντιλαβέσθαι τῶν πόνων, ἀνακουφίζων γερόντιον, παρ' οὗ πολλάκις εὖ σοι γεγένηται, καὶ τοῦ λοιποῦ οὐκ ἀχάριστον ἔσται. Πῶς οὖν ὡς μετριώτατα τοῦτο γένοιτ' ἄν; ἢ ἐμοὶ μὲν ἄφες τὴν τοῦ τύπου διόρθωσιν, πόνον ἱκανὸν ἔμοι γε σὺν ἡδονῇ ἐσθίειν καὶ ἀναπαύεσθαι· σὺ δ' ἀνάδεξαι τὴν τῶν βιβλιοπήγων φροντίδα καὶ τὴν τῶν βίβλων διανομὴν, τάς τ' ἀποδείξεις τῆς παραλαβῆς ἑκασταχόθεν δεχόμενος, καὶ ἐν καταλόγῳ ἀπονέμων, ὅπῃ διώρισται ἕκαστα· ἡ δὲ χάρις, εἴτις ἐκ τούτων ἡμῖν εἴη παρὰ τῶν Ἑλλήνων, ἔσται ἐμοί τε καί σοι ὡς συμπεπονηκότι κοινὴ, ὡς εἰκός. Ἔρρωσο.

### Τῷ Ῥίζῳ. (410.)

Εἰ χρὴ τὰ οἰκεῖα, ὡς παλαιὸς λόγος βούλεται τοῖς οἰκείοις προσφέρεσθαι, οὐδὲν θαυμαστὸν, εἰ καὶ ἡ ἐμὴ Τετρακτὺς παρὰ σὲ τὸν τῶν λόγων προστάτην, πρῶτον σπεύδει λαβεῖν παῤῥησίαν: οἰκεῖα γὰρ προσφέρειν ὑπισχνεῖται τἀγώγιμα. Βουλοίμην δ' ἂν οὖν σε ἀπὸ τῶν πολλῶν φροντίδων τοσοῦτον ὑποκλέψαι χρόνον, ὅσον τὰ ἐν προοιμίοις διεξελθεῖν· τάχα γὰρ ἂν οὐ μικρὸν οἶκτον, οἶμαι, τῆς πατρῴας γλώσσης ἐκεῖθεν λάβοις, καὶ λόγον αὐτῆς πρὸς οὓς ἂν δεήσῃ ποθ' ὕστερον, ὡς εἰκὸς, ποιήσαιο τὸν προσήκοντα· ἥτε γὰρ φύσις ἐξ ἀρχῆς ἐνθεῖναί σοι προὐθυμήθη πλῆρες τὸ περὶ ταῦτα φιλότιμον, καὶ ἡ τύχη, καλῶς ποιοῦσα, εὐμενῶς ἀεὶ προάγεις σε πρὸς τὸν θρόνον, πρόνοιαν τῶν πατρῴων καλῶν συναμφότερα ποιεῖσθαι ὑπαγορεύουσαι. Ἔῤῥωσο.

### *Τῷ σοφῷ ἱεράρχει.* (411.)

Σύνοιδα μὲν πολλάκις πρὸς σὲ γεγραφώς· οὐκ οἶδα δὲ, εἰ ἀφικνεῖται ἐπὶ τὸν ὅρον τὰ γράμματα, τοσούτων ὀρέων σκιαρῶν μεταξὺ ἐμπιπτόντων, καὶ θαλάσσης ἠχούσης· ἐμοὶ δὲ μόλις νῦν, τρίτον ἤδη τοῦτ' ἔτος, τὰ πράγματ' ἐγέλασεν· ἅμα γὰρ κατασταθέν μοι τυπογραφεῖον, ἀφεῖλέ μου τὸ σκυθρωπόν. καὶ νῦν ἐκδοὺς τὴν Τετρακτὺν καὶ τὴν Ξυνωρίδα, ἐνασχολοῦμαι ἀμφὶ τὸν Σοφοκλέα, πολλὰ μὲν πονῶν, ἀλλὰ πάντα σὺν ἡδονῇ: οὐ γὰρ τυχοῦσα ἐλπὶς ὑποθάλπει με μὴ τὸ τυχὸν ἐκ τούτων τοῖς νέοις ἔσεσθαι ὄφελος, εἰ δόξει καὶ τοῖς διδασκάλοις χρήσασθαι φιλοτίμως πρὸς τοῦτο ταῖς βίβλοις· ταῦτ' ἄρα ἐξέδωκα πρόγραμμα συγκαλῶν τοὺς τὸ ἐπιβάλλον ἑκάστῳ σχολείῳ μέρος παραληψομένους τὰς βίβλους. ἀλλ' ὀλίγους ἔθ' ὁρῶ τῶν συγκεκλημένων αὐτόθεν ἐπὶ τὸ δεῖ-

φέρουσαν, ἐπανελθεῖν πρὸς τὴν τροφὸν καὶ μητέρα, κἂν δέῃ συγκαταταχθῆναι παρὰ τῷ πατρὶ τοῖς οἰκέταις. Ταῦτα δὴ, αὐτοῦ τε κἀμοῦ δεομένου, ὡς μίμησιν τοῦ οὐρανίου ἔχοντα πατρὸς, ἐξαιτεῖται παρὰ ἀγαθοῦ πατρὸς τὸ φιλάνθρωπον. Ἔρρωσο.

### Τῷ Λογάδῃ. (412.)

Μὴν τέταρτος, οἶμαι, οὗτος, ἐξ οὗ ἐπέστειλά σοι ἐξαιτούμενός τι τῶν δικαιοτάτων, πρὸς ὃ ἀνάγκη μοι ἦν τυχεῖν ἀπαντήσεως· ἀλλ' οὔπω τοῦθ' ὁρῶ· καὶ τυχὸν μὲν παρέπεσε τότε τὰ γράμματα, τυχὸν δὲ καὶ τὸ αἰτηθὲν δεῖται πλείονος χρόνου, ὥστε γενέσθαι ἔργον· ἄλλως γὰρ ἔγωγ' οὐκ ἂν προαχθείην ἀμέλειάν σου καταγνῶναι φιλίας, παρ' ᾧ τὸ τῆς φιλίας χρῆμα κρίνεται τιμαλφέστατον. Τὸ δ' ἐμὸν, εἴτις σοι πόθος καὶ τοῦτ' εἰδέναι, ἔχει ὡς τὰ πράγματα νῦν γ' ἔχει, φύσεως· γήρᾳ γὰρ καμφθεὶς, τρύχομαι πόνοις νῦν γε τὸ ἔσχατον, περὶ τὴν τῶν προπεπονημένων ἐνασχολούμενος ἔκδοσιν. Σὺ δ' εἴτι σοι κοινὸν πρὸς τοὺς αὐτόθι τῆς παιδείας προστάτας, κοίνωσον αὐτοῖς τὰ ἐν τῇ ἐφημερίδι παρ' ἐμοῦ περὶ τῆς διανομῆς τῶν βιβλίων προκεκηρυγμένα, ἵν' ἕκαστοι ἐπιστείλαντες λάβωσι τὸ μέρος· δυνατὸν γὰρ αὐτόθεν προκύψαι τὶ ἀγαθὸν ἐς τοὺς Ἕλληνας· τὰ γὰρ ἡμέτερα, ὡς ἐν λιμένι, κινδυνεύουσι ναυαγῆσαι. Ἔρρωσο.

### Τῷ Λεοντίῳ. (413.)

Καὶ πᾶσι μὲν τοῖς τοὺς λόγους περὶ πολλοῦ ποιουμένους ὀφειλέτης εἰμί· τοῦτο γὰρ ἐπαγγέλλομαι· σοὶ δὲ, ὡς ὑπὲρ τοὺς ἄλλους τὰς Μούσας τιμῶντι, καὶ πλείω ἐν καιροῖς ἀστάτοις πεπονηκότι περὶ τῆς κοινῆς βελτιώσεως, καὶ πλείω

των ἐκ τόπου τὴν αὐτοῦ θηρεύων ἐπίδοσιν, μηδαμοῦ δὲ δυνάμενος εὑρεῖν, ὡς ἐφίεται· ὁ δὲ παῖς προὐπαιδεύθη ὅ,τι ποτ' οἶδε καὶ μέμνηται ἐν τῷ Ὀρφανοτροφείῳ μέχρις οὗ τὰ καθ' ἡμᾶς πρὶν ἀκμάσαι ἀπήνθησεν· ἔστι δὲ εὐφυέστατος, ἀντιληπτικώτατος, μνημονικώτατος, καὶ ἐπιμελέστατος, οἷος εὐφράναι καὶ ἐπιδεῖξαι ἐν ὀλίγῳ φιλότιμον καθηγητὴν, εἴγε μόνον δοίη τις αὐτῷ τροφὴν ἄφθονον ἐπιδείξασθαι· διὸ μηδὲν ἀφορῶν πρὸς τὸ τῆς ἡλικίας ἁπαλὸν, συγκατατάξεις αὐτὸν τῶν μαθητῶν τοῖς δυνατωτέροις· καὶ ὄψει τὸ παιδίον πρὸ πάντων τῶν μειρακίων κατατείνοντα πρὸς τὸ τέρμα. Ἔῤῥωσο, λαβὼν παρὰ τοῦ αὐτοῦ γραμματοκομιστοῦ δύο ἀνθ' ἑνὸς Σοφοκλέας, τὸν μὲν σεαυτῷ, τὸν δὲ ὅτῳ τῶν ὑπό σε ἡδομένῳ σοι γίγνεται, καὶ τὴν Τερψιθέαν.

*Γεωργίῳ.* (416.)

Προλαβὼν τὴν προαίρεσιν τῇ τῶν βίβλων ἀπαιτήσει ἀφεῖλές με ἅμα καὶ τὸ φιλότιμον. Ἀλλ' οἶδε θεὸς ὁ πάντ' ἐφορῶν, ὅτι σε τιμῶ ἐν τοῖς μάλιστα· ἀλλ' ἡ τύχη ἀφεῖλέ με καὶ τοῦθ' ὥστ' ἐπιδείξασθαι, ὡς μὴ δοῦσά μοι ἐς δεῦρο τὸν τὰς βίβλους κατ' εὐθεῖαν κομίσοντα ἐς τὰς Πάτρας· τῶν δὲ τινῶν ἀπελθόντων ἐς Μεσολόγκιον οὐδεὶς ὑπέσχετό μοι τὸ ἀσφαλὲς τῆς κομίσεως, μηδένων εἰδότων, εἰ κατάραιεν εἰς ὑμᾶς. Ἀλλ' εἶεν· τὰ γὰρ πράγματα, εἰ καὶ μὴ κατὰ τρόπον ἐκβαίνοιεν ἔξωθεν, οὐδ' ὡς ἡμεῖς ἐφιέμεθα, ἀλλάγε τὴν βούλησιν αὐτὴν τῆς ψυχῆς, ἡνίκ' ἐπὶ τῆς ἀληθείας ἐπιστηρίζοιτο, οὐκ ἂν ἀνατρέψειαν. Ἔῤῥωσο.

*Γεωργίῳ.* (417.)

Ἆράγε ποῖ γῆς ἀπελθὼν, ποῦ τῆς Εὐρώπης ποιούμενος τὰς διατριβὰς, τοσοῦτον ἐπελάθετο τοῦ φιλοῦντος ὁ φίλτα-

ἑτέρων, καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα διατηρήσει· Ἔῤῥωσο. Τῶν δ' ἐκδιδομένων μοι τὴν μὲν Τετρακτὺν, Ξυνωρίδα τε, καὶ τὸν Σοφοκλέα λάβε ἤδη, παρ' οὗ ἐκομίσω τὰ γράμματα· τὰ δὲ λήψῃ, γράψας μοι, ὅσον ὑπομνῆσαί με μόνον, ὡς ἐς πολλὰς ἤδη τοιαύτας μεμερισμένον φροντίδας.

## *Τῷ Μαρουήλῳ* (419.)

Γράμματα παρ' ἃ γέγραφάς μοι περὶ τῆς εἰκόνος Λάμπρου τοῦ Φωτιάδου, ἕτερα οὔπω ἥκει μοι παρὰ σοῦ, οὕτω μακρὰν ἀπ' ἀλλήλων ἡμᾶς τῆς τύχης διαστησάσης· ἀλλὰ καὶ τὴν εἰκόν' ἀπείρηκα ἀναμένων· βουλοίμην γὰρ κατατάξαι καὐτὴν παρὰ ταῖς τῶν ἄλλων σοφῶν ἐν τῷ Μουσείῳ Ἀθήνησιν, ὡς ὑπέρπολυ καὶ αὐτοῦ πρὸς τὴν τῶν Ἑλλήνων μεγάλην ταύτην ῥοπὴν συνεισενεγκόντος, αὐξήσαντος μὲν τὰ ὀρθὰ καὶ σπουδαῖα, καταπολεμήσαντος δὲ τὰ ἀξύμφυλα καὶ χυδαῖα, ἐν οἷς κατεβορβορώθησαν οἱ μεγάλα μὲν καὶ θαυμαστὰ εὑρήσειν ἐπαγγειλάμενοι, μηδὲ μικρὰ δ' ὕστερον ἐπιδείξασθαι δυνηθέντες τῷ κοινῷ τῶν Ἑλλήνων. Ταῦτ' ἄρα παρακαθήμενος περιορῶ τὰς ὁδοὺς ἔκτε ξηρᾶς καὶ ὑγρᾶς, εἴπως ἴδοιμί ποθεν τὸ τιμαλφέστατόν μοι ἐκεῖνο τοῦ ἐμαυτοῦ καὶ πάντων τῶν Ἑλλήνων εὐεργέτου γεγενημένου ἀγώγιμον καταγόμενον ὡς ἡμᾶς. Εἶεν. Τὰ δ' ἄλλα πῶς ἔχει τὰ καθ' ἡμᾶς; καλῶς, καὶ λίαν καλῶς· τὸ γὰρ πλεῖστον τῆς ἡμέρας, καὶ μοῖραν ἤδη οὐ σμικρὰν τῆς νυκτὸς μεμέρισμαι δίχα, τὸ μὲν ἀμφὶ τὸν τύπον τῶν ποιητῶν ἀναλίσκων, ἡδέως καὶ ἀνεπαισθήτως ἀναλισκόμενος καὶ αὐτός· τὸ δὲ διδάσκων παῖδας τούτους τοὺς περὶ ἐμὲ τρεῖς, ἢ τέσσαρας, ἢ καὶ δέκα πολλάκις τῶν ἀπορωτάτων· εἰδέ ποτε καὶ σχολή μοι τὶς γένοιτο μεταξὺ, ὥστε καὶ εἰς ἡδονὴν ἀνεῖσθαι ἡντιναοῦν ὄψει με παίζοντα εὐθὺς τὰ τῶν παίδων ἀθύρματα· καί γ'

τὰ τῶν Ἑλλήνων τιμᾶν καλὰ, ἐξ ὧν ἐῤῥύη πᾶσα σοφία καὶ εὐνομία παρὰ πάντα τὰ ἔθνη. Ἀγωνίζου τοίνυν, ἀγωνίζου, πάτερ, πρὸς θεοῦ ὑπὲρ κτήματος οὐσιώδους ἐπαπειλουμένου ἐκλείψεσθαι· μὴ τυχὸν γὰρ, ὡς ἐν ἀνομβρίᾳ μεγίστῃ, τῆς ἱκνουμένης ἰκμάδος, μέγα ἡμῖν ἐπαπειλεῖ τὸν λιμὸν ἐν τῷ μέλλοντι. Σπεῖρε τοίνυν τὰ σπέρματα πολλαχῶς, εἴ πως θεοῦ ποθεν δόντος πρώϊμον καὶ ὄψιμον ὑετὸν, ἔσοιθ' ἡμῖν ποτε καὶ ὁ θερισμὸς τῶν πόνων ἀντάξιος. Δέξαι δὴ παρ' ἐμοῦ ἔν γε τῷ παρόντι τήν τε Τετρακτὺν καὶ τὸν Σοφοκλέα· κἀπειδὰν ἀκούσῃς καὶ τοὺς ἄλλους ἐκδεδομένους, αἴτει ἀεὶ, καὶ ἀπαίτει κρούων, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Ἔῤῥωσο.

## Θεοδωρήτῳ. (421.)

Ἐρώτημά τι προὔτεινάς πρῴην, παρόντων καί τινων ἄλλων, τίποτ' εἰδὼς φρονῶ περὶ τῆς διαγωγῆς τοῦ Ἐπισκόπου, καὶ εἰ ἔχονται ἀληθείας, ἃ κατεῖπον αὐτοῦ ἄλλοι παρ' ἄλλοις, ὡς προστεταγμένος αὐτὸς ὑπὸ τῆς ἀνωτέρας ἀρχῆς τὸ περὶ ταῦτα ἐξακριβώσασθαι ἀληθές. Ἀλλ' ἐγὼ οἶσθ' ὅτι, καίτοι ἐκ πολλοῦ παροικῶ τὴν πόλιν ταύτην, ἀλλ' ἄλλων θ' ἕνεκα πολλῶν καὶ δι' ἀσχολίαν διηνεκῆ τῶν ἀνὰ χεῖρας, ἔργων, ἀνέξοδός εἰμι ὅλως, καὶ ὡς ἐν ἐρημίᾳ τοῦ κόσμου ἔξω, τοῖς τ' ἀνοήτοις καὶ ἀπερισκέπτοις τῶν κοῦφον ἐχόντων τὸ φρόνημα νεωτερισμοῖς ἀπαρεσκόμενος ὅλως, καὶ τὴν τῶν μωμοσκόπων ἀποφεύγων ἐρεσχελίαν, οἳ ὡς ἐν τῇ παρούσῃ τῶν ἡμετέρων καταφορᾷ, ἐπιλαβόμενοι τῶν καιρῶν, δράσσονται δραστηρίως καὶ αὐτῆς ἡμῶν τῆς σκιᾶς πρὸς διωγμὸν τοῦ πράγματος τούτου τῆς Ἐκκλησίας, ὃ διέσωσε τέσσαρας ἤδη αἰῶνας διωκομένην τήν τε πίστιν καὶ γλῶσσαν. Τάλανες Ἕλληνες οἱ ἐπὶ τὰ χείρω νεωτερίζειν ἐπιῤῥεπέστεροι, ἢ προ-

Εἴη δέ μοι οὐκ ἐς μακρὰν προσειπεῖν καὶ τὸν σοφὸν Κούμαν εἰς ταὐτὸ καταπλεύσαντα· δεῖ γὰρ δὴ καὶ τῆς τούτου παρουσίας, εἴγε μέλλοιμεν ἀγαθόν τι δράσειν τοῖς Ἕλλησιν. Ἀκούω τοίνυν, διανοεῖσθαί σε πλεῦσαι Ἀθήναζε, τῶν τ' ἄλλων καὶ πρὸ πάντων οἰκίας φροντίσοντα, ὡς ἀναγκαῖον τούτου γε ὄντος ἀνδρὶ πατρὶ γεγονότι, ἵνα μὴ ὑπὸ τῶν χελιδόνων, ἃς ἅμ' ἦρι τούτου πρώτου ἐπιμέλονται, ἐξελέγχηται. Ἀλλ' ὁρᾷς, οἶμαι, καὶ τὰ πράγμαθ' ἡμῖν, τὰ κατὰ τὴν παιδείαν φημὶ, ὡς ἔχει τὰ νῦν. Περὶ τούτου τοίνυν βουλοίμην ἂν ἐς λόγους ἡμᾶς ἐλθεῖν, εἴπως συσκεψάμενοι, σωτήριόν τι τῇ πατρῴᾳ σοφίᾳ νοσούσῃ, περὶ ἧς πολλὰ πεπονήκαμεν, εὕροιμεν· σοὶ γὰρ ἄλλα τε πολλὰ καὶ πειθὼ ἐγκάθηται τοῖς χείλεσιν ἐς τὰ μάλιστα, ὥστε καὶ τῶν δυνατῶν τὴν βούλησιν κτήσασθαι σύμψηφον· καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ περὶ τῶν μάλιςα συνοισόντων τὴν σπουδὴν φανήσῃ ποιούμενος. Εἰ γοῦν μέλλεις ὄντως εἰς Ἀθήνας περαιωθήσεσθαι, οὐκ ἂν ἀπαξιώσειας, παριὼν ἐντεῦθεν τὴν τοῦ Αἰακοῦ καὶ τὰ ἐν αὐτῇ καλὰ προσειπεῖν. Ἔῤῥωσο.

*Νικολάῳ.* (423.)

Παίδων μὲν φύσει πατὴρ γενέσθαι, ἅτε δὴ βίον ἰδιοπράγμονα ᾑρημένος, οὐκ εὐτύχησα· ἐκ δὲ προαιρέσεως καὶ διδασκαλίας πολλοὺς πολλαχῇ, ὅσους οὐδ' ἀριθμῆσαι πρόχειρον ἔμοι γε, ἀπειρηκυίας μοι ἤδη διὰ γῆρας τῆς μνήμης, δοκῶ κεκτῆσθαι· ὧν εἷς καὶ αὐτός μοι τυγχάνεις γεγενημένος, ἀγαπητέ μοι Νικόλαε, καὶ τοῦτ' αὐτὸς βεβαιοῖς, ἐξ ὧν μοι ἐπέστειλας. Ἴσθι γὰρ καὶ ἅπαντας μὲν ἀγαπῶντά με τούτους, τοὺς δ' ἐν τῇ ἀρχαίᾳ τῶν Ἑλλήνων φωνῇ μοι ἐπιστέλλοντας μάλιςα· κατείλημμαι γὰρ τὴν ψυχὴν τῷ ἔρωτι τούτῳ· διὸ καί σε πεφίληκα μάλιστα, ἐξ ὧν θ' οὕτως, ὥσπερ

ρώμενος, πῶς οὐκ ἂν εἴη παντάπασιν ἄτοπος; καταπεφώρασαι γάρ, ὦ 'γαθὲ σύγε, πολλαχῶς καὶ ὑπ' αὐτῶν τῶν παιδίων καὶ γυναικῶν δουλεύων ὁρμαῖς κακοήθεσι, καὶ γράφεις γράφων, ὥσπερ ἐκεῖναι ἀκρίτως νομοθετοῦσι· τὰ γὰρ παρὰ τοῦ ἀοιδίμου ἐκείνου ἀνδρὸς καλῶς καὶ κατὰ τρόπον γενόμενα τῇ πατρίδι μεμφόμενος, ἐπιχειρεῖς ἐκ τούτων, ὡς τοιούτων ὄντων, διορθοῦν τὰ νῦν παρὰ λόγον ὑπὸ τῶν ἀρχόντων πραττόμενα· εἶτα πῶς οὐκ ἂν εἴης οὕτως ἀνόητος; ἐκ γὰρ τῶν καλῶς πεπραγμένων ἐπιχειροῦντες, ὀφείλομεν πειρᾶσθαι τὰ κακῶς γιγνόμενα διορθοῦν, ὡς ἐκ παραδείγματος τούτων τοὺς ἁμαρτάνοντας ἐκπαιδεύοντες· τὸ δὲ καὶ τὰ καλὰ διαστρέφειν, κἀκ τούτων καταθρασύνεσθαι ἐξ ὑπαρχῆς ἐς τὸ ἀστραβὲς διευθύνειν, διαστρόφου κεφαλῆς ἐστιν ἀποτέλεσμα. Φεῦ! εἰς οἵους σκοπέλους ἀτοπίας ὁ ἀκατάρτιστος νοῦς ἐξοκέλλει, ὁπότε τύχοι ὑπὸ μυρίων κυμάτων, ὡς ἀνερμάτιστον σκάφος, ἀγόμενος καὶ φερόμενος. Ἐπαινεῖς μὲν τὰ τῶν φίλων, κἂν ᾖ, ὁποῖά ποτ' ἂν ᾖ· ψέγεις δὲ τὰ τοῦ Κυβερνήτου, οὐχ ὁμοίου σοι ὄντος, καὶ αὐτὰ τὰ καὶ ὑπὸ τῶν λίθων ὁμολογούμενα τὸν τῆς εὐδαιμονίας θέμεθλον καταβαλεῖν τῇ Ἑλλάδι· ὧν σημεῖα πανταχοῦ ὡς τρόπαια τῆς ἐκείνου ἀρετῆς ἀρίδηλα κατὰ βῆμα καθορᾶται καὶ πόλεις καὶ χώρας ἑκασταχόσε· ἵν' οὖν δόξῃς δρᾶν τι ἄξιον ὄντως, ἐπαίνει μὴ τὰ τῶν φίλων, ὁποῖ' ἂν ᾖ· τοῦτο γὰρ καὶ οἱ ἁμαρτωλοὶ ποιοῦσιν· ἀλλ' ἐκπνευματώσας πρότερον, ὃ ἐμπεφύσησαι οἴημα, καὶ σπεισάμενος τῇ φιλοκαλίᾳ πρὸς τὴν φιλοδοξίαν, ἀποδέχου ἁπλῶς τὰ καλὰ, καὶ εἰ ὑπ' ἐχθρῶν ταῦθ' ὁμολογουμένως κατώρθωται τῷ κοινῷ· ἡμέτερα γὰρ ταῦτ' ἐστι, καὶ ὑπὲρ ἡμῶν ἐκεῖνος τὰ βέλτιστα προνοῶν, τὰ πάντα κατώρθωκε, πολλὰ μὲν ὦ θεέ! καὶ θαυμαστὰ, καί περ ἐν στενῷ καιρῷ πάντα γεγενημένα· ἄλλως δὲ θαυμαστόν τι δόξαιμεν ἂν παθεῖν, εἰ

μέχρις οὗ, ἅπερ μοι ἐσχάτως πεπόνηται, καινὰ καὶ ταῦτα ἐκ τοῦ τύπου τοῖς τῶν Ἑλλήνων παισὶ καταλίπω· ὅρος δ' ἦν τῆς εὐχῆς τό γε πλεῖστον ἔτος τῆς ἡλικίας ἑβδομηκοστόν· νῦν δὲ καὶ ὑπερβαλὼν τὴν προθεσμίαν, καὶ τῶν, ὧν ἕνεκα ἐποιησάμην τὴν αἴτησιν ταύτην, μικροῦ δεῖν, πληρωθέντων ἁπάντων, οὐκ οἶδ' ὅπως ἐμφιλοχωρῶ, καὶ σφόδρα δυσαποσπάστως τῶν τῇδε ἔχω· καὶ μάτην ἄρα ἀναπεμπάζομαι τῇ μνήμῃ τοὺς περὶ τὸν Σωκράτην καὶ τὸν Ἐπίκτητον, καὶ ἅπερ παρ' ἐκείνων περὶ Ἀθανασίας εἴρηται τῆς ψυχῆς· μάτην δὲ ἀκούω καὶ παρὰ τῶν ἔσω λόγου μέγισθ' ἡμᾶς ἀγαθὰ περιμένειν, καὶ ἃ οὔτ' ὀφθαλμῷ ὁρατὰ, οὔτ' ἀκοῇ ἀκουστὰ, οὔτε νοῒ ἄλλως ληπτά· ὁπότε μὲν γὰρ ἐπιβάλω τῇ διανοίᾳ, ἀνακαλῶν ἐκεῖνα τῇ φαντασίᾳ, ὅσῳ γε ἂν ᾖ φανταστὰ, ὅλος οὐράνιος γίνομαι καὶ μονονουχὶ συμπεριπολῶ τοῖς Ἀγγέλοις, καὶ τῆς τῶν μακάρων συμμετέχω νοερᾶς Εὐθυμίας· ἐπειδὰν δ' αὖθις τῷ τοῦ σαρκίου βάρει κατενεχθεὶς, γένωμαι προσγειότερος, αἴφνης ἐκείνων πάντων ἐπιλαθόμενος, ἥδομαι ἐξ ὑπαρχῆς τῷ φωτὶ, καὶ ἀγαπῶν τοῖς παροῦσιν, εὔχομαι ζῆν ἐκ παλινῳδίας· καὶ εἴποθεν ὑπίδοιμι πόῤῥωθέν ποθεν προσιόντα τὸν Χάρωνα, περισκοπῶ τὰς τριόδους, διαδιδράσκων τὴν ἐκείνου ἐπίσκεψιν, καί τοι πολλάκις ἐπεκαλεσάμην αὐτὸν προσελθεῖν τῶν ἐνοχλούντων με ἀπαλλάξοντα. Τίς ποτ' οὖν εἴη αἰτία τῆς τοιαύτης γνωσιμαχίας; ἢ ὅτι οὐκέτι καθαρεύω τῆς ὕλης, οὐκέτι τοῦ κοσμοκράτορος, ἔτι κἂν τοῖς τοῦ γήρως ἀνιαροῖς κατέχει με τὸ φιλόψυχον· καὶ ταῦθ' ὁπότ' ἐπέλιπε τὸ γλωσσόκομον, γενόμενον ἤδη τρόφιμον, οἷς ὁ Κύριος αὐτοῦ ἐν τῇ οἰκονομίᾳ διανεῖμαι ἐκέλευσεν. Ἐπειδὴ τοίνυν πρὸς οὐδὲν τοῦ λοιποῦ χρήσιμος ἔσομαι, οὐδ' ἄλλως ἂν δυναίμην ἐμαυτῷ ἐπαρκέσαι πρὸς τὰς ἐκ τοῦ γήρατος δυσχερείας, λείπεται ἐπιμεῖναι τῷ δόγματι, οἷου ποτὲ ἐγὼ

τὴν τελευτήν. Πρόσχες οὖν ταλαίπωρε γεραιὲ, μὴ νῦν ἐν τοῖς ἐσχάτοις ῥῆμά τί σοι ἀνόρμημα γένηται. Τοιαῦτα πάντως αὐτός μου κατατοξεύεις, ἀναγινώσκων τὰ πράγματα, κἀγὼ ὡς νουθεσίας δεχόμενος τὰ τοξεύματα, σὺν τῇ πληγῇ καθάπερ τὸ τοῦ Τηλέφου ἐν τοῖς μύθοις καὶ τὸ ἰάσιμον ἔχοντα, ὑπακούω, καὶ οὕτω ποιῶ, ἵνα καὶ ζήσω σύν σοι ἐν ἐπαγγελλομένοις, ὅπῃ θεὸς διδῷ. Σπεῦδε οὖν καὶ αὐτὸς τοῖς αὐτοῖς πρὸς ταὐτὰ, ὅπως ἕτερος ἑτέρωθεν διὰ τῆς αὐτῆς ἐπὶ τὴν αὐτὴν καταντήσωμεν λῆξιν, τὴν ἀκήρατον, τὴν ἀΐδιον, τὴν μακαρίαν, ἐν ᾗ διηνεκὴς Εὐθυμία ἐνώπιον τῆς θείας μεγαλωσύνης. Γένοιτο.

*Τοῖς ἐν Ἀθήναις φίλοις.* (427.)

Ἀθηνῶν μὲν ἕλκει με πόθος πάλαι, καὶ τοῦτ' ἔφθην οὐ μόνον ἀνθρώποις διακηρύξας, ἀλλὰ καὶ θεόθεν πολλάκις ἐξαιτησάμενος, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἰδεῖν τὴν πότνιαν ταύτην πόλιν τὴν πασῶν τῶν τεχνῶν καὶ ἐπιστημῶν πᾶσι τοῖς ἔθνεσι γενομένην διδάσκαλον, καὶ ἣν ἡμεῖς γ' ὁμοθυμαδὸν κελεύετέ με καταλαβεῖν. Ἀλλὰ τί ἂν καὶ πάθοι τις, ὁπότε, πάθους πάθος ἐκκρούοντος ἕτερον, τοῦ σφοδροτέρου τὸ ἠπιώτερον, τοῦ συμφέροντος ἀμέλειτοι τὸ τῆς ἡδονῆς, ἀναγκάζοιτο διώκειν τοὐπικρατέστερον; ἴστε γὰρ οἵᾳ ὁρμῇ, καὶ ἀφ' οἵας αἰωρούμενος ὅλως ἐλπίδος, τετάρτῳ ἔτει τούτῳ κατῄειν εἰς τὴν Ἑλλάδα· ἀλλὰ στάσεως γενομένης, καὶ τῶν κάκιστ' ἀπολουμένων προπεπωκότων τὰ πράγματα τοῖς ἐπιβουλεύουσιν ἔξωθεν, ταραχαὶ συμβᾶσαι ἐμφύλιοι, ἐποίησαν ματαιωθῆναί μοι τὸ σκοπούμενον· νῦν δὲ σὺν οὐκ ὀλίγῃ σπουδῇ τυπογραφείου κατασκευασθέντος μου ἐντελοῦς, πῶς ἂν καταλίποιμι τὰ ἀνὰ χεῖρας, ἐν οἷς πολλὰς μὲν ἡμέρας ἐπόνησα, μυρίας δὲ νύκτας διενυκτέρευσα, ἵνα τισὶ γενοίμην

γοῦν τοιαύτης συνθήκης, ὦ φίλοι, δέξασθέ με Ἀθήναζε, ἐφ' ᾧ μηδένα μήτε τῶν τοῦ Κλήρου, μήτε τῶν Ἀρχόντων, μήτε τῶν ἁπάντων πώποτ' ἐπισκέψομαι ἄκων, πλὴν ὧν ἐγὼ βουλοίμην ἂν, καὶ ὁπότε βουλοίμην· μήτ' αὖ τοὺς ἐμὲ ἐπισκεψομένους ὄρθιος ὑποδέξομαι, οὐδ' ἀπὸ τῆς κλίνης ἐξαναστήσομαι εἰσιοῦσιν· ἀλλ' ἀπὸ τοῦ σκίμπωνος, ὡς γέρων, οἷον »Κύδεϊ γαίων» προσερῶ καὶ εἰσιόντας καὶ ἐξιόντας αὐτοὺς εἴ τινές ποτε καταδέξοιντο ὡς ἡμᾶς ἀφικέσθει· Ἐπὶ δὲ τούτοις ἑορτῶν καὶ πανηγύρεων, καὶ εἴτι ἕτερον κατ' ἐπάγγελμα ἔθος παρενοχλοῦν, καὶ τούτων ἴδιος βούλομαι ἔσεσθαι· οὐκέτι γὰρ ἄξιον τὸν ἐν πόνοις νεάσαντα, νῦν ἐς τοῦθ' ἡλικίας ἐληλακότα ἔθεσι πονηροῖς, καὶ σωμάτων περικλάσεσι τρύχεσθαι. Ἐπὶ τούτοις οὖν ἴτω, γενέσθω· ὑπακούσωμεν φίλοις κελεύουσιν· ἕκτῳ δὲ ἀπὸ ταύτης μηνὶ, θεοῦ συναιρομένου, καταλιπὼν τὴν ἐν Αἰγίνῃ φίλην μου ἡσυχίαν, ὄψομαι τὰς ἱεράς μοι Ἀθήνας, ὅπου ἀποθήσομαι οὐ μετ' οὔπολυ καὶ τὸ σκῆνος κατὰ τὸν νόμον τῆς φύσεως. Ἔρρωσθε.

*Γεωργίῳ.* (428.)

Καὶ πρῴην μὲν οὐδέποτέ σου ἐπελαθόμην, παρὰ τῶν ἐντυγχανόντων, ὁπότε καιρὸς εἴη, διαπυνθανόμενος περὶ σοῦ, ὅπῃ ποτὲ, καὶ ἐν οἷς διατρίβεις· νῦν δὲ ἀπροσδοκήτως καὶ τὰ σὰ κομισάμενος γράμματα, ἥδιστα διετέθην· πῶς γὰρ ἂν ἐπιλαθοίμην Λασάνου ἀνδρὸς ἀγαθοῦ, πρὸς ὃν οὐ μόνον προαίρεσις καὶ λόγοι καὶ Μοῦσαι, ἀλλὰ καὶ ὁ ἱερὸς τῶν ὑπὲρ πατρίδος ἀγώνων ἔρως ἔτι μᾶλλόν με φιλίᾳ συνῆψεν; ἵν' οὖν καὶ σύμβουλον ἔχῃς τι τῆς τῶν λόγων εἰλικρινείας, πέμπω σοὶ τὴν Τετρακτὺν, τὴν Ξυνωρίδα, τὸν Σοφοκλέα, καὶ τὸν Εὐριπίδην, λόγους λογίῳ ἀνδρὶ δῶρον ἀποδιδοὺς, μέχρις ἂν καὶ ἐξ ἄλλων γένωμαι ἱκανὸς ἀποτῖσαι τὸ χρέος. Περὶ δὲ τῆς πατρίδος ἔχ' ἀτρέμας, εἴπερ ἡ αὐτὴ Κοζάνη ἐστὶ σὴ πατρίς·

οἱ πλεῖστοι, τὴν ἑαυτῶν τύχην μᾶλλον διώκοντες, τῶν κοινῶν ἀντελάβοντο· τῶν γὰρ κατὰ τὴν Εὐρώπην ἀπὸ ἀφθονωτέρων ἀφορμῶν ἐμπορευομένων οὐδεὶς οὐδένας ἑώρακέ πω, καταλιπόντας τὸ ἀνὰ χεῖρας κέρδος, ἑλομένους συνταχθῆναι τοῖς ἄλλοις πρὸς τοὺς κινδύνους, ἢ γοῦν ἐξ ἀφθονωτέρας χειρὸς συνεισενεγκεῖν τῷ κοινῷ, ἵν' ἔχωμεν οὕτω ἀποδοῦναι αὐτοῖς τὴν ἀρετὴν ταύτην· καί τοι πολλοὶ τῶν ξένων, ἄλλων ἄλλοθεν, ἀπὸ μεγάλων ἐπιδόσεων ἐπεδαψιλεύσαντο φιλανθρωπίᾳ καὶ ἀγαθότητι. Λείπεται τοίνυν ἐλθεῖν ὡς τοὺς ἐν ὅπλοις εὐδοκιμήσαντας· οὗτοι γὰρ, ὡς ἂν φαίης αὐτός γε, ἀπροφασίστως ἀπέθνησκον· ἀλλ' ἔγωγε οὐδὲ τούτοις ἂν εἴποιμι ἁπλῶς μετεῖναι ταύτης τῆς ἀρετῆς· πῶς γὰρ ἂν εἴη ἀγάπη πατρίδος καὶ μῖσος ἅμα τοῖς αὐτοῖς συνελθεῖν; καὶ πότερον βούλει ἐξετάσωμεν πρότερον, τὰ ἐν τῷ πολέμῳ τέως γενόμενα, ἢ ἃ κατὰ τὴν εἰρήνην αὐτοῖς πεπλημμέληται ὕστερον; εἰ μὲν γὰρ δοῖμεν αὐτοῖς καί τινα σημεῖα ἀρετῆς ἐν ταῖς μάχαις, ἀλλ' οὐκ ἀγάπης περὶ τὴν πατρίδα ἀποτέλεσμα τοῦτ' ἦν δήπου· ἀλλ' ἅμιλλα μέν τις ἄντικρυς πρὸς ἀλλήλους, μῖσος δὲ πρὸς τοὺς Ὀθωμανοὺς, οὐκ ὀλίγον συνεισενεγκόντος καὶ τοῦ θρησκεύματος ἐπιτόνιον· εἰ γὰρ ἔρως πατρίδος ἦν, οὐκ ἂν ὑπὲρ τῶν ὅλων πρὸς τοὺς ἔξωθεν ἐχθίστους ἀποκινδυνεύοντες, τούτους καταλιπόντες, ἐφ' ἑαυτοὺς, ὥσπερ τὰ θηρία ἐτράποντο, περὶ πλείστου ποιούμενοι, τίς τίνα καταβαλὼν, αὐτὸς τῶν πραγμάτων κύριος γένηται, ἵν' ἔχῃ ἀπὸ πλείονος ἰσχύος ἀδεέστερόν τε καὶ ἀνευθυνώτερον διαφθεῖραι τὰ πράγματα· τίνες γὰρ οὕτως αὐθαδῶς προὔπιον τοῖς ἔξωθεν τοῦτο ἐπιβουλεύουσι τὸ πολυπαθὲς Μεσολόγκιον, δύναμιν τῇ ἐκείνων δυνάμει σφίσι περιποιούμενοι, καὶ ἀρχὰς ὑψηλὰς ταῖς ἐλπίσιν ἐς τὸ μέλλον προμνώμενοι; οὐχὶ Ἕλληνες, καὶ πῆ ἂν ἔχοι τις δεῖξαι, ἔνθ' οὐκ αὐτοὶ τὰ πράγματ' ἐκάκω-

χάους· ὁ δὲ σοφὸς Κυβερνήτης ἐν ὀκτὼ ὅλαις ἐπανήγαγε τὴν Ἑλλάδα ἐξ ἀνομίας εἰς εὐνομίαν» Καὶ ταῦτα λέγοντες ἐν κοινῷ, οὐχ ὁμοίως ἐφρόνουν ἀλλήλοις· ἦν γάρ τισιν αὐτῶν βαρὺς καὶ βλεπόμενος, ὅτι ἀνόμοιος αὐτοῖς ἦν, ἤ φησι Σολομῶν, καὶ ἀπέσχετο τῶν ὁδῶν αὐτῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ ἐμακάριζεν ἔσχατα δικαίων, καὶ οὐκ εἴα ἀδικεῖν, οὐδὲ τὰ τῶν ἀδυνάτων ποιήσασθαι ἁρπαγήν· ὃ σύνηθες πρότερον αὐτοῖς γεγονὸς, ἀφόρητον ἦν κωλυόμενον ὕστερον· διὸ καὶ ἅμα ἀρθέντος ἐκείνου, ἐπ' ἀλλήλους τραπέντες, τήν τε χώραν δίκην πολεμίων ἐδῄωσαν, καὶ ἃ ὑπὸ τοῦ ἀοιδίμου ἐκείνου κατεσκεύαστο τῷ κοινῷ μετὰ πόνων πολλῶν, καὶ ἐξ ἀπόρων προμεμήθευτο πόρων, ταῦτ' ἐν ἐλαχίστῳ χρόνῳ πάνθ' ὑπὸ τούτων κατέστρεπται, καὶ ἠφάνισται. Πῶς οὖν ἂν εἴη τῶν αὐτῶν φιλεῖν ἅμα καὶ μισεῖν τὴν πατρίδα, ὥσπερ νόμῳ πολέμου τὴν τῶν πολιτῶν ἀφαιροῦντες οὐ μόνον οὐσίαν καὶ ἐλευθερίαν, ἀλλὰ καὶ αὐτὸ τὸ ζῆν οὐκ ὀλίγων; Πατριωτισμὸς γὰρ, ἅτε δὴ προσπάθειά τις οὖσα ὑπὲρ τῆς πατρίδος, ἀρετὴ καὶ οὐ κακία ἐστίν· ἀρετῆς δὲ τὸ σώζειν ἔργον ἐστὶν, ὥσπερ τὸ ἀπολλύναι κακίας, ἐφ' ὁπότερον ἂν ἕκαςον προάγῃ προαίρεσις· κἂν γὰρ παντὶ ἀνθρώπῳ τὸ τοῦ Πατριωτισμοῦ δῶρον δοκῇ δεδωρῆσθαι ὑπὸ τῆς φύσεως, ἀλλ' οὐχ ὁμοίαις παρὰ πάντων ἀρδεύεται προαιρέσεσι· πάντες γὰρ τοῖς αὐτοῖς παρὰ θεοῦ τετιμήμεθα δώροις, ἀλλ' οὐχ ὁμοίως ἀναπτύσσομεν ἐν ἡμῖν αὐτοῖς τὰς τῶν χαρισμάτων δυνάμεις· ἴσμεν γὰρ πάντας μὲν σοφοὺς γεννωμένους δυνάμει, πάντας δὲ δικαίους, πάντας δὲ καὶ ἐναρέτους, ὡς ἐκεῖνος αὐτὸς ἔφη ὁ μόνος ἐν Ἕλλησιν ἐν ἔργοις καὶ λόγοις δίκαιος, καὶ ἐνάρετος· ἀλλ' ἐνεργείᾳ ὀλίγους μὲν ὁρῶμεν σοφοὺς, ἐλάττους δὲ δικαίους, ἐλαχίστους δὲ ἐναρέτους, οἷς μόνοις ἀποδοίη ἄν τις τὸν τοῦ Πατριωτισμοῦ ἀτρεκῆ χαρακτῆρα· ὃ καὶ ὁ σωτὴρ ἐν Εὐαγγελίοις

τοιαῦτα πρὸς σὲ ἐπιςεῖλαι· οἶνος γὰρ ἀνθοσμίας ἐξ Ἀμοργοῦς τῆς νήσου δῶρόν μοι παρὰ φίλου προσενεχθεὶς, τὸ μὲν πρῶτον ὑπεθαίρμανέ μοί πως τὸ σωμάτιον· εἶτα δὲ διαχέας ἠρέμα καὶ τὸ ψυχάριον, εἰς τὸ τοιαῦτα παίζειν πρὸς σὲ ἐξεκίνησεν· ἔγραψα δ' ἂν καὶ πλείω, εἰ μὴ ὁ παντοκράτωρ ὕπνος, οὗτος δὴ ὁ τῶν πόνων τοῖς γεγηρακόσιν ἄριστος ἰατρὸς, τὰ τῶν ὀφθαλμῶν ἤδη βλέφαρα κατασπῶν, τὴν ῥοὴν τῆς γραφίδος διέκοψεν. Ἔῤῥωσο.

## *Γεωργίῳ* (431.)

Χειμὼν ἅμα καὶ χορὸς ἑορτῶν κεκωλύκασι τοὺς φιλοκάλους Αἰγινήτας συνελθόντας, σκέψασθαι περὶ ὧν ἡμῖν ἡ σπουδή· τὸ μέντοι σχολεῖον ἐπεσκεύασται ἄριστα· νῦν δὲ δεῖ λόγος συνελθόντας σκέψασθαι περὶ πόρου· μᾶλλον δὲ προεσκεμμένους ψηφίσασθαι δίμοιρον ἐπὶ τοῖς ἑκατὸν συνεισφέρειν· τούτου δὲ γενομένου, οὐκ ἔσται οὐδὲν ἐνδεές· ὁ γὰρ νόμος ἀεὶ γενήσεται κύριος. Τοῦτο δὴ ἐποίησε καὶ τὸν Ἔπαρχον ἀναβαλεῖν τὴν ἀπάντησιν, πρὸς ἃ ἐπέστειλας αὐτῷ, ἵν' ἔχῃ, φησὶ, καὶ βεβαιότερόν τι εἰπεῖν πρὸς τὴν σὴν ἀπιστίαν· ὁ δ' αὐτὸς προσέθηκέ μοι κἀκεῖνα, ὅτι περὶ στάσεως τῶν πολιτῶν περὶ τῆς σχολῆς οὐδεὶς φόβος· καὶ αὐτὸς ἐγγυᾶται, καὶ μάλιστ' ἐφ' ὅσον ἂν ἄρχῃ· αὐτόθεν δέ σοι προμαντεύει τὰ πράγματα οὐ πάνυ γε σταθερὰ, ἐξ ὧν αὐτὸς, οὐκ οἶδ' ὁπόθεν, ἔχει ἀκούσας τοῦτο. Ἔῤῥωσο

## Τῷ *Λευκίᾳ.* (432.)

Λάβε παρὰ τοῦ τὰ γράμματα κομίσαντος, καὶ ἅς μοι ἐπέστειλας πέμψαι σοι βίβλους, τήν τ' ἀριθμητικὴν καὶ τὴν ἱστορίαν· ὠνησάμην δ' αὐτὰς δραχμῶν ἐννέα· τὸ δὲ ἀργύριον τοῦτο θὲς Γεωργίῳ τῷ Γαζῇ τῶν ἐμαυτοῦ μαθητῶν τῷ φιλτάτῳ, καλῶς ποιῶν, πρὸς ἐμὲ, καὶ καλῶς ἕξει ἡμῖν ἀμ-

ἀγεννῶς, οὐδὲ κατὰ τοὺς πολλοὺς, ἀλλ' εὐθυμῶν καὶ παίζων τὰ παίγνια περιμένω· οὔκουν ἄξιον τοὺς σούς με θαυμάζειν εὐδαίμονας· ἐκείνους δὲ σπουδάζειν περὶ ἐμὲ ἴσως ἄν τινα ἔχει λόγον. Ἔῤῥωσο.

Ἰωάννῃ. (434.)

Ἄλλαι ἄλλοθεν ἐπιθυμίαι ἀεὶ τοῖς ἀνθρώποις καλαί τε κακαί τε προσγίγνονται· »τοῖος γὰρ νόος ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε». ἐγὼ δὲ οἰηθεὶς, νῦν γε γεγηρακὼς ὑπεράνω πασῶν γενέσθαι, ἔλαθον ἐμαυτὸν ὑπο τούτων ἔτι ἐν μέρει κρατούμενος· τῶν γὰρ Αἰγινητῶν πεποιθήσει, ὧν τρίτον ἔτος τουτὶ ἐν τῷ Ὀρφανοτροφείῳ μὲν τότε, νῦν δὲ στρατιωτῶν Καταγωγίῳ, ἔδοξα κατορθῶσαι, δεομένων καὶ προσλιπαρούντων τὴν τῆς σχολῆς αὐτῶν ἐπὶ τρισὶ διδασκάλοις ἀναδέξασθαι διακόσμησιν, καὶ εἴτι κἀγὼ δυναίμην ἕτερόν τι ἐπὶ τούτοις τελεώτερον διδάσκειν ἐκ προαιρέσεως, ἔπαθον ἀγενές τι καὶ οὐκ ἄξιον ἐμαυτοῦ· ἐπεθύμησα γὰρ νῦν δέκα ἔτη νεώτερος γεγενῆσθαι, ἵν' ἔχοιμι ἐμαυτῷ τε ἄξιόν τι ποιεῖν, κἀκείνοις προσγένοιτο τὸ μὴ ἐκπεσεῖν τῶν ἐλπίδων· νῦν δὲ τῆς τε ἰσχύος ἐπιλειπούσης, καὶ τῆς γλώττης κατὰ βῆμα ὀλισθαινούσης, τίς γένωμαι; θεὸς δὲ μόνος ὁ καὶ τοῖς ἀδυνάτοις δύναμιν προστιθεὶς, καὶ τοῖς ἀπόροις πόρον δωρούμενος, ποιείτω κἀμοὶ, ὅπερ ἂν δόξῃ τῇ θείᾳ μεγαλωσύνῃ. Ἔῤῥωσο.

Κωνσταντίνῳ. (435.)

Καθάπερ πᾶν τὸ πεφυκὸς μεταβάλλειν μεταβολῇ μεταβάλλει· οὕτω καὶ τὸ αὐξόμενον αὐξήσει πέφυκε πάσχειν. Εἰ τοίνυν περὶ πολλοῦ ποιῇ καὶ αὐτὸς (καὶ οἶδά σε παθαινόμενον τοῦτο, φιλόκαλον καὶ φιλογενῆ ἐν τοῖς μάλιστα ὄντα) τὴν τῆς γλώττης βελτίωσιν, καὶ τὴν κατὰ μικρὸν πρὸς τὴν

ἀλλάγε δυσωπηθεὶς, οὐχ ὑπέμεινα τὴν αἴτησιν ἀποσείσασθαι· ἐδεξάμην δ' οὐκ ἄλλως, ἢ ἐπὶ τρισὶ διδασκάλοις καὶ παιδαγωγοῦ μετὰ τὸν ἀλληλοδιδακτικὸν, καὶ τούτους, οὓς ἂν ἐγὼ ἐθέλω. Ἐνεκρίθησαν τοίνυν τῶν Ἑλληνικῶν διδάσκαλοι ὅ,τι Γεώργιος ὁ Γάζης, ἀνὴρ τάτ' ἄλλα ἐπιεικὴς, καὶ ταῖς ἐμπειρίαις οὐ πάνυ ἀδόκιμος, καὶ Ἀναστάσιος ὁ Φιλαίτερος ὁ ἐν τοῖς προκαταρκτικοῖς ὁμολογουμένως πάντων δραστηριώτατος· μέσον δ' ἀμφοῖν βουλοίμην ἄν σε γενέσθαι εἴγε μοι πείθοιο· τάτε γὰρ ἄλλα σοι ἄμεινον, οἶμαι, ἕξει, καὶ τοῦ περὶ δίκας ὑπ' ἄλλοις κατατρίβειν τὸν βίον τὸ περὶ τὰς Μούσαις ἐλευθέρως ἐνασχολεῖσθαι πολλῷ διαφέρει. Δὸς τοίνυν σεαυτὸν τοῖς διψῶσιν ἀπὸ τῆς σῆς πηγῆς ἀμφοτέραις κοίλαις ἀρύσασθαι, καὶ ταῦθ' ὁπόθ' ἡ Ἑλλὰς, πολλῶν δεομένη τούτου μάλιστα στέρεται. Ἔῤῥωσο.

## Τῷ *Περπέρῳ*. (437.)

Λόγῳ μὲν παλαίει πᾶς, ἔργῳ δέ τις, τοῦτο δὴ τὸ παρὰ πᾶσι λεγόμενον.

» Καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
» Ἔγχεϊ ἀργαλέον, ἐπειὴ πολὺ φέρτεροί εἰσι.

καί τοι γε νῦν ὁρῶμεν τοὺς λόγους κρείττους γιγνομένους τῶν ἔργων, ἢ μᾶλλον εἰπεῖν τὴν ἀλογίαν αὐτὴν καὶ τοῦ λόγου κρατοῦσαν.

„ Στρεπτὴ γὰρ γλῶττ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι-
„ Παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

φιλοσοφίαν γὰρ ὑμεῖς, ὦ θαυμάσιοι, πλατειάζοντες, κἂν ταῖς πλατείαις περιϊόντες, ζητεῖτε· καὶ ταύτης μηκέτι μηδαμοῦ φαινομαίνης, δοκεῖτε κρατεῖν. καὶ ὑπούσης ποτὲ λαν-

Ἰσοκράτης, δυσθήρατον τὸ μέσον ἐν πᾶσιν εἰδὼς, κράτιςον μὲν, ἔφη, τῆς ἀκμῆς τῶν πραγμάτων τυγχάνειν· ἐπεὶ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπτειν ἄμεινον, ἢ πλεονάζειν· τὸ γὰρ δεισίδαιμον τῶν πολλῶν ἐξελεῖν οὕτως μὲν ἁπλῶς ἀκοῦσαι, ῥᾴδιον ἴσως δοκεῖ, περὶ δὲ τοῦ ὅπως δεῖ ἀντικαθιστᾷν τὸ ὀρθὸν οὐδείς πω ἐσκέψατο περὶ τούτου, οὐδ᾽ ὅσον ἐργῶδες καὶ δυσχερὲς, εἰ μήτις ἐκ παιδείας ὁρμώμενος ἐς τοῦτ᾽ ἀφικνοῖτο· δεῖ γὰρ δὴ καθάπερ ἐπὶ τῶν γόμφοις συνηρμοσμένων, ἐπειδάν τις τῶν σαθρῶν τι βούληται ἐξελεῖν, ἀντικαθίστησιν ἕτερον ὑγιές· οὕτω κἀπὶ τῆς δεισιδαιμονίας πολλῷ πρότερον ζητητέον, ὅπως ἀντικατασταθήσεται τὸ τὸν τόπον αὐτῆς ἐφέξον, ἵνα μὴ δόξωμεν ὅμοια πεπονθότες τοῖς τὴν μὲν Σκύλλαν φεύγουσι, τὴν δὲ Χάριβδιν μὴ προβλέπουσι· καί μοι δεῦρ᾽ εἰπὲ σὺ ὁ τῆς εὐσεβείας καὶ τῶν ἄλλων καλῶν προςάτης, τίποθ᾽ ἡμῖν ἐκ τῆς τοῦ Ὀρφανοτροφείου προσεγένετο καθαιρέσεως, οὗ τοσοῦτον ἐμετὸν ἐν πολλοῖς περιοδικοῖς κατεχέατε γράμμασιν; Ἀλλ᾽ ἦσαν, φατὲ, κηφῆσιν ὅμοιοι οἵτε τρεφόμενοι ὀρφανοὶ, καὶ ἡμεῖς οἱ διδάσκοντες· καὶ τίς ἂν πιςεύσειεν τοῖς ἀναισχύντως ψευδομένοις, καὶ ἀπανθρώπως τὰ τῆς φιλανθρωπίας ἐκ θηριώδους κακοηθείας καταδιώκουσι Καταγώγια; Ἀλλ᾽ ἑπόμενον ἦν, φαίης ἂν τοῦθ᾽ οὕτω γενέσθαι· μέγα γὰρ τὸ ἔργον, καὶ ὡς κολοσσὸς τῆς τοῦ Κτίτορος ὑπεροχῆς ἤμελλεν ἐπιβρίθειν ἐπὶ τὰς κεφαλὰς τῶν τοῖς ἐκείνου ἔργοις περιλαμπομένων, καὶ διὰ τοῦτο μὴ ἀνεχομένων βλέπειν ἀπ᾽ ἐναντίας. Συγχωρητέον καὶ τοῦτο· ἀλλ᾽ ἔδει γοῦν εὐπρεπέστερον κἀπὶ ταῦτα ἐλθεῖν, κἀπὸ Ὀρφανοτροφείου μεταβαλεῖν εἰς σχολεῖον ἱερέων· ἔνθα παιδευθέντες, ἤμελλον ἂν ποθ᾽ ἡμῖν ἐξ ἀρετῆς καὶ παιδείας ὁρμώμενοι, οὐ μόνον τὴν δεισιδαιμονίαν καλῶς ἐκριζώσειν, καὶ τὴν εὐσέβειαν ἀντικαταστήσειν σὺν λόγῳ, ὅπερ καὶ τῷ σο-

κὴν εἰς τὴν μυστικὴν χώραν τοῦ περιουσίου λαοῦ, μὴ λέγου μήτ' ἔθνος, μήτε πίστην βεβαίαν ἔχειν. Ἔῤῥωσο.

Τῷ αὐτῷ (438.)

Πρόληψις εἰς γνῶσιν καὶ ἱστορίαν πραγμάτων ἀνθρώποις πολεμιώτατον· ἐπιπροσθοῦσα γὰρ αὕτη τῷ διανοητικῷ, ὥσπερ ἀχλὺς ἡλίῳ, οὐ συγχωρεῖ διοπτεύειν τὰ πράγμαθ', ὥσπερ ἔχει ταῖς ἀληθείαις· Ὅμοιον οὖν τι δοκεῖς πεπονθέναι κἀυτὸς τοὺς πρὸς ἄσκησιν λόγων μελέτας συντάττοντας τῷ Λιβάνιον, καὶ Λουκιανὸν, καὶ τοὺς περὶ Ἀντιφῶντα ἀρχαιοτέρους μιμεῖσθαι, μεμφόμενος, σοφιστικὴν ὅλως μέθοδον τὰ τοιαῦτα τῶν προγυμνασμάτων ἡγούμενος, ὡς εἰ μηδὲν εἴη τοῖς φιλολόγοις ταῦτα τῷ ψευδῆ περιέχειν ὑπόθεσιν συμβάλλοντα εἰς ἐπίδοσιν· κἀντεῦθέν σοι πολλὴ παῤῥησία (οὐ γὰρ ἂν εἴποιμι θράσος) μάλιστα σεμνῶς διδάσκειν ἐγγίνεται, ὡς δεῖ τοὺς νέους ἀπὸ ἀληθῶν ὁρμωμένους, ἐπ' αὐτὰ καταλήγειν, ἵνα μὴ μαθόντες σοφίζεσθαι ἐν ὕλης ψευδοῦς ὑποθέσεσι, διαστρέφωσι τἀληθῆ. Ἐπὶ τούτοις οὖν ἐπαινῶ μέν σε τοῦ ἤθους, οὐκ ἄγαμαι δὲ τῆς συνέσεως· οὐ γὰρ πολύ τι ἀπέχεις καὶ Ὁμήρου καθάπτεσθαι ὡς φιλόσοφος, ὅτι ἀφεὶς τὰς Ἡμέρας καὶ τὰ Ἔργα τὰ Ἡσιόδου, περὶ τὰ μηδαμῆ μηδέποτε γεγονότα τὸ περιὸν αὐτῷ κατηνάλωσε τῆς δυνάμεως· ὥσπερ αὖ καὶ τὰ τῶν Τραγῳδῶν πλάσματα παραβάλλων πρὸς τὰς τοῦ Θεόγνιδος γνώμας, σοφιστὰς ἐν ἔπεσι κἀκείνους φαίης ἂν γεγονέναι, ὡς δῆθεν μηδεμίαν ἀρετὴν περιεχόντων τῶν μύθων. Ἀλλὰ τί ἂν εἴποις καὶ περὶ τῶν στρατιωτῶν, ὅτι καὶ αὐτοὶ ἐν σκιαμαχίαις τοὺς προαγῶνας ποιοῦνται; ἢ δεῖ καὶ αὐτοὺς, ἐῶντας χαίρειν τὴν μελέτην τῶν τακτικῶν, ἐπ' αὐτῶν τῶν καιρῶν μετὰ κινδύνων κτᾶσθαι τὴν ἐν ταῖς μάχαις ἐμπειρίαν; οὐκ ἂν φαίης. Ἄφες τοίνυν, ὦ βέλτιστε, τοὺς τῶν

## Ἰγνατίῳ. (440.)

Ἃ μοι τῶν βιβλίων πάλαι ποτὲ ἐξεδέδοντο, τούτων νῦν μοι πρόσεστ' οὐδὲν, ἁπάντων, τέταρτον τοῦτ' ἔτος, ἐς δισχίλια πρὸς τοῖς μυρίοις ἀθρόως ἀφοσιωθέντων παρ' ἐμοῦ τῷ κοινῷ· ἐκεῖθεν οὖν αἰτησάμενος λήψῃ, μικρὸν καταβαλὼν τοῖς ἐπιτετραμμένοις τὴν τούτων φροντίδα ἀργύριον· ὧν δὲ νῦν αὖ ἐκδίδωμι, ἐκ πάντων ἔσταί σοι ἀνὰ δύο σώματα δωρεὰ, τὸ μὲν σοὶ, τὸ δὲ τῷ τῆς φιλοσόφου σου αὐδῆς κατακούοντι· εἰ δὲ χ' ἕτεροί τινες παρά σοι εἰσὶν ἱκανοὶ τοιούτων μαθημάτων ἀκούειν, κἀκεῖνοι, σοῦ ἀξιοῦντος, οὐκ ἂν ἀτυχήσειαν. Δὸς, πάτερ, σεαυτὸν τοῖς τῆς σῆς ἀφθόνου πηγῆς γλιχομένοις ἀρύσασθαι.

Αἴκεν φάος τι τεῖσιν Ἕλλησιν πόροις.

Καί σοι ὁ πόνος ἐν καιρῷ οὐκ ἄμισθος ἔσται· ἀλλ' οἷα εἰκὸς, πολλαπλάσιον ἀμειβόμενος· καὶ ἐξ ἀνθέων στεφανούμενος ἀκηράτων. Ἔῤῥωσο.

## Τῷ *Λευκίᾳ*. (441.)

Τὸ μὲν ἀποτυχεῖν τὸν ἐμὸν τυπογράφον τῆς παρὰ σοῦ χορηγίας οὐδὲν πρὸς ἔπος· οὐδὲ γὰρ ἐγὼ τοῦθ' ἑκὼν ἐδεήθην σου, συνειδὼς τοῦτ' αὐτὸ, ὅ μοι ὡσπερεὶ ἀπολογούμενος ἔγραψας· ἐν γὰρ καιροῖς, πολλὴν κἀν τοῖς ἰδίοις ἀνάγκην ἐπάγουσιν, οὐ πάνυτοι ῥᾴδιον ἐπαρκέσαι καὶ ἄλλοις. Ὃ δὲ κυοφορεῖς, τοῦτο καὶ μήπω τεχθὲν ἡδύ μοι ἐστὶ, καὶ τὸ φῶς ἰδὸν ποθ' ὕστερον, ἥδιον ἔσται· οἴομαι γὰρ, ἅμα φανὲν, πολλῶν ὑπεραύχων συντρίψειν τὰ κάρηνα. Ἔῤῥωσο.

## *Δημητρίῳ*. (442.)

Ὁπότ' οὐδὲ τὰς τῶν κρατούντων βουλὰς, ὁμοιοπαθῶν μὲν

Τῷ αὐτῷ. (444.)

Τὸ τῶν Αἰγινητῶν πρόθυμον κατασκευάσασθαι Λύκιον καὶ πάνυ ἐπαινετόν· συνεισφέρειν γὰρ ἔγνωσαν ἐλάττω μὲν ἴσως ὧν βούλονται, πλείω δὲ, ὧν δύνανται· πεισθέντες γάρ τι καὶ παρ' ἡμῶν, πεποίθασι μεγάλην ἔσεσθαι ἑαυτοῖς ἐκ τούτου τῶν πραγμάτων βελίωσιν· διὸ καὶ ὁμοθυμαδὸν συνελθόντες, ἀνέθηκάν μοι τὴν τούτου ἐπιστασίαν· κἀγὼ ἄκων μὲν διὰ γῆρας, ἀλλ' οὖν ἐδεξάμην· τί γὰρ καὶ πάθοι τις, ὁπότε φίλος τις ὢν, βιάζοιτο; Τὰ μὲν οὖν ἄλλα εὖ ἔχει· διδασκάλου δ' ἑνὸς ἔθ' ἡμῖν προσδεῖ· ὃς παραδεχόμενος παρὰ τοῦ γραμματιστοῦ τὰ παιδία, μέλλει προσασκεῖν ἔτ' αὐτὰ ἐν τῷ ἀναγινώσκειν ἀπροσκόπτως, ὥστε τρανώτερον προΐεσθαι ἕκαστα, καὶ ἐν ὑποκρίσει τῇ προσηκούσῃ· εἶτα δὲ καὶ τὸ πρῶτον μέρος τῆς γραμματικῆς, ἐφαρμόζειν ἕκαστα τῶν τοῦ λόγου μερῶν τοῖς προσήκουσι τύποις ἐν τοῖς προτεμενίσμασιν ἔτι τῆς νῦν συνηθείας, ὥστ' ἐν ὅλῳ ἐξαμήνῳ ἀποδεῖξαι αὐτὰ ἱκανὰ εἰσιέναι εἰς τὸν τῆς ἀρχαίας ναὸν, τὸν ἱερὸν καὶ φιλόσοφον, τὸ μόνον πατρῷον κειμήλιον. Εἴτις οὖν τῶν τοιούτων λογίων τῷ ἐπαγγέλματι τούτῳ ἱκνούμενος ἀμώμως χρῆσθαι, ἀργὸς αὐτοῦ κατατρίβει τὸν βίον, πέμψον αὐτὸν ὡς ἡμᾶς, τὴν χηρεύουσαν ταύτην καθέδραν ἐφέξοντα· ἔστω δ' οὗτος οὐχ οἷος πολλὰ μὲν αὐχεῖν εἰδέναι, μηδὲ μικρὰ δὲ δυνάμενος πράττειν· ἀλλ' ὅς τις ἀπ' ἐλαττόνων μᾶλλον ὁρμώμενος, ἐπίσταται εὐφυῶς ἐμφυτεύειν τοῖς παιδίοις τὰ σπέρματα· τοῦτο δ' οὐ πολυμαθείας ἂν εἴη, ἀλλ' ἐμπειρίας καὶ δραστηριότητος μάλιστα· δεῖ γὰρ δὴ αὐτὸν ἐπιμονήν τε καὶ ὑπομονὴν ὅτι πλείστην κεκτῆσθαι οὐχ ἧττον, ἢ καὶ γεωργὸν περὶ φυτουργίαν, ὃς ἂν σπουδαῖα καὶ ἀστραβῆ τὰ φυτὰ ἐξ ἀρχῆς ἑαυτῷ βούλεται ἀνατρέχειν. Ἔῤῥωσο.

παρέσχε τοῖς Ἕλλησι· νῦν δ' οἱ χρυσόπαστοι τράχηλοι, καὶ αἱ κροσσωταὶ ἐπωμίδες ἐποίησαν τὸ μὲν ἀργύριον οἴχεσθαι ἀποπτὰν, ὅθεν ἦλθε, τὸ δὲ ὄφλημα μένειν προσαυξόμενον ἀεὶ ταῖς τῶν τόκων προσθήκαις. Οὕτω τῆς μόνης ἐκείνης Φρονήσεως οἰχομένης, συναποίχεται κατὰ βραχὺ καὶ τῆς Ἑλλάδος ἡ τύχη. Ἔρρωσο.

### Γεωργίῳ. (447.)

Ἅμα κομισάμενος, ὅν μοι πέπομφας λόγον, διεξιὼν σὺν σπουδῇ, οὐκ ἔσχον κρατεῖν ἐμαυτοῦ, ὥστε μὴ οὐχὶ ἐκείνας τὰς θεατρικὰς προϊέναι φωνάς· ὢ λόγος, ὢ τάξις, ὢ ἑρμηνεία, ὢ σχήματα Δημοσθένεια, οἷον ἐμποιοῦντα τὸ πάθος, ἐξ εἰρωνείας μὲν ἐν τοῖς πλείστοις τοῦ κατηγόρου εὐφυῶς καθαπτόμενα, θυμοδακῆ δὲ καὶ οὐκ ἄνευ ἀςειότητος ἐφιέντα τὰ βέλη· καί μοι ἐδόκουν ἀναγινώσκων ὁρᾷν αὐτὸν τὸν γαῦρον καὶ ἀλαζόνα Ἄγγλον ἐν τῷ δικαστηρίῳ ἀποροῦνθ', ὅποι τράποιτο. Ἔχει δ' ἄρ' ἡ Ἑλλὰς ἄνδρας, οἵους τὴν τῆς δικαιοσύνης ἄλοκα, ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα, βαθεῖαν τέμνειν, καὶ μαχίμους τοῖς ἄλλοθεν ἡμῖν ἐπιβουλεύουσιν ἀντιτάξασθαι, εἵτινες προβάτου δορὰν ἔξωθεν περικείμενοι, λύκων ἄλλως ἔργα βουλεύονται· καὶ πλαττόμενοι εὔνοιαν, λάθρα εἰς τὴν μάνδρα παραφυλάττουσιν εἰσερπύσαι, καίπερ εἰδότες,

„ Ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά.
„ Οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσι.

Ἀλλ' ἐκεῖνοι μὲν οἱ τοῖς ἕλκεσιν ἡμῶν ἐπιξαίνοντες, θηρίων ἀγρίων οὐκ αἰσχύνονται ἔργα πράττοντες, ὄλοιντο. Νῦν δ' ἐκεῖνο μάλιςα ἐν τῷ λόγῳ μοι παρὰ δόξαν τῇ διανοίᾳ προσέβαλε· πόθεν σοι ὁ χυδαϊσμὸς ἐν τῷ γράφειν περὶ τὴν τῶν

οὐκέθ᾽ οἷός τε εἰμὶ ἐπ᾽ ἄλλους μεθίςασθαι, ὥσπερ δρυὸς κισσὸς προσισχόμενος· τὸ γὰρ ἐνυπάρχον φιλητικὸν, μνήμη καὶ ἱστορία πολλῶν ἡμῖν προγεγενημένων ἡδέων ἐνδιατρίβον ἡδέως, ἀφύκτως κατέχει τοὺς φιλουμένους, καθάπερ τοὺς ἁλόντας ὁ ἔρως, εἴγε ἵμερός τις ἱεράς ἐστι καὶ ὁ πόθος. Ἀλλὰ πόθεν μοι ἐπῆλθε τοσαῦτα φιλοσοφῆσαι; τοῦτο νῦν σοι βούλομαι διηγήσασθαι. Χθὲς ἀναβάδην καθήμενος, καὶ γενόμενος, οὕτω τῇ φαντασίᾳ περιπολῶν, ὡς ὑμᾶς, τοσοῦτον ἡδέως διελέχθην πρὸς σὲ, ὥστε καὶ φωνὴν ἀφῆκα λαθών· ἡ δὲ Μαρία ἡ ἐμὴ (τοῦτο γὰρ ὄνομα τῇ θεραπαίνῃ) καταβαλοῦσα τὴν ἠλακάτην ἐκ τοῦ ἑτέρου οἰκήματος, ἐπέδραμεν ὅλως ἐπτοημένη· καί φησι, τίποτε πέπονθας αὐτὸς, ἐκ πολλοῦ διατονθορίζων, καὶ προσμειδιῶν; καίτοι τῶν ἡδέων τι, ὅσον ἐκ τοῦ μειδιάματος, ὑποδραμεῖν σου τὴν διάνοιαν ἔοικεν· Κἀγὼ συνελθὼν ἤδη, φιλίας ἦν τοῦτο μνήμη, ἔφην, καὶ νοερὰ συνουσία· Ἡ δὲ συνῆκα, φησὶ, ὅποι αὖθις περιπολεῖς· ἢ γὰρ ἐπὶ τὸν σὸν Μανουλάκην αὖθις ἀποπλανᾷ· ὡς γὰρ συχνόν σοι τοὔνομα τοῦτο κομψεύεται ἐν ταῖς τῶν παρόντων διατριβαῖς, ὡς καὶ ἐν ὕπνοις πολλάκις ἀκήκοά σου τοῦτο προενεγκεῖν· καὶ ταῦτα μὲν ἐκείνη. Σὺ δὲ σκόπει, ὅσον ἐρωτικῶς ἔχω πρὸς σὲ, φίλτατε Σεργιάδη, τῷ πόθῳ ὅλως ἑαλωκώς· ὥς᾽ εἴτις παρ᾽ Ὁμήρῳ ἐν ᾅδου μόνον Πατρόκλου μνησθήσεται, ἐγὼ δὲ καὶ ζῶν καὶ ἀποθανὼν οὐδέποτέ σου ἐπιλησθήσομαι. Ἔρρωσο.

Λεοντίῳ. (449.)

Οὐκοῦν λαβὼν παρὰ τοῦ κομίσαντος Παύλου τὸν ἐκλείποντα πέμπτον, ἀπόδος αὐτὸν τῷ τοῦ Εὐσταθίου παιδὶ, ἵν᾽ ᾖ αὐτῷ πλήρης ὁ ποιητής· τῶν δὲ περιττευόντων ἓν μὲν ἀποδιδόσθω τῷ σοφῷ Οἰκονόμῳ, οὗ πρὸ πάντων μεμνῆσθαί-

Γεωργίῳ. (452.)

Ἀπορῶ, ὅπως παρελθούσης τῆς προθεσμίας, οὔπω φαίνῃ καταπεπλευκὼς ἡμῖν ἡδομένοις· οἱ γὰρ μαθηταὶ, χαίνοντες μονονοὺ, καθάπερ χελιδόνων οἱ νεοσσοὶ, περιμένουσι τὸν τροφοδότην· σὺ δ' ἔοικας ἑορτὰς βασιλέων ἐν πολλῷ διώκειν θορύβῳ, στρατοῖς αὐτοῦ χαίρων καταλάμπουσιν ὅπλοις, καὶ πυροβόλων κρότῳ. Ἀλλ' ἴσθ' ὑμᾶς ἐν Αἰγίνῃ τοσούτῳ γ' εὐδαιμονεστέρους ὑμῶν ὄντας, ὅσῳ κρεῖττόν ἐστι ταραχῆς ἡσυχία. Ἔῤῥωσο.

Ἰωάννῃ. (453.)

Οὐ θαυμαστὸν (ὃ καὶ πρῴην πρὸς σὲ μέμνημαι γράψας) εἰ τοιαῦτα πρὸς ἀλλήλους διαλεγόμενοι, οἷς τὰ ἡμέτερα ἀπαρέσκει, ἐπ' ἐμὲ ἐκτοξεύουσι βέλη, παραμυθίαν ἥντινοῦν σφίσιν αὐτοῖς ἐντεῦθεν εὑρέσθαι πειρώμενοι· ἀλλ' ἀπορῶ μάλιστα, ὅτι μὴ καὶ διὰ τῆς γραφίδος πρὸς ταῦτα καταθρασύνονται, ἵν' ὦσιν ἐναργέστερον ἀναιδίην ἐπιειμένοι. Ἐγὼ δ' οὖν, καίτοι κακῶς ἀκούων, ἐν οἷς ἀδικῶ μὲν οὐδένα, ὠφελῶ δ' ἴσως πολλοὺς, οὔθ' οὕτως, οὔτ' ἐκείνως, οὐδ' ὁτιοῦν πρὸς αὐτοὺς ἀντιφθέγξομαι· λέγω δὲ ἠρέμα πρὸς ἐμαυτὸν,

„ Τέτλαθι δὴ κραδίη καὶ ἄλλοτε κύντερον ἔτλης.
„ Τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.

Καὶ γὰρ καὶ τὸ γῆρας ἀναίσθητόν με μικροῦ δεῖν τῶν τοιούτων μώμων πεποίηκεν· ὥστε καὶ τὰ βέλη αὐτῶν ὡς ἐπὶ νεκρὸν ἐφιέμενα, ἀνάλγητα ἀποβαίνει.

„ Κωφὴν γὰρ γαῖαν ἀεικίζει μενεαίνων,

Ὅς τις ποτ' ἂν ᾖ αὐτῶν ὁ τοξάρχης. Ταῦτα μὲν οὖν λυπεῖ με οὐδαμῶς, τὴν αἰτίαν εἰδότα· εὐφραίνει δὲ πάντως, ἅπερ

ἐκεῖνοι διέφερον τὸν πόλεμον πρὸς τοὺς Ῥώσσους, ἐθαύμασα, ὅπως οὐκ ἐπῆλθέ σοι πώποτε καταμαθεῖν, ὅτι τοσαῦτ' ἐκεῖνος ᾔδει, ὅσ' οὐδὲ σύμπαντες Ἕλληνες, καὶ τοσοῦτον αὐτῷ περιῆν τῆς συνέσεως, ὥστε μετεδίδου τῶν ἀρίστων αὐτοῦ βουλευμάτων καὶ τοῖς ἀνὰ πᾶσαν τὴν Εὐρώπην Ἡγεμονεύουσιν, ὡς ὁ χρόνος αὐτὸς, καὶ πρὶν, καὶ ἀποθανόντος ἐκείνου, ἀληθῆ τούτων δέδωκε μαρτυρίαν· Εἶτα πείσει σε ἴσως, καὶ ἃ εἴρηται παρ' ἀνδρὸς πολιτικοῦ οὐ πάνυ εὐνοϊκῶς ἔχοντος πρὸς ἐκεῖνον· ὁ γὰρ Ἀγγλικὸς σύμβουλος πρῴην ποτὲ ἐν Ναυπλίῳ ἐν συλλόγῳ τῶν ἡμετέρων προὐχόντων, θαυμάζω, ἔφη, ὅπως οἱ Ἕλληνες ἔτι καὶ νῦν ἐνδοιάζουσιν, ὅτι ἡ ἐπὶ Θεσσαλίαν τέως ἐκστρατεία ἀπεῖρκτο παρ' αὐτῶν τῶν συμμάχων· ἐγὼ γὰρ αὐτὸς, φησὶ, τετράκις ἀνήνεγκα εἰς αὐτὸν πέρα Θηβῶν τὸν στρατὸν μὴ κινῆσαι· εἰ δὲ μὴ τὴν ταχίστην, ἔφη, ἀνασπάσας τὴν ἄγκυραν, ἀποπλευσοῦμαι, ὃ καὶ ῥίγιον ἔσται. Ταῦτα δὲ εἰπὼν, καὶ ἕτερα ἔτι πολλὰ ἐπιδαψιλεύσας κατ' ἐκείνου ἐγκώμια, ἐπέθηκε τέλος ἐκεῖνο τῷ λόγῳ, ὃ παράδοξον μέν ἐστιν ἀκοῦσαι, ἀληθὲς δὲ πιστεῦσαι. Ὁ μὲν Ἰησοῦς, ἔφη, Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἀνθρώπων ἁπάντων· ὁ δὲ Κόμης Καποδίστριας, ὑπὲρ τῶν Ἑλλήνων, ἀμφότεροι ἁπλῶς ὑπὲρ τοῦ κοινοῦ, μηδὲν ἴδιον σκοποῦντες κέρδος· ὃ σπάνιον γίγνεται παρ' ἀνθρώποις. Τοιοῦτον ἄρα ἀπολέσαμεν ἄνδρα, οὗ τὴν ἀρετὴν καὶ αὐτοὶ οἱ φονεύσαντες ἀξιοῦσι θαμάζειν. Ἔῤῥωσο.

*Νικολάῳ.* (456.)

Ὥσπερ κακία κακίας, οὕτω καὶ ἀρετῆς ἀρετὴ διαφέρει, ἀπὸ τοῦ τέλους ἀμφότεραι τὴν κρίσιν λαχοῦσαι· ὁπότε μὲν γὰρ ἐσωτερικῶς παθαινόμενοί τι, καμπτοίμεθα πρὸς τὸν ἔλεον, φιλανθρωπία τοῦτο καλεῖται· ὅτε δὲ ἱεροῖς πειθόμενοι

χορηγίαν, καὶ ταῦθ' ὁπότε τις καὶ μικρὰ παρασχὼν, μεγάλ' ὡς εἰκὸς, νομίζεται παρασχεῖν. Τοὺς εὐδαίμονας κακοδαίμονας ἀπεργάζεσθαι· ὁ δὲ πατὴρ ἦν Ὀρφανῶν, καὶ πτωχῶν ἀστέγων καταφυγὴ καὶ σκέπη, καὶ οὐδεὶς, δεόμενος τινὸς παρ' ἐκείνου, ἄπρακτος ἀπήλλαξε πώποτε· καὶ ὑμεῖς γε αὐτοὶ συνεπίστασθε μὲν, καὶ φατὲ ἀληθῶς προσεῖναι ἐκείνῳ ταῦτα, ᾧ δὲ μόνῳ ἰσχυριζόμενοι, διαφιλονεικεῖν ἐθέλετε, καὶ ᾧ τὴν ἑαυτῶν ἀνομίαν συγκαλύπτειν πειρᾶσθε, ἐστὶ τὸ Αὐθαίρετον· ἀλλὰ τίποτε τὸ θρυλλούμενον τοῦτο βούλεται ῥῆμα; μῶν τὴν προαίρεσιν αὐτὴν ἐννοεῖτε, δι' ἧς ὁ μέγας ἐκεῖνος νοῦς κατεπάλαισε τὸ Αὐθέκαστον, τὸ καὶ τοῖς νόμοις πολεμιώτατον, καὶ ἔθνεσιν ὅλοις θηρίων ἁπάντων τὸ ἐξωλέστατον; τοῦτο γὰρ μετὰ μικρὸν τὰ πράγματα ἔδειξαν· ἅμα γὰρ ἀποθανόντος ἐκείνου, οἱ μὲν νόμοι συνετάφησαν τῷ ἑαυτῶν προστάτῃ, οἱ δὲ τυραννίσκοι, οἰχομένων ἐκείνων, ἄλλοι ἄλλοθεν ἐπαναςάντες, καὶ αὐθεκάστως, ὅπως προχωροίη ἑκάστῳ, ἐπικατασχόντες τὰ πράγματα, εἶθ' οὕτως καὶ ἐπ' ἀλλήλους τραπόμενοι, ἐποίησαν τὴν Ἑλλάδα τὸ δὴ λεγόμενον λεῖαν Μυσῶν. Ἔδει τοίνυν, ὦ ἄριστοι, μὴ λίαν προπετεῖς ὑμᾶς εἶναι λέγειν, ἀλλὰ καὶ ἐπίστασθαι ὅ,τι ποτὲ λαρυγγίζετε, ἀπὸ γνώμης λαλεῖν, ἵνα σὺν λόγῳ τοὺς λόγους καταλλήλους τοῖς πράγμασιν ἐφαρμόζοντες, ἔχοιτε ἀποδιδόναι τὸ προσῆκον ἑκάστῳ, τῷ μὲν δίκαια πράττοντι τὸ δίκαιον, τῷ δὲ ἀδικοῦντι τὸ ἄδικον· ἴσμεν γὰρ τὸ μὲν Αὐθέκαστον, ἅτε δὴ ἀναρχίαν ἄντικρυς οὖσαν, ἀναιρετικὸν ὂν τῶν νόμων· τὸ δὲ Αὐθαίρετον τοῦθ' ὅπερ ὑμεῖς θρυλλεῖτε, εἰ μὲν ἐπὶ κακῷ τῶν ἀρχομένων τούτῳ ὁ ἄρχων χρῆται, οἷον ποιοῦσιν οἱ τύραννοι, τὰς ἑαυτῶν θεραπεύοντες ἡδονὰς, κακὸν μὲν καὶ τοῦτο, ἀλλὰ μετριώτερον τοῦ Αὐθεκάστου· σώζον γὰρ τὸ ὅλον, ἐπὶ μέρος ἐπάγει τοῖς δεσποζομένοις τὴν δυστυχίαν·

τοῖς Ἕλλησιν ἐσομένην ὠφέλειαν· βούλει δὲ καὶ ἕτερον εἴπω σοι, ὃ τῆς ἐς Ἀθήναις ὁρμῆς ἀνακόπτει με; ἀλλ᾽ ὅπως μηδεμίαν ἀβελτερίαν, ἢ ἄλλως συγκαταγηράσκουσαν κόρυζαν καταγνῷς μου τοῦ λόγου· δέδοικα γὰρ, ὦ τὰν, μὴ κατὰ τὴν εὐχὴν ταὐτὸν πάθω Σιμεῶνι τῷ πρέσβει· ὃς ἅμ᾽ ἰδὼν τὸ σωτήριον βρέφος, καὶ βαστάσας, ἀπήλλαξε· τοῦτο γὰρ ηὐξάμην κἀγὼ πολλάκις· νῦν τοσοῦτον εὕρηται φιλόψυχος παρὰ τοὺς νέους ὁ γέρων, ὅσῳ μᾶλλον ἐγγυτέρω ἐστὶ θανάτῳ. Ἔρρωσο.

Κωνσταντίνῳ. (459.)

Χθὲς μὲν ἑκὼν ἀέκων ἐπείσθην σοι εἰς τὴν αὔριον συνέστιάτωρ γενέσθαι· ἄγροικον γὰρ ᾠήθην μὴ χαρίσασθαι τοῖς φιλοῦσι· καί τοι μικρὸν ὕστερον καὶ τοῦτο μεταμεμέλημαι· σὺ δὲ προϊαίτερον ἀπάρας, κατέλιπες ἡμᾶς χαίνοντας χθιζαῖς ὑποσχέσεσι· καὶ τοῦτο μὲν ἐπαινῶ σου λίαν φρονίμως πεποιηκέναι· οἶσθα γὰρ τὰ παρηκμακότα τῶν σωμάτων ἀπ᾽ ἐλαχίστης ῥοπῆς γιγνόμενα σφαλερά· καὶ οὐχ᾽ οἷα ὑπερβολαῖς ἐξετάζεσθαι· ὃ δ᾽ ἄξιον μέμψασθαί σοι, καὶ δι᾽ ὃ ταῦτα προῆγμαι γράφειν, ἄκουσον. Πεντηκοστὴν ἑορτὴν ἄγομεν σήμερον, ἐν ᾗ γόνυ κάμπτοντες, ἵλεων ἡμῖν, ἐφ᾽ οἷς ἂν ἁμάρτωμεν, ἀπεργαζόμεθα τὸν τὸ ἅγιον Πνεῦμ᾽ ἐφ᾽ ἡμᾶς καταπέμψαντα οὐρανόθεν· σὺ δ᾽ ἡδονὰς θηρεύων, οὐκ ἠνέσχου ἀναβαλεῖν αὐτὰς μετά γε τὴν τελετήν· ἀλλ᾽ ὥσπερ ὑπὸ κρείττονος δυνάμεως ἐπειγόμενος, τὸ παραυτίκα ἡδὺ περὶ πλείονος τῆς κατ᾽ ἔτος εὐσεβείας πεποίησαι· ὃ πρὸς τῷ ἄφρονι καὶ ἀσύγγνωστον γίγνεται. Ἔρρωσο.

*Φιλοπατρίδῃ.* (460.)

Φιλοπατρίδην μὲν δυνατόν σε γενέσθαι, καὶ οὐκ ἂν φευ-

πίδην ἀνὰ δύο σώματα ἀπὸ πάντων (εἰς τόμους εἴκοσι σύμπαντα) τὸ μὲν σοὶ, τὸ δὲ τῷ ὑπό σοι φιλολόγῳ μαθητῇ· ἐπειδὰν δ' ἐκδοθῇ καὶ τἄλλα, μέμνησο αὖθις καὶ τούτων μνησθῆναι πρός με, προσβεβαιῶν καὶ τὴν τῶν ἀνὰ χεῖρας περιλαβήν. Ἔρρωσο, πάτερ, τὸν καλὸν ἀγῶνα ὑπὲρ τῶν Ἑλλήνων ἀγωνιζόμενος.

*Δημητρίῳ.* (462.)

Ἡνίκα παριὼν ἐντεῦθεν, (ἔτος ὅλον ἤδη, οἶμαί γε, τοῦτο) ἔλαβες τὰς πρώτας μοι ἐκδοθείσας τῶν βίβλων, ἐδεήθης μου πέμψαι σοι καὶ τὸν Εὐριπίδην ὑπὸ τοῖς τύποις ὄντα τὸ τηνικαῦτα· ἀλλὰ διὰ τίνος ἀποστεῖλαί σοι χρὴ καὶ τοῦτον, καὶ ἃ μετὰ τοῦτον ἑξῆς ἐξέρχονται τῶν πιεστηρίων, τούτου οὔπω ἔοικας πεποιῆσθαι φροντίδα· ἐγὼ δ' αὖ ἐπαρκέσαι καὶ τοῦτο τοῖς φίλοις λογίοις οὐχ οἷός τε εἰμί· ὃ τοίνυν εἴρηταί μοι καὶ πρὸς ἄλλους πολλοὺς, εἰρήσεται καὶ πρὸς σέ. Πᾶς ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται· εἰ δὲ αὐτὸς, ὑποκλέψας τοῦ χρόνου, ὅσον ἱκανὸν ἐλθεῖν ὡς ἡμᾶς, ἐπισκέψῃ τὴν τοῦ Αἰακοῦ, τριπλάσιον ἀναχωρήσεις ἀπενεγκάμενος τὸ ἀγώγιμον, τὸ μὲν σεαυτῷ, τὸ δὲ τῇ σχολῇ, τὸ δὲ καὶ οἷς τισιν ἄλλοις ἔτι ἔρως τῶν λόγων ἐντέτηκται. Ἔρρωσο.

*Νικολάῳ.* (463.)

Διὰ πάσης ἀλγήσας νυκτὸς, τῶν ὀδόντων μοι κακῶς ἐχόντων ἁπάντων, ἐμνήσθην τοῦ σοφοῦ Ἐπικτήτου μηδὲν εἶναι τὴν ἀλγηδόνα εἰπόντος, ὁπόθ' ὁ ἔσω ἄνθρωπος ἀνανάγκαστος καὶ ἀκώλυτος εἴη· τί γὰρ ἂν εἴη ἄλγος, ἢ διάστασις, φησὶ, τῆς σαρκὸς, τὴν ψυχὴν λυμαινομένης οὐδ' ὁτιοῦν; οὕτως εὐτελῆ ταῦτα τίθησιν ὁ φιλόσοφος. Ἐντεῦθεν ἄρ'

φιλοτιμίαν, καί τοι ταῦτα κρείττω εἰσὶ πολλάκις, ἢ ὥστε φέρειν· ἐμὲ γὰρ ἤδη καὶ οἱ ὑπόλοιποι τῶν ὀδόντων δέκα, ἢ δώδεκα, ἐχθροὶ ἐκ φίλων γεγενημένοι, ἐπηρεάζουσι μάλιστα, καὶ οὔτε παρόντες ἐθέλουσι σπείπασθαι πρὸς ἐμὲ, οὔτ' ἄλλως καταλιπόντες, εἰς κόρακας οἴχονται, ἵν' ἐξῇ μοι ἡδέως ἔν γε μάζῃ τρέφεσθαι μόνῃ. Σὲ δ' οὖν οἶδα, ὅτι τείρει ἐκ μέρους καὶ ἔνδεια, ἄλλη ἄλλων ἄλλοθεν ἐπιοῦσα· καί τοι οὐκ ἐχρῆν ἄνδρ' ἐλλόγιμον ἐννεάσαντα Μούσαις καὶ Χάρισιν. Ἠβουλόμην μὲν οὖν ἄλλως πως πρὸς τοῦτ' ἐπαρκέσαι σοι ὁτιδήποτε, ἀλλ' οὐκ ἔχω νῦν τὴν δύναμιν ὑπουργοῦσαν ἑτοίμως τῇ προαιρέσει, σύμπαντος ἀναλωθέντος τοῦ ἀργυρίου. Πέμπω σοι τοίνυν τοῦθ' ὅπερ δύναμαι τὴν Τετρακτὺν, τὴν Ξυνωρίδα, τὸν Σοφοκλέα, καὶ τὸν Εὐριπίδην ἀνὰ πέντε σώματα ἐξ ἑκάστων εἰς τόμους πεντήκοντα, ὅπως τούτων τοῖς εὐδαιμονεστέροις αὐτοῦ πωληθέντων, εὕρῃς ἴσως ἐλαχίστην γοῦν ἐν ταῖς ἐνδείαις παραμυθίαν. Ἔῤῥωσο, γενναιότερον φέρων ὅ,τι ποθ' ἡ φύσις ἡμῶν κατέγνω.

*Λευκίᾳ.* (465.)

Πολλοὶ πολλαχοῦ λόγοις, ὡς ὁ λόγος, τὴν ἐπὶ τὸν θρόνον τοῦ Βασιλέως ἀνάβασιν ἔστεψαν, εὐχαῖς, ὡς ἀπὸ τοῦ κέρως τῆς Ἀμαλθείας, τῆς ἑαυτῶν καρδίας, καθυδρίσαντες αὐτὸν ὅτι πλείσταις· ἐγὼ δ' οὐδ' ἐντυχεῖν τούτοις ἀνέχομαι, καὶ εἴγ' ἐξῆν, οὐδ' ἀκοῦσαι· οἶδα γὰρ αὐτοὺς μηδὲν, ἀλλ' ἢ λέξεων συρφετὸν ἐν ἰδιώματι ἀσυμφύλῳ κολακείᾳ μὲν συχνῇ κεκαρυκευμένους, γνώμης δ' ἡστινοσοῦν καὶ χάριτος ἀπηλλωτριωμένους· ὃ δ' ἕλκει με μόνον, τὸ καὶ πρὶν, ἢ φανῆναι ποθούμενον, καὶ ἐκδοθὲν εἰκότως θαυμασθησόμενον, τούτῳ γλίχομαι ἐντυχεῖν, ὅσον τάχιον, τῷ τοῦ σοφοῦ Λευκίου ποιήματι. Ἔῤῥωσο.

ἐλθὲ ἐπὶ πανδαισίαν λόγων ἐλεεινῶν μὲν, σωτηρίων δὲ ἄλλως. Ἔῤῥωσο.

*Νεοφύτῳ.* (468.)

Ἐψευσάμην, ὁμολογῶ, τὴν ὑπόσχεσιν· ἢ μᾶλλον, ἐψευσάμην μὲν οὔ· μνήμης δὲ διαμαρτίᾳ ἐς τοῦτο τὴν τῶν βίβλων ἀνέβαλον ἀποστολήν· καὶ νῦν χάρις τῷ φίλῳ Θεοδωρήτῳ μνησθέντι σου πρός με· ἄλλως γὰρ ἐπὶ πολὺ ἂν ἔτι ἀπέτυχες, εἰς πολλά μου μεριζομένου, ὡς ἄλλου ἄλλοθεν ταῦτα ἐξαιτούντων, ὧν οὐδὲ τὰ γράμματ' αὐτὰ πολλῶν ἀναγνῶναι ἱκνοῦμαι. Δέξαι τοίνυν τὰ μὲν τούτων νῦν, τὰ δὲ μετὰ ταῦτ', ἐπειδὰν ποτὲ σὺν θεῷ ἐξέλθῃ τῶν τοῦ τύπου πιεστηρίων· καὶ ἐντρυφᾶτε, ὦ φίλτατοι, νέοι ὄντες, λόγοις πατρῴοις καὶ χάρισιν, ὠφελοῦντες καὶ ὠφελούμενοι, καὶ ἄλλος ἄλλοθέν τι τῷ κοινῷ συνεισφέροντες τὸ ἱκνούμενον εἰς βελτίωσιν, ὁ μὲν τὸν λόγον, ὁ δὲ τὴν πρᾶξιν, ὁ δ' ὅ,τι ποθ' ἱκανὸς ἄλλως εἴη. Ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις. Ἔῤῥωσο.

*Γεωργίῳ.* (469.)

Καλῶς μὲν ποιεῖς παραινῶν μοι τὰ ἄριστα, ἀλλ' ἀδικεῖς ἀκαίρως, μεμφόμενος τὰ ἀδύνατα· κράτιστον μὲν γὰρ τἄτ' ἄλλα ἐπαρκεῖν δεομένοις, καὶ δὴ καὶ πρὸς ἃ ἂν ἐπιστέλλωσιν ἀπαντᾷν καὶ τοῦτ' ἐποφείλεται· ἀλλ' ὁπότ' ἐφ' ἡμῖν εἴη ἐξικνεῖσθαι ἀμφότερα· νῦν δὲ τὸ μὲν προθυμοῦμαι, καὶ πάλαι πρὸς τοῦτο προπαρεσκεύασμαι· τὸ δ' ἀντεπιστέλλειν, πρὸς ἅ μοι πανταχόθεν ἄλλ' ἄλλοθεν ἐπιῤῥεῖ, οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ εἶεν χεῖρες, καὶ αὗται μὴ γηραλαῖαι, τοῦτο πρὸς ἅπαντας ἐξαρκέσαιμι. Πῶς ἂν οὖν εἴη μοι ὀλιγωρία, ὡς φὴς αὐτὸς, τὸ ἀδυναμίᾳ μοι σιγηθέν; καὶ μὴν ἔγωγε τοῦτ' εἰδὼς, φθὴν καὶ δημοσίᾳ αἰτήσας συγγνώμης τυχεῖν, εἴ τῳ

Κωνσταντᾶ (471.)

Εἰμὶ μὲν καὶ φύσει βραδὺς ἴσως ἐπιστέλλειν τοῖς φίλοις, ἀλλὰ καὶ τὰ πράγματ', ἄλλ' ἄλλοθέν μοι ἐπιγενόμενα, οὐδ' ὅσον πρὸς μέτρον ἐπιστολῆς ὑποκλέψαι τοῦ χρόνου ἐπέτρεψε. πρὸς γὰρ ταῖς ὑπαρχούσαις ἀσχολίαις ταῖς ἀμφὶ τὸν τύπον τῶν βιβλίων πολλὴν ἐχούσαις συνέχειαν, ἐπέθηκάν μοι οἱ χρηστοὶ Αἰγινῆται καὶ τὴν τῆς σχολῆς διακόσμησιν, ἣν νῦν συστῆσαι προεθυμήθησαν, συνεισενεγκόντες τῶν τε καρπῶν καὶ τῶν ἄλλων, ὅθεν ἂν αὐτοῖς ἐπεισάγοιτο κέρδος, τὸ ἑκατοσόν· συγκεφαλαιῷτο δ' ἂν τὸ ἐπέτειον ἐς χίλια διακόσια πεντάδραχμα μάλιστα· γένοιτο δ' ἂν ἐς τὸ μέλλον καὶ πλουσιώτερον, εἰ μή τις φθόνος ἔξωθεν ὑφερπύσας, διασείσει καὶ τοῦτο, ὡς καὶ τὸ Ὀρφανοτροφεῖον, καὶ ταῦτ' ἐπειδὴ ἐδεξάμην διδάσκειν καὐτός, ὅτι ποτ' ἂν οἷός τε ὦ, αὐτῶν δεηθέντων· ἐδεξάμην δ' ἐπὶ τρισὶ διδασκάλοις γραμματικοῖς, καὶ δυσὶ μετ' οὐπολυ ἔτι μαθηματικῷ τε καὶ τῷ τὴν τῶν Γάλλων διδάξοντι γλῶσσαν. Τούτων δ' οὖν τῶν πρώτων κατασχόντων τὰς ἕδρας, περὶ τῶν δευτέρων ἡ ὑπόσχεσις ἐν τῷ μέλλοντι, ὁπότε τὰ παιδία παῖδες γενόμενοι, ἱκανώτεροι εἶεν τοιούτων μαθημάτων ἀκούειν· ὃ οὐκ ἐς μακρὰν ἔσται, Γεωργίου τοῦ Γαζῆ, καὶ Ἀναστασίου τοῦ Φιλεταίρου διδασκόντων· οἶσθα γὰρ τοὺς ἄνδρας ἡλίκην ἐπιμονήν τε καὶ ὑπομονὴν πρὸς τοὺς πόνους ἐπιειμένους, καὶ οἷα μάλιστα μεθόδῳ σπεύδοντας πρὸς τὸ τέλος. Εἴη δὲ καὶ πάσαις ταῖς πόλεσι τοιοῦτον ἔρωτα ἐγγενέσθαι Μουσῶν, οἷον οἱ Αἰγινῆται πρὸς τὸ παρὸν ἐπεδείξαντο. Ἔρρωσο.

Γεωργίῳ. (472.)

Ἀνδρὸς αὐτουργοῦ γνώμην ἀκούσας ποτὲ, διδάσκαλος τῶν φίλων, οὐκ ἠξίωσα ταύτης καὶ παρακοῦσαι· ἔστι γὰρ καὶ

μέρος, ἀναπληρώσειεν ὕδατος· πλεονεξία γὰρ καὶ πάντων μὲν κρατεῖ, τῶν δ' ἀμφὶ τὰ τελωνεῖα καὶ μάλιστα. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (474.)

Δύω φύλλων ἅμ' ἐλθόντων ἐκ τοῦ τυπογραφείου, οὐκ ἂν ἱκανοίμην ἐπιδιορθῶσαι ἀμφότερα τήμερον, ἀνάγκης οὔσης καὶ πρὸς ὑμᾶς μέρος τῆς ἡμέρας μερίσασθαι· Ἐπειδὰν τοίνυν τάχιστ' ἐξηγησαίμεθα τὰ συνήθη μαθήματα, σπεῦσον οἴκαδ' ὡς ἐμὲ, ἵνα τὸ μὲν αὐτὸς, τὸ δὲ ἐγὼ ἐπιδιορθοῖμεν· οὐ γὰρ ἂν βουλοίμην αἰτίαν δοῦναι τῷ Κορομηλᾷ καταμέμφεσθαι ἡμῶν τὴν βραδύτητα. Ἔῤῥωσο.

Ἰωάννῃ. (475.)

Κἀπὶ πάντων δικαιοσύνη καλὸν, καὶ ἡνίκα τὶς ἐθέλοι τὰ ἑαυτοῦ διανεῖμαι οὐχ' ἥκιστα· δεῖ γὰρ δὴ, οἷς δεῖ, καὶ ὅπως δεῖ, μέτρῳ καὶ στάθμῃ ἐπαρκεῖν δεομένοις· τὸ δ' ἄκοσμον καὶ εἰκαῖον ἐπίμεμπτον πανταχοῦ, τοῖς μὲν ἐξ ἐλαχίστων ὁρμωμένοις πλεονάζειν, τοῖς δὲ πλειόνων δεομένοις ἐλλείπειν· Σὺ δ', ὦ βέλτιστε, παῖδας μήπω γεινάμενος, καὶ ἐσκλήρυνας τοῦ αἰτήσασθαι· λαβὼν γὰρ τὰ πρῶτα, νῦν οὐκ αἰτεῖς, ἀλλ' ἀπαιτεῖς καὶ τὰ δεύτερα, καί περ εἰδὼς πολλοὺς μὲν τοὺς θεριστὰς, ἐλάχιστον δὲ τὸ θέρος· τοὐμὸν γὰρ χωράφιον, οἷον μόνοις τοῖς ἐν τοῖς σχολείοις παρέχειν ἀμήσασθαι, καὶ τούτοις οὐχ ὥσθ' ὅλον ἐπιόντ' ἀπερύκειν λιμὸν, ἀλλ' ὅσον ἐπικαλαμωμένους ὁπωσδήποτε ἀποζῆν, μέχρις ἂν θεὸς παρασχὼν ἡμῖν ποθεν πρώϊμον καὶ ὄψιμον ὑετὸν, θεραπεύσῃ τὸ πάθος· χίλια γὰρ ἐξ ἑκάστων, ἢ καὶ πλείω ἐνίων, τυπωθέντα ἀντίτυπα, τίσι πρώτοις δωρηθήσεται ταῦτα, τοῖς τ' ἐκτὸς καὶ ἐντὸς τοῖς Ἑλλάδος φιλομαθέσι διανεμόμενα; Ἐπὶ τούτοις οὖν ἀρκούμενος, οἷς ἔχεις λαβὼν, μὴ μέμφου, εἶτω καὶ πλείω, ὡς πλειόνων τυχὸν δεομένῳ, δεδώρηται. Ἔῤῥωσο.

εἴη· κἀπειδὰν προκύψωσι τῶν πιεστήρων καὶ τἄλλα, τότ' οὐκ ἐθ' ὁμοίως αἰτῶν, ἀλλ' ἀπαιτῶν λαμβανέτω. Ἔῤῥωσο.

Γεωργίῳ. (479.)

Τὰς μύλας τῶν Λεόντων συνέθλασεν ὁ Κύριος, φησὶν ὁ ἱερὸς ψαλμογράφος· ἐμοὶ δὲ γῆρας βαρὺ ἐπενεγκοῦσα ἡ φύσις, οὓς μὲν τῶν ὀδόντων, καλῶς ποιοῦσα, ἐξεῖλε ῥιζηδὸν, ὥστε νῦν μηδεμιᾶς αἰσθάνεσθαι ἀλγηδόνος· οὓς δὲ ἐκ μέρους συνθλάσασα περιεῖλεν, ἐν τούτοις κατέλιπέ μοι πολλὰ πάσχειν ἄλγεα· οὔτε γὰρ σύμπαντας ἀφελεῖν μου, καιρὸν ἤδη ἔχουσα, κατηξίωσεν ἐς ἀπόγνωσιν, οὔθ' οὓς ἔτι ἐᾷ, ἀναλγήτως συγχωρεῖ κατά γε τούτους ἐπιβιῶναι, ἡνίκα κἀμὲ αὐτὸν ὤφειλε μάλιστα συγκαταναλῶσαι, ἵνα μηκέτ' ἐν οὐδῷ νῦν τοῦ βίου ἀηδεστέρου τοῦ φωτὸς ἀπολαύω, ὃ ἥδιστον ἑωρακὼς διεβίωσα· τοῦτο γὰρ τῶν ἐμῶν πόνων οἶδα δῶρόν μοι γεγονὸς τὸ ὡς ἐλάχιστον λελυπῆσθαι, καὶ ἐλαχίστας εἰληφέναι τὰς μετανοίας ἐς τὴν ἡμέραν ταύτην. Οὐκοῦν ἀναμενῶ ἔτι χρόνον οὐ πλείω, ἢ ὅσον ἐπαρκέσαι μοι τέλος ἐπιθεῖναι, οἷς νῦν ἐργάζομαι τελευταίοις· εἶθ' οὕτως ἡρώων μιμησάμενος τόλμημα, ἐς τὴν ἑτέραν αὐτομολήσω λῆξιν, δόγματι ἀποκαρτερίας ἐν τρισὶ τὸ πλεῖστον ἡμέραις ὑπερπηδήσας τὸ ἐν μέσῳ μεταίχμιον. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (480.)

Τῆς ἐπιστολῆς τὸ μὲν σπουδαῖον, ὡς μέτρον τὴν χρείαν ἔχον, γνώμῃ σεμνῇ χαίρει μάλιστα· ὃ δὲ πρὸς διατριβὴν πεπραγμάτευται, ἄχαρι καὶ ψυχρὸν, εἰ μὴ καὶ ἀστεῖόν τι οἱονεὶ καρύκευμα περιέχει· τί οὖν ἐπτόησαι, εἴτι μοι πρώην πρὸς σὲ ὡς πρὸς φίλον κεκόμψευται, ἡρωϊκῶν τολμημάτων μνησθέντι, ὃς οὐδ' ἀσταρίου μικροῦ γενναίως τὸν πόνον ὑπήνεγκα; ἢ οὐκ οἶσθ' ὅλως τὸν ἄνθρωπον πάντων τῶν ζώων

ἱερέων παιδεία, ᾧ δοκοῦμεν μάλιστα λείπεσθαι· καὶ οὐ μήθ' ἡ Ἀρχή πω φροντίδα πεποίηται, μήθ' ἡ ἱερὰ Σύνοδος ὅλως ἐνεθυμήθη· δῆλον γὰρ ὅτι, μέχρις οὗ ὁ ἱερὸς Κλῆρος οὐ χρησμῳδεῖ, ἐπὶ τὸν ἱερὸν ὀκρίβαντα ἀναβὰς, τὰ μυστικὰ θεοπρόπια οὐκ ἂν, οὔτε εἰ τῶν τοῦ Κροίσου θησαυρῶν κύριοι κατασταίημεν, οὔτ' εἰ γῆν τε καὶ θάλασσαν ναυσί τε καὶ ὅπλοις καλύψαιμεν, πλέον τι παρὰ τοῖς ἄλλοις τῶν ἐθνῶν ἀξίωμα σχοίημεν, πλὴν ὅτι πλούσιοι μὲν τυχὸν καὶ δυνατοὶ εἴημεν ἄν· τὸ δ' ἦθος ἄλλως βάρβαροι καὶ δεισιδαίμονες Ἕλληνες· ἐὰν γὰρ τὸ ἅλας μαρανθῇ ἐν τίνι ἁλισθήσεται; Καί τοι νῦν ἐκεῖνα μὲν, ὧν οὐδ' ἂν ἐλπὶς εἴη ὑμῖν προσγενήσεσθαι, ἀλλὰ τῇ γε φαντασίᾳ διώκοντες οὐ παυόμεθα· τοῦτο δὲ δυνατόν γε ὂν, καὶ κείμενον ἐφ' ἡμῖν, ἀθέως τε καὶ ἀφρόνως πάνυ γε προϊέμεθα· τοιοῦτον γὰρ πλοῦν οἱ τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐμπεπιστευμένοι τοὺς οἴακας δοκοῦσιν αἱρεῖσθαι, μέχρις ἂν, τοῦ δυστυχοῦς ἡμῶν πλοιαρίου εἰς τραχυτέρας ἀκτάς ποτε ἐξοκείλαντος, μηκέτ' ἐξῇ μηδ' αὐτὰ τὰ ναυάγια περισώσασθαι· παντὸς μὲν γὰρ ἄλλου προσποιοῦνται ποιεῖσθαι φροντίδα ἐπὶ βελτιώσει, (κἂν συμβαίνῃ κἀν τούτοις τὸ ἐναντίον) περὶ δὲ τῆς παιδείας καὶ εὐκοσμίας τῶν ἱερέων, ὅθεν ὤφελον ἄρξασθαι οἱ τοῦ ἔθνους τὴν προστασίαν εὑράμενοι, οὐδὲ γοῦν δευτέρας φροντίδος ἠξίωσαν, ὡς μηδὲν τούτου συμβάλλοντος εἰς ἔθνους βελτίωσιν. Ταῦτ' ἐλεεινὰ λίαν, ταῦτ' ἐπικαλεῖται οἶκτον τοῖς Ἕλλησι τῷ μηδένα εἶναι ἐν αὐτοῖς τῶν ἐν ἀρχαιρεσίαις πρωτευόντων, ὃς ἀπό τε γνώμης ὀρθῆς, καὶ ἀπὸ τοῦ κοινῇ συμφέροντος μόνου ὁρμώμενος, τῶν τ' ἄλλων καὶ τῶν τῆς Ἐκκλησίας φροντίδα ποιήσεται, ὃς δ' ἦν μόνος ἡμῖν ἱκανὸς, ὃς ἦν ἀξιόχρεως ἐκ λόγου καὶ ἔργου ἀποκαταστῆσαι τὴν Ἐκκλησίαν εἰς τὴν ἀρχαίαν σεμνότητα, τοῦτον λαβόντες οἱ τῆς Ἑλλάδος ἀλάστορες ἔκανον ἐν τῷ ναῷ τοῦ θεοῦ, ἵνα μετ'

τὸν στέφανον τοῦτον, δρῶ τοῦθ' ὅπερ δύναμαι, λόγῳ μόνῳ, καὶ τούτῳ ἀβληχρῷ λίαν, τὰ καλὰ τοῖς τῶν καλῶν ἐρασταῖς ἐπαινῶν τε καὶ συνιστῶν. Ἔῤῥωσο.

*Διονυσίῳ καὶ Μεθοδίῳ.* (482.)

Τῶν μαθητιώντων τούς γε γλιχομένους φιλολόγους γενέσθαι, καὶ τοῦτο τοῦ βίου ποιήσασθαι τέλος, οἷοί εἰσι μάλισθ' οἱ τὸν μοναδικὸν περικείμενοι τρίβωνα, τούτους οὐκ αἰτεῖν δίκαιον, ἀλλ' ἀπαιτεῖν παρ' ἡμῶν τὰς διανεμομένας τῶν βίβλων· μηδὲ δεομένους, ἀλλ' ἀξιοῦντας καὶ κελεύοντας μάλιστα, ὡς αὐτοὺς διαδεξαμένους τὴν τῶν Ἑλλήνων βελτίωσιν ἐν τῷ μέλλοντι, ἡμῶν αὐανθέντων ἤδη καὶ απομαρανθέντων, καὶ εἴ τις εἴποι, καὶ ἀπομωρανθέντων ἐς τοὔσχατον, οὗ ... ὦν ἀμάρτοι. Τρέχετε τοίνυν, ὦ γενναῖοι, σπουδαιότερον τὸ ἱερὸν τοῦτο στάδιον, τὸν προκείμενον ὑμῖν ἀγῶνα ἐνδόξως ἀγωνιζόμενοι, καὶ πρὸς ἓν ἀποτεινόμενοι τέρμα, ἀφ' οὗ πᾶσα ἐλπὶς τὴν τῶν προγόνων ἀνασώσεσθαι εὔκλειαν. Λαβόντες οὖν παρὰ τοῦ τὰ ἀνὰ χεῖρας ὑμῖν κομίσαντος γράμματα τήν τε Τετρακτὺν καὶ Ξυνωρίδα, τὸν Σοφοκλέα, καὶ Εὐριπίδην, ἀνὰ ἓν ἀντίτυπον ἐξ ἑκάστων ἑκάτερος, μὴ ἐπιλανθάνεσθε προσαπαιτεῖν ἐν καιρῷ, καὶ ἃ μέλλει ἔτι προκύψειν τῶν πιεστήρων. Ἔῤῥωσθε.

*Νικηφόρῳ.* (483.)

Ἧκέ μοι γράμματα παρὰ σοῦ, τά τ' ἄλλα καλῶς ἔχειν σοι ἐξαγγείλαντα, καὶ ὅτι προστέταξαι ἀπιέναι ἐς Σπάρτην τὴν Ἑλληνικὴν παιδείαν τὴν νεολαίαν αὐτοῦ διδάξων. Χαίρω οὖν ἐπὶ τούτοις, οὐχ ὅπως τὴν τῶν ἀπογόνων τῶν θαυμαζομένων πάλαι ἡρώων βελτίωσιν ἐμπεπίστευσαι, ἀλλ' ὅτι καὶ ἅ ποτ' εἰλήφεις τῶν λόγων σπέρματα παρ' ἡμῶν, πρό-

καὶ οὕτως ἡμᾶς δεῖ ποιεῖν, τοὺς ἐν λόγοις καὶ πράξεσι τῶν ἀρχαίων διαπρέψαντας μιμουμένους, εἰ μήτις ποτὲ πρὸς τυράννους ἀναγκάζοιτο ψεύδεσθαι· οἷον πεπόνθαμεν καὶ ἡμεῖς πόθ', ὡς μὴ δυνάμενοι ἄλλως ποιεῖν, ὡς ἐν τυραννίᾳ, ὃ παρὰ θεοῦ προστεάγμεθα. Οὕτως οὖν, φίλτατόν μοι μειράκιον, γράφε αὐτὸς ὡς ἡμᾶς, μήτε παντάπασιν ἀκορήτως (τὸ γὰρ ἐπίπαν ἄτεγκτον ἄγρικον) ἀλλά γε φειδομένως χρώμενος τῷ ἐπαίνῳ· καί τοι ἔπαινος ἔμοιγε ἀσπαστὸς καὶ θυμήρης τὸ καλῶς ὑμᾶς καὶ ὀνησίμως τοῖς ἐμοῖς πόνοις χρῆσθαι, κρείττους ἑαυτῶν ἀεὶ γιγνομένους, καὶ τῆς τῶν προγόνων ἐχομένους εὐκλείας· Οὕτως οὖν ποίει· ἃς δὲ τῶν ἐμῶν οὔπω εἴληφας βίβλους, ἁπάσας ἕξεις, ἐπειδὰν προκύψωσιν εἰς τὸ φῶς· διὰ γὰρ τοιούτους τά θ' ἑαυτῶν καὶ ἡμᾶς αὐτοὺς ἀναλίσκομεν. Ἔρρωσο.

## *Γεωργίῳ.* (486.)

Φορὰν λῃστῶν, ἄλλων ἄλλοθεν εἰσβαλόντων κατὰ τὸ ἀνατολικώτερον τῆς Ἑλλάδος φασὶ γενέσθαι, καὶ δὴ κἀν τῇ Στηλίδῃ οὐκ ὀλίγους ἀποθανεῖν, τῶν πολιτῶν ἐκείνους ἀμυνομένων· ὃ δὲ χείριστον· φασὶ γὰρ καὶ τῶν ἡμετέρων περιπόλων πολλοὺς μεταστῆναι ἐν αὐτῷ τῷ ἔργῳ πρὸς τοὺς λῃστάς, καὶ νῦν ὡς ἀπὸ μείζονος δυνάμεως ἐπὶ μείζω ἐπαίρεσθαι. Εἴη μὲν οὖν ταῦτα ψευδῆ, ἀλλ' ἡμῖν γε ἀναβλητέον τὴν τῶν βίβλων ἀποστολὴν πρός γε τὰ ἀνατολικώτερα τῶν σχολείων, καίτοι κἀπὸ τῶν δυτικῶν νέφος τι συνεστηκὸς κἀκεῖθέν φασιν ἐκραγήσεσθαι· καὶ δέος, μὴ ἅπερ πεπόμφαμεν πολλαχῇ ἐπὶ σωτηρίᾳ, χρησιμώτερα γένηται λῃσταῖς πρὸς τὰ ὅπλα· τοῦτο γὰρ ἔπαθον κἀν τῇ πολιορκίᾳ τῶν Ἀθηνῶν, ἅπερ πέμπτον καὶ εἰκοστὸν μάλιστα τοῦτο ἔτος ἐκ Βιέννης, χαριζόμενοι Μούσαις, ἐπέμψαμεν. Ἔρρωσο.

γαι ἐκτελέσαι τὸ προσεταγμένον, ὡς μὴ εὑρὼν τότε τὸν παραληψόμενον καὶ κομίσοντά σοι τὰς βίβλους· ἀλλὰ νῦν γ' ὑποσχομένου τοῦ Χριστοφίδου παραπέμψαι σοι ταῦτ' ἀσφαλῶς, τοσοῦτον παρέδωκ' αὐτὰ αὐτῷ προθυμότερον, ὅσον ἐν ἐκείνοις ἔδοξα ἀτυχέστερος. Δέξαι, ἱερὲ Πάτερ, ἀντὶ τῶν αἰτηθέντων δύο ἀντιτύπων, σεαυτῷ τε καὶ τῷ ὑπὸ σοῦ διδασκομένῳ παιδὶ, ἀνὰ τρία ἐξ ἑκάστων μέχρι τοῦ Εὐριπίδου, ὅπως ᾖ σοι ἀπὸ τούτων ἐπιδαψιλεῦσαι χ' ἑτέροις, εἴ τινες εἶεν τῶν διδασκάλων τοιούτων βίβλων δεόμενοι. Ἐπειδὰν δὲ προκύψωσιν ἐς τὸ φῶς καὶ τὰ δεύτερα, αἰτεῖτε διὰ τοῦ αὐτοῦ, καὶ δοθήσεται· τιμῶ γὰρ ἄγαν σοφὸν ἱεράρχην· ὅς τις μόνος λέγει πρακτικῶς, καὶ πράττει λογικῶς. Ἔρρωσο.

Γεωργίῳ. (489.)

Ἀλέξανδρος ὁ Κωντόσαυλος, δοκιμασίαν τῶν ἑαυτοῦ παιδίων βουλόμενος ἐν τοῖς πρώτοις τῶν μαθημάτων ποιήσασθαι, ἀπὸ πλείστης παρασκευῆς ἐς τοῦτο πεφιλοτίμηται ἐπιδείξασθαι· πολλοὺς γὰρ ἄλλους τε καὶ διδασκάλους προσκαλεσάμενος πρὸς τὴν θέαν, καὶ ἑστιᾶν αὐτοὺς ἀξιοῖ· καὶ δὴ κἀμοῦ ἐδεήθη, συμπαραλαβόντα καί σε, συνεξεταστὰς καὶ συνδαιτυμόνας χ' ἡμᾶς γενέσθαι· ἐμοὶ δ' οὖν βαρὺ μὲν τοῦτο διὰ γῆράς ἐστιν ἐκδεδιῃτημένως γαστρίζεσθαι· ὑπερβασίαι γὰρ ἐν πᾶσι σφαλεραὶ τοῖς γεγηρακόσιν· ἀλλ' οὖν καὶ χαρίζεσθαι δεῖ ποτε τὸν βουλόμενον μὴ παντάπασιν ἄγροικον εἶναι καὶ ἀκοινώνητον, καὶ ταῦτα νῦν ἀπὸ αἰτίας καλῆς τῆς ἑστιάσεως γιγνομένης. Αὔριον τοίνυν ἅμ' ἐξελθόντες τῆς Ἐκκλησίας, ἴωμεν. Ἔρρωσο.

Κωνσταντᾷ. (490.)

Οἶδα μὲν αὐτουργῶν γονέων γενόμενος, μὴ δυναμένων ἐπαρκέσαι μοί τι πρὸς παιδείαν ἀξίως· ἀλλ' ὀλίγ' ἄττα παρ'

στίθησι τέλειον. Μὴ θαύμαζε τοίνυν, εἴτινες τἀμὰ ἐπικρίνοντες, ἀπειροκαλίαν πολλὴν αὐτῶν καταχέουσιν· ἀληθῆ γὰρ ἐς ἐν οἷς αὐτῶν ἡμῶν καθικνοῦνται, κἂν ἄλλως ἀδικῶσιν, ἀπὸ βασκάνου ὁρμώμενοι ὀφθαλμοῦ· φθόνος γὰρ ἕρπει ἀεὶ πρὸς τοὺς ζῶντας· καί τοι καὶ οὗτος, κακὸν ἄλλως ὤν, ἀγαθὸν πολλάκις γίγνεται πρὸς τὰ πράγματα, εἰς ζῆλον ἑτέρῳ γε λόγῳ μεταμορφούμενος· ἔπαθον γὰρ κἀγώ ποτε τοιοῦτό τι πρὸς Γρηγόριον τὸν Κωνσταντᾶν· ὃς πρῶτος Ἕλλην πρὸς Ἕλληνας Ἕλληνα συγγραφέα, τὰς τοῦ Συνεσίου ἐπιστολὰς, μετὰ σημειώσεων οὕτως ἐξέδωκεν· ἀλλ᾽ ἅμα ἐνιδὼν καὶ τὸ ἀπὸ τούτων ὀνήσιμον, ἐκινήθην εἰς μίμησιν· καὶ τυχὸν συνεισήνεγκα τῷ κοινῷ ὁτιδήποτε τελειότερον. Οὕτως οὖν καὶ αὐτοὶ, οὓς φῂς βαρεῖς ἡμῶν κριτὰς γεγενῆσθαι, ούμενοῦν τῆς καθ᾽ ἡμᾶς ἀμαθείας, τῆς δὲ προθυμίας γενόμενοι ζηλωταὶ, προστιθείτωσαν ταῖς ἑαυτῶν ἐμπειρίαις τὸ τέλειον, οἷς ἂν πονέσωσιν· ἵνα θεῷ αὐτῷ κατὰ τοῦτο γενόμενοι ὅμοιοι, ὑμνῶνται παρ᾽ ἡμῶν ὡς τοιοῦτοι, θυσιῶν τε ἀξιούμενοι, καὶ πάσης ἄλλης τιμῆς καὶ λατρίας τυγχάνοντες· ἄλλως δὲ οὔτ᾽ αὐτοὺς ἐθέλειν πονεῖν, καὶ τῶν πονούντων πλατὺν φλήναφον καταχεῖν, κύων ἐστὶν ἐν φάτνῃ. Ἔῤῥωσο.

*Γερασίμῳ.* (492.)

Καί περ ἐν ἀγνοίᾳ ἀλλήλων, ἀλλ᾽ οὖν ἐξ ὧν μοι ἐπέστειλας, ἔγνων σὲ τῶν τε πεπαιδευμένων ὄντα, καὶ τὰ παρ᾽ ἐμοῦ ἐκδιδόμενα περὶ πλείστου ποιούμενον κτήσασθαι, ἀπορεῖταί μοι δ᾽ ὅμως, ὅπως τοιοῦτος ὢν, ἐβράδυνας ἐλθεῖν ἐπὶ τὴν δωρεὰν, πολλῶν γενόμενος ὕστερος ὁ πολλῶν πρῶτος ἐν λόγοις ὤν. Ἀλλ᾽ ἐπειδὴ ὁ Κύριος τῷ ἰδίῳ ἑαυτοῦ ἐνετείλατο παραδείγματι καὶ τὸν πρῶτον ἐλεεῖν καὶ τὸν ὕστερον θεραπεύειν, δέξαι καὶ αὐτὸς τὰ ἴσα τοῖς τε πρώτοις καὶ μέσοις

19*

τοὺς δ' αὖ τοὐναντίον πάνθ' ἁπλῶς Ἑλληνιστί, ἑκατέρους ἀμίκτως ἑκάτερα· ἀλλὰ ποῖον ψεῦδος τοῦθ' οὕτω πέλωρον φύγεν ἕρκος ὀδόντων; καὶ τίς ποτ' ἀκήκοεν, ἢ ἑώρακε τοῦτο πώποτε; καί τοι τοὺς μὲν πρώτους ἴσμεν πως καὶ εἰπόντας τοῦτο, καὶ πράττοντας, ὃ εἰρήκασιν, Ἀρχαίως μὴ γράφειν· τοὺς δὲ δευτέρους οὔτ' εἰπόντας, οὔτε πράξαντας· τοὐναντίον δὲ, ἃ ἂν γράφωσι καὶ πρὸς οὓς, ἀμφοτέραις ταῖς φωναῖς, ὅπῃ δὲ ἑτατέρᾳ προσήκει, κατὰ τὴν χρείαν χρωμένους· ἄλλως γὰρ πῶς ἂν διοικηθείη ὁ βίος; πῶς δὲ καὶ ἡ νεολαία προβαίη, ἀπὸ τῶν ἀσαφῶν ἀρχομένη; πῶς δὲ καὶ ἐμπόριον ὀρθωθείη, ἡμιμαθῶν πρὸς ἁπλῶς πολλάκις ἀμαθεῖς γραφόντων Ἑλληνιστὶ; καὶ τὶς ἂν γράψειεν οὕτως, ὁπότ' οὐδὲ τῶν ἐπαγγελλομένων ἐξηγεῖσθαι τὴν γλῶτταν ο πλείους τοῦτ' εὐστόχως πράττειν ἐπίστανται; τὶ δ' ἂν εἴποιμεν καὶ περὶ τῶν ὑπὸ τῆς ἀρχῆς ἐκπεμπομένων διαταγμάτων; τίνες πρὸς ποίους εἴτε δήμους, εἴτε ἰδιώτας, ἐν τῇ ἀρχαίᾳ ταῦτα διαδιδοῖεν φωνῇ; οὐκ ἔστι ταῦτα· οὐδ' ἂν δείξειας ἄρα τὸν τὴν ἀνόητον γνώμην εἰπόντα ταύτην, ἀλλὰ συκοφαντικὸν τοῦθ' ὑπὸ τῶν Κοραϊστῶν τὸ πρῶτον τολυπευθὲν, εἶθ' οὕτως ἄλλως παρ' ἄλλου ἀβασανίστως παραλαβόντες, ἐξήνεγκαν καὶ γραφῇ πρὸς ὦτα διεφθαρότα προλήψει, ἵν' ἀκούσαντες μὴ ἀκούωσι, καὶ συνιέντες μὴ συνιῶσι· φορὰν γὰρ πολλὴν τῶν τοῦ πράγματος καταφερομένων ὁ πρώην ἤνεγκε χρόνος. Τοῦτο τοιγαροῦν ἔοικας παθεῖν καὶ αὐτὸς, οὐκ ἐκ τῶν γεγραμμένων, ἀλλ' ἐξ ὧν θρυλλοῦσι κατὰ φατρίας οἱ μηδέποτε περὶ βελτιώσεως γλώσσης σκεψάμενοι, ψευδῆ οὕτω δόξαν παραδεξάμενος, ἠξίωσας εἰς τοὺς μεθ' ἡμᾶς παραπέμψαι· ὃ καὶ ἄλλοι τινὲς ἐντ' Ἐφημερίσι, καὶ ἐν συγγραφαῖς ἰδίαις πεπονθέναι | δοκοῦσιν, ἐκ φήμης

καθ' ἅλμα ἡρωϊκὸν ἀναπηδῶν παρ' ἐλπίδα, κοσμήματα ταῦτα ἡγῇ εἰσαγηοχέναι τῷ λόγῳ· καίτοι οὐκ ἐχρῆν· τὸν γὰρ περὶ σπουδαίων οὕτω νομοθετοῦντα εὐθὺν εἶναι δεῖ, ὡρισμένως κἀπὸ τῆς αὐτῆς ἀρχῆς περὶ ἑκάστων ἀποφαινόμενον, μηδὲ δίκην ἀμφισβαίνης βαίνειν ἀμφιῤῥεπῶς, ἢ τὰ πάθη νομοθετοῦσιν. Εἰ δ' αὖ διαφόρως, ἐκεῖνο βουλοίμην ἂν μάλιστα μαθεῖν παρὰ σοῦ, ἐν τίσι μὲν τῇ ἀρχαίᾳ, ἐντίσι δὲ τῇ νεωτέρᾳ τοὺς Ἕλληνας χρῆσθαι δεῖ· ἄλλως γὰρ ἀόριστα λέγειν, καὶ κατὰ τοὺς ἐγχέλεις ἀφ' ἑτέρων ἐφ' ἕτερα ὀλισθαίνειν, τοῦτο καὶ τοῦ παντὸς μὲν, ἀλλ' οὐ ποιεῖ ἐπιστήμην, Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (494)

Πολλοὶ μὲν περὶ ἐπανορθώσεως τῆς τῶν Ἑλλήνων γλώσσης, οἱ μὲν λόγῳ, οἱ δὲ καὶ γραφῇ ἀπεφήναντο γνώμην· ὅπως δ' ἂν ἐς τοῦτ' ἀφικοίμεθα ῥᾷον, ἄλλως ἄλλα νομοθετήσαντες, οὐδένες οὐδὲν εἰρήκασιν ἄξιον· οἱ μὲν γὰρ αὐτῶν, εἰ τῆς ἀρχαίας ἀποσχόμενοι, ἐν τῇ νεωτέρᾳ φιλοσοφοῖμεν, ἐν τούτῳ ταύτης τὴν βελτίωσιν ὥρισαν· ἕτεροι δὲ, ἄγαν ἄτοπον τοῦτ' οἰηθέντες, μαθεῖν μὲν ταύτην συνεύουσι, γράφειν δ' οὔ· οἱ δ' αὖ πάλιν, ἀορίστως καὶ οὗτοι ἐπιθορυβοῦντες, ῥέπουσιν ἐφ' ἑκάτερα

„Ἆρ' ἔστιν, ἆρ' οὐκ ἔστιν; ἡ γνώμη πλανᾷ.
„Καίφημι. κἀπόφημι, κοὐκ ἔχω τί φῶ.

ὁδὸν δ' ὡρισμένην, ἥπερ ἀπονώτερόν τε καὶ συντομώτερον, καὶ ἄνευ πολλῶν πραγμάτων ἔχοιεν ἂν ἡμᾶς ἐπὶ τὴν τοῦ πράγματος θήραν, οὐδὲ τούτων τις ἔδειξεν ἡμῖν οὐδεμίαν· καί τοι, εἴγ' ἐθέλοιμεν βαίνειν ἀπλανῶς πρὸς τὸ πρᾶγμα, καὶ τυχεῖν ἀληθῶς, οὗπερ καταστοχαζόμεθα, ἐκεῖνο δεῖ πρῶτον πάντων εἰδέναι, ὅτι ὥσπερ πᾶν τὸ γιγνόμενον, ἐξ

φύσει, καὶ τῶν ἀσυμφύλων δεῖν ἔφης ἀναρριχᾶσθαι, τίποτε μαθὼν, μέμφῃ μὲν τὸ *Ἀγνοεῖν*, καὶ τὸ *Δύνασθαι*, αἰρῇ δὲ δὲ τὸ τρισβάρβαρον *Ἠμπορεῖν, καὶ Ξεύρειν, καὶ Πέρνειν*, τὰ πανταχόθεν λελωβημένα καὶ κατεστιγμένα; καὶ μὴν ἴσμεν ὅτι, ὥσπερ τὸ μεταβάλλον μεταβολῇ μεταβάλλει, οὕτω καὶ τὸ βελτιούμενον οὐκ ἂν ἄλλως ἢ βελτιώσει βελτιωθείη· τὸ γὰρ ὕδωρ οὐκ ἂν ζέοι, ἢν μὴ πρότερον ἐπείξει πυρὸς γένηται χλιαρόν. Οὕτως οὖν καὶ ἡ γλῶσσα μακαρονίζουσα, (συγχωρείσθω μοι τοὔνομα) τὸ τέλειον λήψεται· πῶς γὰρ ἂν ἄλλως; ἔστι δὲ Μακαρονισμὸς τοῖς γε φρονοῦσιν γλώσσης ἀνόρθωσις ἐκ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον ἀγομένης. Ἀπέχου τοίνυν, ἅπερ ἐν ἄλλοις ὤφθης καλῶς εἰπὼν, ἐπίηρα ἴσως φέρων τοῖς εὐνοοῦσι, ταῦτ' αὖθις διαχλευάζειν, εἴτῳ ποτε τυγχάνεις ἀπεχθανόμενος· Ἃ δὲ Λουκιανὸς ἔφθη κατειρωνευσάμενος τὸ, Κᾶττα, καὶ Ἄττα, καὶ Μᾶττα, καὶ οὐκ οἶδ' ὅ,τι ποτ' ἄλλο οἱ τοῖς τῶν τοιούτων προφάσεως εἰλημμένοι συνείρωσι, ταῦτ' οὐ πρὸς τοὺς φιλοκάλους αὐτῷ ἐκτετόξευται· ἀλλὰ πρὸς τοὺς καθ' ἡμᾶς μᾶλλον ὄντας ἀπειροκάλους τούτους καὶ κακοδαίμονας τοὺς πλαστουργοὺς τῶν, Ἐνῷ, ἐνόσῳ, ἑωσοῦ, μεχρισοῦ, μολονότι, μολοντοῦτο, μολαταῦτα, πασένας καταδυστυχίαν, ἐγγένει, ἐμπρώτοις, προστούτοις, ἐπιτούτοις, τηνσήμερον, μεχριτησήμερεν, ὡσεπιτοπλεῖστον, ἄλλα μυρία, ἐῶ δὲ τὰ ἔωλ' ἐκεῖνα, ἀμὴ καὶ ἀμμὴ, τὸ γενῆν', τὸ ἀναβῆν' καὶ ὅσα, ὁ χρόνος, ἱκανῶς τῆς ἀποφορᾶς αὐτῶν ἐμπλησθεὶς, νῦν ἐπιλαβὼν τὴν ῥίνα, κατὰ μικρὸν ἀποστρέφεται, εἰδὼς ταῦτ' οὐδὲν ἄλλο ὄντα ἢ κιλῖδας τῆς γλώσσης καὶ κωλύματα φανερὰ, πρὸς ἃ σπεύδομεν· Τὸ δὲ λέγειν αὐτοὺς πρὸς τοὺς ἀμαθεῖς τὰ τοιαῦτα ἐπιτηδεύειν,

» Γινώσκω, φρονέω, τά γε δὴ νοέοντι κελεύεις.

τὸ θωπευτικὸν, πρεσβεύει πανταχοῦ τἀληθὲς ἐκ παῤῥησίας ἀπλάστου, ἠναγκάσθην ἔτι καὶ νῦν προσθεῖναι καὶ ταῦτα τὰ γράμματα. Χθὲς γὰρ ἅμ' ἕῳ, μηδεμιᾶς μοί πω ἀσχολίας ὑπούσης, τῶν τυπογράφων ἐκ παρεμπεσούσης ἑορτῆς ὑστερησάντων τῶν συνήθων ἅψασθαι ἔργων, ἐνέκυψα αὖθις τῇ βίβλῳ τῇ σῇ· (ἥδομαι γὰρ, καίπερ ἐκ διαλειμμάτων ἀναγκάζομαι τοῦτο ποιεῖν, διερχόμενος σοφὰ παραγγέλματα) διελθὼν τὴν κά- σελίδα ἐνέτυχον, οἷς ἐκπαιδεύεις τοὺς μεταφραστάς. Τούτων δ' οὖν ἃ μὲν ξυνῆκα γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ ξυνῆκα· ὅδ' ἄπορον ἔδοξέ μοι, τοῦτο ἤδη ἐρῶ· εἰ γὰρ τοὺς ἐξ ἀλλοτρίας εἰς τὴν ἡμετέραν τὴν μετάφρασιν ποιουμένους, οἷς εἴτε προλήψει τῆς, ἀφ' ἧς· εἴτ' ἀπειρίᾳ τῆς, εἰς ἣν μεταφράζουσι, δυσχερές ἐστιν, οὐρίῳ πλεύσαντας διὰ πάσης, μὴ περιπεσεῖν καὶ ὑφάλοις, ἀλλ' οὖν μεμφόμεθα τούτους· ἤπου γε ἀσύγγνωστ' ἂν εἴη τοῖς γε τὸ τῆς ἡμετέρας εἰς ἀλλότριον παραμορφοῦσιν εἶδος, ἐν οἷς τὰς ἑαυτῶν ἐς τὴν ἑαυτῶν γράφοντες γνώμας, συνιστῶσιν αὐτὰς καὶ τοῖς ἄλλοις· αὐτίκα γὰρ ἐν τῷ σῷ προοιμίῳ εὐθὺς ἐν ἀρχῇ, οὕτοι πρόσω, ἵνα μήτις οἰηθεὶς φυλλολογοῦντά με ἐκλέγειν τὰς τῶν θνητῶν συμφορὰς, ἀποπέμψῃ κἀμὲ εἰς τὴν τῆς Τραγῳδίας ἀράν. Ἐνταῦθα γὰρ ὡς κἀν τοῖς ἑξῆς ὁμοίως διὰ πάσης ἐπιπολάζει ἐπισήμως τὸ ἀλλότριον φύκος (καί μοι δέξαι τὴν παῤῥησίαν) τὴν τῆς ἡμετέρας παραμορφάζον εὐγένειαν· αὐτίκα γὰρ ἐν τῷ πρώτῳ παραγράφῳ τρεῖς ἐπεισαγαγὼν ἐπαλλήλους ἐννοίας, ἐπελάθου κακῶς ποιήσας, καὶ συνδῆσαι αὐτὰς Ἑλληνικῶς τοῖς προσήκουσι τῶν μορίων· ἀλλ' ἀσυνδιάσσως ἑξῆς, ἐπενεγκὼν, ὅπως ἔτυχεν, ἀφεῖλες τὴν ἀπ' ἀλλήλων συνάρτησιν, κἀντεῦθεν τὴν τοῦ λόγου σαφήνειαν· οὐδὲ γὰρ ἔχω κατανοεῖν πότερον, ἀπὸ τῆς ἡγουμένης ἢ ἑπομένης πηγάζει περίοδος, ἢ ἄλλως ἀνεξάρτητας,

τῷ πολυθρυλλήτῳ *Ἀμμή*· περὶ οὗ Νὴ τὸ Ἀμμὴ μεγίστη ποτὲ τοῖς Ἕλλησιν ἐγένετο κίνησις· οὐ γὰρ μικρὸν, οὐδ᾽ οἷον μὴ τὰ μέγιστα συμβαλεῖν τὸ φιλοσόφημα τοῦτο νῦν γ᾽ ἐλευθέροις οὖσι τοῖς Ἕλλησιν· εἶτα μικρὸν ἐπιστὰς, οὐκ ἐς μάτην ἄρα, ἔφην κατ᾽ ἐμαυτὸν, τοσαῦτα τῷ σοφῷ πεφιλολόγηται Κοραῇ· ἐγὼ δ᾽ ὁ δείλεος, ἀφιλόσοφος ὢν, καθυλάκτουν τότ᾽ ἐκ μέρους, ὥσπερ κυνάριον· εἶτ᾽ ἐκ τούτων εὐθὺς παρέπεμψέ με ἡ μνήμη εἰς τὸ *Πρωνόν*· καὶ γὰρ καὶ τοῦτ᾽ οὐ μικρὸν στοιχεῖον τῶν τὴν τῆς γλώσσης ἀνόρθωσιν συνιστώντων· ἀλλ᾽ οὐκέθ᾽ εὗρόν σε πιστὸν ὁμοίως κἀν τούτῳ τοῦ ἀνδρὸς ὀπαδόν· καὶ διὰ ταῦτ᾽, εἰ δεῖ εἰπεῖν τἀληθὲς, ἐμεμψάμην σε σφόδρα· ἀντὶ γὰρ τοῦ ἐκτετορνευμένου καὶ ἐπεξεσμένου τόρνῳ φιλοσοφικῷ *Πρωνὸν*, ἐπανέλαβες τὸ αὐτοσχέδιον αὖθις καὶ ἀκατέργαστον *Πουρνὸν*, *Πουρνιάτικον*, *Πουρνήσιον*· καί τοι οὐκ ἐχρῆν· ἔδει γὰρ πάνθ᾽ ὡς ἐκ τόρνου ἐξεσμένα καὶ λίαν περιττὰ ἐξάγειν αὐτά τε ταῦτα καὶ τὰ ἐκ τούτων παράγωγα, πρὸς τὴν τῶν Ἄγγλων περὶ τὰ τεχνητὰ δεξιότητα ποιουμένους τὴν ἅμιλλαν· τί γὰρ ἂν εἴποι ὁ χύδην ἄνθρωπος, εἴγ᾽ ἀκούσειεν, ὅτι ἀνατρέπει τὰ πρῶτα τῆς αὐτοῦ φιλοσοφίας στοιχεῖα, τριακοστῷ ἤδη ἐκδεδομένα σοφοῖς καὶ ἀγραμμάτοις τοῖς Ἕλλησι; καί τοι νῦν καὶ οὗτοι, παρήκοοι οἱ ἄθεοι τῶν παραγγελμάτων ἐκείνου γενόμενοι, κἀπὶ μείζω, ὡς Ἴκαρος, πτερυγγίζοντες, πρὸς τὸ *Ἀγνοεῖν* καὶ *Δύνασθαι* κατατείνουσι, τοῦ *Πρωνὸν* καὶ *Ἀμμὴ* καὶ τῶν τοιούτων κωμικῶς εἰπεῖν καταπέρδοντες. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (497.)

Τῶν διδαξάντων περὶ γλώσσης ἄλλοι ἄλλους πρὸς τὰ ἑαυτῶν εἵλκυσαν δόγματα· οἱ μὲν, πλείους· οἱ δὲ, ἐλάττους· δῆλον δ᾽ ὅτι πλείους μὲν οἱ ἐπὶ τὰ ῥᾴω καὶ καινοφανέστερα

τὸν Ἕλληνα λόγον περὶ πλείστου ποιούμενον; εἰδέ τι δοκῶ καὶ ὑπερβαλεῖν μεταξὺ, καὶ τοῦτο συγγνωστέον τοῖς γε φλεγμαίνουσι· καὶ γὰρ λέβης πολλάκις μὲν ἐπείξει βιαιοτέρᾳ πυρὸς κάτωθεν ὑπερζέσας, ἐκχεῖται· ἀλλ' οὖν τούτῳ τῷ περικεχυμένῳ αὖ κατασβέσας τὸ τῆς ἐκρήξεως αἴτιον, εὐθὺς ἀποκαθίσταται πάλιν· οὕτω δὴ καὶ ἄνθρωποι, οἱ οὐκ ἔχουσι μάλιστ' ἄλλως τῆς βουλήσεως τὸ δυνάμενον, λόγοις ἐξοιδαίνοντες ἔστιν ὅτε, εὐθὺς καταλωφῶσιν οὕτω τὸ τῆς ψυχῆς ἐξαλλόμενον. Ἕξεις με τοίνυν τοῦ γε λοιποῦ οὐθ' οὕτω λαλίστερον τέττιγος, ὡς διατμηθείσης μοι ἤδη τῆς πτέρυγος· οὔτ' αὖθις θερμὸν ὁμοίως, τοῦ ψυχροῦ ἐκνικήσαντος· ἓν δ' ἐκεῖνο ἔσχατον βουλοίμην ἂν ἔτι μαθεῖν παρὰ σοῦ, ὡς παρὰ Συμβούλου τῶν ἐπὶ τῆς παιδείας. Μέχρι τίνος αἱ Μοῦσαι, αἳ πέρυσι καὶ πρῴην οὐρίῳ ἐπὶ τὰ οἰκεῖα κατήγοντο πνεύματι, νῦν μεταμεληθεῖσαι, ἢ οὐκ οἶδ' ὅ,τι φῶ, πρύμναν κρούονται; τοῦτο γὰρ βουλοίμην μαθεῖν παρὰ σοῦ· οὐκέτι γὰρ ἀνασχετὸν ἀκούειν τινῶν ἀνοήτων, καὶ τούτων οὐχ ἁπλῶς, ἀλλὰ τῶν ἐκ τῶν πολυθρυλλήτων Μεγάρων, μεμφομένων μὲν τὰ παρόντα, ἐπαινούντων δὲ καὶ μακαριζόντων οὐκ ἄνευ πολλῶν στεναγμῶν τὸν παράμουσον καὶ Αὐθαίρετον Καποδίστριαν. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (499.)

Οἶδα μὲν, ἐν ταῖς μεγάλαις τῶν πραγμάτων μεταβολαῖς πολλὰ συμβαίνοντα καὶ παράλογα· τῆς γὰρ μεταβολῆς οὐκ ἂν ἄλλως, εἰ μὴ διὰ καινοτομίας γιγνομένης, πρὸς τοῦθ' ἕκαστος προθυμούμενος συνεισφέρειν, ὁρμᾶται πρὸς νεωτερισμόν· ἔστι δέ πως καὶ ἡ δόξα ἐκ μέρους ὑποκινοῦσα πρὸς ταῦτα, ἵνα τίς τι εὑρὼν πη δόξῃ καὶ αὐτὸς εἶναί τις· καὶ γὰρ ὁρῶμεν τοὺς πλείστους ἄλλους ἐπ' ἄλλοις τὸν μὲν, τῷ

ἢ μᾶλλον εἰπεῖν, ὡς ἀπαρεσκομένη τοῖς μητρῴοις ἐκείνοις, νεωτερίζει, τὰ καλῶς ἔχοντα παρασχηματίζουσα, Ἐνῷ, γράφουσα, καὶ ἐνόσῳ (χρόνῳ), καὶ ἄλλα μυρία, περὶ ὧν δικαίως ἀγανακτεῖ ὁ σοφὸς Κοραῆς, ἀπορῶν, ὅπως οὐ συνῆψαν οἱ κακοδαίμονες οὗτοι καὶ τὸ, *Εἰς μάτην* εἰς τὸ, *Ἐσμάτην*. Τί οὖν δεῖ ποιεῖν πρὸς ταῦτα; καὶ ὅπως παύσαιμεν αὐτοὺς οὕτως ἀνοήτως τὰ καλὰ διαφθείροντας; λόγῳ; ἀλλ' ἕκαστος, οὗ προΐχεται, τοῦτο καὶ ὀρθότερον κρίνει· διὸ καὶ εἰσάγει ὅ,τι ποτὲ εἰσάγει, οὐχ' ὡς βλάπτον, ἀλλ' ὡς μάλιστα ὠφελοῦν· βίᾳ δὲ, τῇ ἐκ τῆς Ἀρχῆς; οὐδὲ τοῦτο· τυραννικὸν γάρ· ἀλλ' ἐπειδὴ τὸ τῆς γλώσσης μεμέρισται καὶ πρὸς τὴν θρησκείαν, ὡς δι' αὐτῆς γιγνομένης πάσης ἱεροπραξίας καὶ διδαχῆς, Ἐκκλησιαστικῶς τιμωρητέον τοὺς τῶν σεμνῶν παραβάτας, δεσμῷ ἀλύτῳ χρησαμένους ἐκείνῳ — Ἐπειδή τινες, εἴτε καινοτόμους, εἴτε κενοτρόπους, ἢ μᾶλλον κακοτρόπους εἴποι τις αὐτοὺς, ἐπεχείρησαν παραμορφῶσαι τὰς τῆς τῶν Ἑλλήνων γλώσσης φωνὰς, τὰς μὲν ἐξ ἀμνημονεύτων αἰώνων συνθέτως αὐτῆς προφερομένας αἰσχρῶς διαλύοντες, τὰς δὲ διαλελυμένως τοὐναντίον αἰσχρότερον συντιθέντες, ὃ οὐ μόνον πολιτικῶς ἂν εἴη ἐπιβλαβὲς, ὡς προσκροῦον τῷ ἐθνικῷ χαρακτῆρι, ἀλλὰ καὶ τοῖς ἱεροῖς λόγοις ἀλλότριον κρίνεται, διὰ ταῦτα κοινῷ δόγματι ἐπιτάττομεν αὐτοῖς, τῶν τοιούτων ἀποσχομένους νεωτερισμῶν, μεταλαμβάνειν τὰ καθεστῶτα· εἰ δὲ παρήκοοι τοῦ παρόντος ἡμῖν γένοιτο διατάγματος, ἐπιμένοντες, οἷς ἔφθησαν πεπλημμεληκότες, καθυποβάλλομεν αὐτοὺς ἀλύτῳ ἐπιτιμίῳ. Πρῶτον μὲν μηδέποτε κορεσθῆναι, μήτε τρώγοντας, μήτε πίνοντας, εἰμή τι ἐν ὕπνοις· ὁ δ' ὕπνος ἔστω αὐτοῖς πεντεκαίδεκα ὥρας, ὑπὸ τῶν κορίων καὶ ἐμπίδων καὶ ἄλλων παντοδαπῶν σκνιπῶν ἐπηρεαζόμενος, ἵνα μὴ περιείη αὐτοῖς καιρὸς τοιαῦτα παρανομεῖν πρὸς τὴν γλῶσσαν. Ἐπὶ

ραμούσως, ὥς γε παρ' ἡμῖν τὰ νῦν διαστρέφεται, δέδοικα μὴ καὶ μηδενὶ τῶν μαθητευομένων χρήσιμος ᾖ· οὐδεὶς γὰρ τούτων, ἅτε δὴ μὴ ἀναγκαζομένων ἐν τῇ ἀρχαίᾳ γράφειν, ἐκείνης δεήσεται· εἰμή τι ὁ χρόνος νοῦν τοῖς Ἕλλησιν ἐνθεὶς, ἀνορθώσει τὸ πρᾶγμα, ὁπότε καὶ ἡ βίβλος μάλιστα τιμηθήσεται· καὶ ἄλλος ἐκ τῆς πρὸς τὸ Γαλλικὸν παραβολῆς κἀκ τῶν γεωγραφικῶν πινάκων ὁμολογεῖται οὐ τὴν τυχοῦσαν τοῖς εἰδόσι σὺν ὠφελείᾳ πονεῖν παρέχουσα ὄνησιν· Ἔπειτα τίποθ' ὑμεῖς παθόντες, ἔφην ἐγὼ, εἰ μέν τις τῶν ἀμφὶ τὰς τέχνας τεχνητόν τι νῦν ἐν ἐλευθέροις τοῖς Ἕλλησι δείξειεν ἐνδεικνύμενος, οἷς ἐργάζοιτο, τοῦτο, κἂν μηδὲν πρὸς τὰς τῶν Ἄγγλων καὶ τῶν ἄλλων περιττὰ τεχνουργήματα ᾖ, ἀλλ' ἐς χεῖρας εὐθὺς λαβόντες, ἐπαινεῖτε τὸν δημιουργὸν, ἐπειπόντες τὸ ᾀδόμενον, Αὔριον ἄμεινον ἔσσαι· ἐν δὲ τοῖς βίβλοις ἀπαιτεῖτε τὸ τέλειον πανταχοῦ; μήτι ἀληθές ἐστιν, ὅπερ λέγεται, καὶ Κεραμεὺς κεραμεῖ κοτέει; ἐνταῦθα ἐγέλασε, συνιδὼν τὴν ἀλήθειαν. Εἶτ' αὖ ἐρομένου, πόσου ἂν εἴη ἡ βίβλος ἀξία; καὶ τοῦτ', ἔφην ἐγὼ, ἐρῶ σοι σαφῶς, πᾶσαν ἀληθίην κἂν τούτῳ μυθεύμενος· εἰ μὲν γὰρ πρὸς τὸν ὄγκον αὐτὴν ἐκτιμήσαιμεν, ἑξαδράχμου· εἰ δὲ πρὸς οὓς ὁ πονήσας ὑπέστη πόνους, οὐδὲ πεντηκοντάδραχμον ἂν εἴη ἱκανὸν ἔν γε πρώτῃ ἐκδώσει τούτους ἀντισηκῶσαι· δεῖ γὰρ δὴ ὑπομονῆς καὶ ἐπιμονῆς ὅτιπλείστης· ἐῶ δὲ τὸ τῆς ἀηδίας παρακολουθοῦν διὰ παντὸς τοῦ ἔργου· ἀηδὲς γὰρ Λεξικὸν συντεθέναι, καὶ ταῦτα πολλὰ τῶν ἀσυμφύλων ἀναγκαζόμενον μεταξὺ παρενείρειν, ὡς μήτε γνώμην, μήτ' ἔννοιαν ὑψηλὴν, ἢ γλαφυρότητα λόγου, οἷς μάλισθ' οἱ γράφοντες ἀγλαΐζονται, συνεισάγειν δυνάμενον· ἅτε γὰρ ἀμφὶ τὴν ὕλην ἐνασχολούμενοι, τῆς περὶ τὸ εἶδος ἀγλαΐας ἀποκλείονται ὅλως· Τούτων δ' οὕτως εἰρημένων, ἔδοξα αὐτῷ τι εἰπεῖν· διὸ καὶ πρὸς

φιλοσοφεῖν ἄνευ ταύτης ὑποσαλεύεται· ἢ μᾶλλον κινδυνεύει εἶναι μηδὲν, ὡς ἐν ὕπνοις γε τὰ φαντάσματα, ἢ τὰ ὑπηνέμια σπέρματα. Ἀλλὰ νῦν ὁρῶμεν ἀμφότερα ταῦτα, ὥσπερ εἰ ἀνέμοις ἀστηρίκτοις, ἄλλοτ' ἄλλοθεν ἐπιπνέουσι, συμφερόμενα τῆς ἐπὶ τὸ τέλειον ἀγάπης ὡς ἄσκοπα ὅλως ἀποπεπλάνηνται· καὶ οὐκ ἔσθ' ὅπως ἐπανελθόντα, εὑρήσουσιν ἐξ ἐπιστροφῆς τὴν εὐθεῖαν, μὴ ὄντος τοῦ ἄγοντος, φεῦ τῶν ἐλπίδων! φεῦ τῆς τῶν Ἑλλήνων τύχης! οἷον ἀπολέσαμεν Ἄνδρα! ταῦτ' ὀδύρονται πάντες, ταῦτα κόπτονται μείζω κοπετὸν, ἢ ὃν ἐκόψαντο ἐπὶ τῷ Ἰσραὴλ οἱ Ἰσραϊλῖται ἡμερῶν ἑβδομήκοντα· καὶ οὐκ ἔσθ' ὃς αἰσθόμενος οὐκ ἂν ἀνακαλοίη τὸν τοῦ Ἱερεμίου θρῆνον. Ἀλλὰ τίς δήποτε ποιητέον πρὸς τὴν θεραπείαν τοῦ τραύματος; ἄρ' ἀνέξῃ μου ὅττικεν εἴπω; βούλομαι γὰρ κἀγὼ δόξαι τὶς εἶναι, Συμβούλοις τε συμβουλεύων, καὶ τοῖς μεγαλεπιβόλοις ἐν μεγάλοις πράγμασιν ἐξισούμενος, εἴτε κουφότητος φρενῶν, εἴτ' ἔρωτός τινος ἀναγκάσαντος· καὶ δὴ τολμητέον· σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι. Διακόσια ἱερέων παιδία μάλιστα, ἢ καὶ ἄλλων ὀρφανὰ δεκαετῆ, ἢ καὶ πλέον τὰ μετέχοντα καὶ παιδείας τινὸς, εἴκοσιν ἐξ ἑκάστου ἀναλεκτέον Νομοῦ, καὶ ἀνεγερτέον τὸ Ὀρφανοτροφεῖον εἰς ἱεροτροφεῖον, τὸ μετὰ πλείστης μὲν ὅσης ἐν ἄκρᾳ ἐνδείᾳ μεγαλονοίας καὶ φιλοτιμίας ἀνεγερθὲν, μετὰ πλείονος δὲ ἐν ἐσχάτῃ ἀπονοίᾳ ἀπειροκαλίας καὶ αἰσχύνης καταργηθέν. Εἰς τοῦτ' οὖν εἰσαγαγόντες τοὺς παῖδας καὶ διδασκάλους μετὰ τῶν ἄλλων ὑπὸ νόμοις καὶ διατάξεσιν, ἐφ' οἷς δεῖ τοὺς τοιούτους παιδεύεσθαι, αὐτοῖς ἐπιστήσαντες, ἕξομεν ἐς δέκατον ἔτος ἐν τῇ τοῦ Ἰησοῦ Χριστοῦ Ἐκκλησίᾳ ἀντὶ τῶν μήθ' ἱερέων τούτων ἀξίων καλεῖσθαι, Ἀποστολικοὺς ὑπηρέτας τοῦ Πνεύματος. Ἀλλ' ἐνταῦθά μου γενομένου, ἀνέδραμες εὐθὺς, εὖ οἶδ' ὅτι,

ἡμᾶς, ὅποι τύχοι· ὁ γὰρ φιλόσοφος τοῦ διδάσκειν τρόπος, ᾧ οἱ νεώτεροι χρώμενοι, ἐπηγγείλανθ' ἡμῖν προχεύσειν, ὡς ἀπὸ τοῦ κέρως τῆς Ἀμαλθείας, πᾶσαν σοφίαν, ἐξελήλεγκται τῷ χρόνῳ ἄντικρυς ἀποβὰς ἀγυρτία· τριακοστὸν γὰρ ἔτος τουτὶ, ἐξ οὗ διδάσκαλον τῆς τῶν προγόνων γλώσσης, φερωνύμως τοῦτ' ἐπαγγελλόμενον, οὐκ ἂν ἔχοις εἰπεῖν, καὶ ταῦθ' ὁπόθ' ὁ χρόνος ὤφειλεν ἀποδοῦναι τῷ κοινῷ καρπὸν πολλαπλάσιον, πολλῶν πολλαχῶς πρὸς τοῦτο πολλαχόθεν ἡμῖν ἐπιβαηθημάτων τε καὶ καιρῶν συῤῥυέντων. Ἀλλὰ ταῦτ' ἴσως ἐρεῖς, λεγόμενα ὡς ἄριστά τε εἰσί τε καὶ λέγεται· ἀλλὰ τίς ἂν εἴη ἀξιόχρεως ἀγαγεῖν αὐτὰ καὶ εἰς ἔργον; τοῦτ' ἐκεῖνο ἀναπέμπει με πάλιν καὶ μὴ βουλόμενον ἐπὶ τὸν Ἱερεμίαν· φεῦ τοῦ ἀνδρός! φεῦ τῆς τῶν Ἑλλήνων τύχης! Ἔῤῥωσο.

*Σερουΐῳ καὶ Παλαμᾷ.* (502.)

Ἔκ τε τῶν ὑμετέρων γραμμάτων, καὶ ἐξ ὧν ὁ κομίσας αὐτὰ εἴρηκέ μοι, ἔγνων πολλὴν ὑμῖν βίβλων οὖσαν ἔνδειαν· ἐγὼ δὲ καὶ χαίρω ἐπὶ τούτοις, οὐ μὲν οὖν τῇ ἐλλείψει, ἀλλ' ἐπὶ τῇ χρείᾳ· ἐς γὰρ τοῦδ' οὔτ' ἔλλειψις ἦν, οὔτε χρεία· νῦν δ' εἰκάζω φορὰν μαθητῶν αὐτοῦ ἔσεσθαι πανταχόθεν τῆς τε τῶν καθηγητῶν ὑπολήψεως καὶ δυνάμεως ἀξίως, καὶ τῆς τοῦ ἐν μυρίᾳ ᾠδῇ Μεσολογκίου δόξης οὐχ ἥκιστα· ἐλπίζω γὰρ ἐκ τούτων ἀνθήσειν τε, καὶ καρπώσειν τὸ Γυμνάσιον ὑμῶν μᾶλλον πάντων, τοιούτων προστατῶν καὶ καθηγητῶν εὐμοιρῆσαν, καὶ δὴ καὶ μαθητῶν οὐ μόνον ἀπὸ πάσης τῆς Δυτικῆς Ἑλλάδος, ἀλλὰ κἀκ τῶν ἐκτὸς πολλῶν ἐλπιζομένων αὐτοῦ συῤῥεύσειν. Ὧν τοίνυν ἀπαιτεῖτε παρ' ἐμοῦ βίβλων, αἳ μὲν πάλαι μοί ποτε ἐξεδόθησαν, ταύτας, καλῶς ποιοῦντες, ἀπαιτήσετε παρὰ τοῦ Γραμματέως τῆς κοινῆς ἐκπαιδεύσεως· ἐπ' ἐκείνῳ γὰρ νῦν εἰσι ταῦτα πάντα, ἐξ ὅτου αὐτὸς πέμ-

γράψας Ἀθήνηθεν παραλήψεσθαι διά τινος τῶν ἑαυτοῦ φίλων, ἵν' ἐκεῖθεν παραλαβὼν πέμψῃ σοι· ἐπειδὰν δὲ τοῦτο γένηται, προσθήσω δὲ τοῖς σοῖς καὶ τὸν Ὅμηρον τῷ καλῷ κἀγαθῷ μειρακίῳ τοῦ φιλομαθοῦς καὶ φιλοστόργου πατρὸς Σωτηρίου· ὃν ἀσπασάμενος παρ' ἐμοῦ τὰ εἰκότα, Ἔῤῥωσο.

## *Νικολάῳ.* (504.)

Μητέρα τῶν ἐπιστημῶν καὶ τεχνῶν ἴσμεν τὴν Ἑλλάδα γεγενημένην· ἀλλ' ἦν τοιαύτη, ὁπότ' ἦν ἐν ἰσότητι καὶ ἐλευθερίᾳ, ὑπὸ νόμοις ἀγομένη καὶ ἀεὶ κρείττων ἑαυτῆς γιγνομένη· εἶθ' ὡς ὑπό τινος κεραυνοῦ παταγεῖσα ὑπὸ τοῖς τυράννοις, ἅμα πάντων ἐκείνων ἐξέστη, καὶ τελέως ἀπέβη ἐμβρόντητος. Νῦν δ' οὖν ὡς ἀπὸ νόσου μακρᾶς ἀνασφήλασαν, καὶ ἐξ ὑπαρχῆς ἀνατρεφομένην ἐν ἐλευθερίᾳ, ὕπεστιν ἡμῖν οὐ μικρὰ ἐλπὶς τὴν ἑαυτῆς εὐδαιμονίαν μετ' οὐπολυ ἀναλήψεσθαι αὖθις πρὸς τὰς ἐπιστήμας· τεκμηριοῖ δέ μοι τοῦτ' ἄλλατε πολλὰ, καὶ δὴ καὶ ὃ πρώην, οὔπω μὴν ὅλως, ἀκούομεν γεγονέναι· χωρικὸς γὰρ ἀνὴρ, εἰς λόγους κατά τινα συγκυρίαν ἐλθὼν πρός τινα τῶν παρ' ἡμῖν ἰατρῶν Βαυαρῶν, τίποθ' οὕτως ὑμεῖς, ἔφη, ποιεῖτε τοὺς πυρέττοντας τοσαῦτα τοῖς φαρμακοπώλαις χρήματα καταναλίσκειν, παρὸν κόμμι τοῦτο δὴ τὸ ἐκ τῆς ἐλαίας δάκρυ, ὕδατι δεύσαντας, ἐγχέαι τοῖς νοσοῦσι, καὶ εὐθὺς ἀπαλλάξαι αὐτοὺς τοῦ κατέχοντος πάθους; ἐγὼ γὰρ, ἔφη, τοὺς ἐμαυτοῦ, ἐπειδάν τῳ ξυμβῇ ὑποπεσεῖν πυρεττῷ, τούτους τε ἰῶμαι, καὶ τοὺς ἄλλους, εἴτινες ταὐτά γε πάσχοιεν, τῷ αὐτῷ διδάσκω χρῆσθαι πρὸς ἀπαλλαγήν. Ταῦτα δ' ἀκούσας ὁ Βαυαρὸς, οὐ παρημέλησε πεῖραν τοῦ πράγματος λαβεῖν· ἀλλ' ἐκπνευματώσας, καὶ διαλύσας τοῦτο δι' ἄμβικος χημικοῦ, ἐξήγαγεν ἐμπυρευματικόν τι πολλῷ τοῦ κιννίνου δραστηριώτερον. Ταῦτα οὖν λέ-

πος καὶ πάμφορος ὁμολογουμένως ἀλωὴ γενομένη· ποῦ γὰρ νῦν τὸ τοῦ μεγάλου ἐκείνου ἀνδρὸς δραστήριον πρὸς τὰ πράγματα; ποῦ στρατιωτικόν; ποῦ τὸ ναυτικόν; ποῦ ἐμπορικόν; ποῦ τοῦθ᾽ ὃ πρὸ πάντων ἠλπίζομεν ἐς δέκατον ἔτος παιδευθήσεσθαι πᾶσαν τὴν νεολαίαν; πάντα φθίνει, περιστάντα εἰς νάρκην, πάντα συνοίχεται τῷ ἀγαθῷ Προστάτῃ. εἰκότως· τοῦ γὰρ ἐλατηρίου ἀδρανοῦς ὄντος, ἀνάγκη τὴν μηχανὴν ἀτρεμεῖν. Χωρὶς δὲ τούτων περὶ τοῦ σχολείου τῶν ἱερέων τί καὶ ἂν εἴποιμεν; καὶ πόθ᾽ οὗτοι ἐξηγήσονται τῷ λαῷ τὰ ἱερὰ λόγια ἀπ᾽ ὀκρίβαντος ἱεροῦ; ὁπότε θεὸς δῷ; τοῦτο γάρ φασιν οἱ ἀνόητοι· ἀλλ᾽ ἴστωσαν, ὡς οὐδέποτε δώσει· ὃ ἐφ᾽ ἡμῖν κεῖται ἔχειν τε καὶ μὴ ἔχειν· πῶς γὰρ ἂν δοίη, ὃ πάντες μὲν ἴσασι συντελεστικὸν ὂν πρὸς τὴν τοῦ ἀνθρώπου εὐδαιμονίαν, πράττει δὲ οὐδὲ εἷς οὐδὲν πρὸς τὴν ἀπόλαυσιν τούτου; τὸ γὰρ θεῖον, ἵνα μὴ τὸ τοῦ ἀνθρώπου αὐτεξούσιον παραβλάψῃ, πρακτικῶς μὲν οὔ (Διὸς γὰρ τοῦτ᾽ ἐστὶ καὶ τῆς εἰδωλολατρίας) φανταστικῶς δὲ εἴωθε κινεῖν αὐτὸν πρὸς τὴν πρᾶξιν. Μὴ οὖν προσανακλάου ἐν τοιαύτῃ τῶν πραγμάτων φορᾷ, ὅτι σχολαρχοῦντα οὐκ ἐπιεικῶς οἱ κεκονιαμένοι μὲν, γυμνοὶ δ᾽ ἄλλως τοῦ σχολείου τοῖχοι ὑποδέχονταί σε· ἀλλ᾽ ἀγαπῶν, ὅτι ὑπὸ σκέπην εἶ, μέμνησο τοῦ Κτίτορος, συνεκθλίβων ἅμα καὶ δάκρυ χλωρὸν, ὅτι καὶ ἐν ἐσχάτῃ ἐνδείᾳ, καὶ ἐν καιρῷ μαινομένῳ τοῦτό σοι προὐμηθεύσατο· ἄλλως δὲ κακῶς ἂν κᾀπὶ πολὺ, καὶ ἐπὶ πολλῷ παραπήλαυες τῶν ναρθήκων καὶ τῶν ἐν ταῖς Ἐκκλησίαις περιστύλων σταθμῶν, κατ᾽ ἀρχαῖον ἔθος αὐτοῦ κυλιόμενος· ἑνὸς γὰρ ἀτόπου δοθέντος, μυρία ἐπηκολούθησαν· καὶ εἰ μήτις ἐκ παλινῳδίας γένοιτό ποθεν τοῖς πράγμασιν ἐπανόρθωσις, οἰχήσεταί σοι μετὰ τῶν σχολείων ἥτε γλῶσσα καὶ ἡ θρησκεία τὰ πρῶτά γε ταῦτα καὶ μάλιστα τοῦ ἔθνους βάθρα καὶ θέμεθλα. Οὕτω σοι τὰ ἡμέτερα ἔχει,

σεως, φθόνον ἐνεργάζεσθαί φησι τὸ ὁμότεχνον, φθόνον ἀλλ' οὖν τελευτῶντα πολλάκις εἰς ζῆλον ἐκ προαιρέσεως, τὸ πρὸς ἀρετὴν συντελέστατον· ἡ γὰρ τῶν ἀνθρώπων φύσις, εἴπερ ἦν ἀπαθὴς ἀπολύτως, νεκρὰ ἂν ἦν ὅλως, καὶ πρὸς πρᾶξιν ἀργὸς, ὁμοία μηχανῇ, ἀδρανὲς καὶ ἄτονον ἐχούσῃ τὸ ἐλατήριον. Καλῶς οὖν ἐποίησας γράψας μοι, τὸ ἐπιβάλλον τῶν δώρων, οἷάπερ διδάσκαλος καὶ αὐτὸς, λαβεῖν ἀξιῶν· οἶσθα γὰρ ἡμᾶς ἀδελφοὺς τοῖς ὁμοτέχνοις ἑλομένους γενέσθαι, ἀλλ' οὐ κεραμέας κεραμεῦσι κοτοῦντας. Λαβὼν οὖν τῶν βίβλων πρὸς τὸ παρὸν τὰς δέκα, μέμνησο προσαπαιτεῖν ἐν καιρῷ καὶ τὰς ἴσας. Ἔρρωσο, τῶν ὑπό σοι παιδευομένων τὴν ἐνδεχομένην ποιούμενος ἐπιμέλειαν.

## *Γεωργίῳ.* (508.)

Πᾶν τὸ γιγνόμενον ἕνεκά του γίγνεσθαι πέφυκε, κοὐδὲν οὔτ' ἐν τῇ φύσει, οὔτ' ἐν τῇ προαιρέσει εὑρήσεις μάτην ἐπιτελούμενον· καὶ τοῦτ' ἐστὶν, ὃ εἰώθαμεν αἴτιον καλεῖν τελικὸν, ὃ νοερῶς παριστάμενον κινεῖ τὸ πεφυκὸς εἰς ἐνέργειαν· δῆλον δ' ὅτι ἀγαθὸν, εἴτ' ἀληθὲς εἴτε καὶ δοκοῦν πολλάκις τοῦτ' ἐστίν· οὐ γὰρ ἂν, εἴπερ μὴ, ἄλλοθεν ἄλλος ἐσπεύδομεν εἰς τὴν τούτου ἀπόλαυσιν· οὐδ' ἂν ἅμα τῇ ψυχῇ παριστὰν, πρακτικὴν εὐθὺς αὐτῇ ἐνεργάζετο, ᾗ φησι Πλούταρχος, ἐφ' ἑαυτὸ ἀφορμήν· ἰδὼν γάρ τις Ἀριστείδην μέγ' ἐπὶ δικαιοσύνῃ κλέος ἀράμενον παρὰ πᾶσιν, ἐπεθύμησε καὶ αὐτὸς, ταὐτὰ πράξας, τῆς αὐτῆς ἐκείνῳ δόξης τυχεῖν· οὕτω καὶ ἕτερός τις τυχὸν τὴν τοῦ ἀοιδίμου Κυβερνήτου ἀρετὴν ἐν πᾶσιν εἰς νοῦν λαβὼν, εὐθὺς τῇ τοῦ πράγματος ἱστορίᾳ ἐκίνησε τὴν προαίρεσιν πρὸς τὴν μίμησιν· Τοιοῦτοι δ' οὖν ἂν εἶεν μόνοι, ὅσοι τοῦ ἀληθοῦς καταστοχαζόμενοι, ἀπαρεγκλίτως ἀνύττουσιν ἐπ' ἐκεῖνο· οἱ δὲ πρὸς τὸ δοκοῦν ἐκτρεπόμενοι πρὸς τῷ μηδὲν κέρδος,

θυμήθης ἀγῶνι, εὐεργέτης πολλῶν ἐν αὐτοῖς τοῖς δεινοῖς γεγενημένος, λόγοις τε παντοίοις ἐπισπέρχων ἑκάστους ἀγωνίσασθαι ὑπὲρ πίστεως καὶ πατρίδος, καὶ χορηγίᾳ χρημάτων οὐδενὸς γενόμενος δεύτερος· ἃ πλείστων ἐπαίνων ἐστὶν ἀντάξια, καὶ ἀξίαν προκαλεῖται τὴν ἀμοιβήν. Εἰ δὲ ὧν τ' ἔφθης εὖ δράσας τοὺς Ἕλληνας, ἀνάξια, ὧν τε ἤλπιζες ἔτι ἀχαριστότερα δοκεῖς πάσχειν, τοῦθ' ὅσην τὴν ἐν τοῖς πράγμασι δοκεῖ κατηγορεῖν μοχθηρίαν, εἰς τοσαύτην συμπάθειαν τοὺς αἰσθανομένους συνάγει. Δεῖ δ' οὖν ἑκόντας ἀέκοντας ἀναγκαίως φέρειν τὰ παρόντα τοὺς εὖ φρονοῦντας, καὶ αὐτούς γε παρ' ἑαυτῶν μάλιστα λαμβάνειν παραμυθίαν (τί γὰρ ἂν ἀλλ..οιοῖμεν;) ἀπὸ τῶν ταὐτὰ πασχόντων διαπαιδαγωγοῦντας τὴν φαντασίαν· ἐν οἷς, μυρίοις γ' οὖσι, καὶ Γρηγόριος ὁ Κωνσταντᾶς ὁ καὶ πάντα μὲν τὸν βίον ἐπ' ὠφελείᾳ κοινῇ διαθλήσας, ἀλλὰ καὶ ἐν ἐσχάτοις διὰ πάντων ἐξετασθεὶς τῶν ἀγώνων, νῦν γ' ἐν γήρᾳ βαθεῖ ἀπῆλθε δι' ἔνδειαν, ὑπὸ τῷ Σουλτάνῳ, πρὸς ὃν ἑπτὰ ὅλα ἔτη πολέμῳ ἀντέτεινε, ἀναπαύσων τὸ γῆρας· τοιαῦθ' ἡμῖν τὸ αἷμα τοῦ δικαίου ἐκείνου ἐπήνεγκε. Φέρε τοίνυν τὸ φέρον μέχρις ἂν θεὸς ἡμῖν δῷ (εἴπερ δοίη) βελτίωσιν ἐν τοῖς πράγμασιν. Ὧν δέ μοι γράφεις πέμψαι σοι βίβλων, λαβὼν νῦν ἀνὰ δύο ἀντίτυπα ἐξ ἑκάστων τῶν ἐκδεδομένων τὸ μὲν σεαυτῷ, τὸ δὲ τῷ σαυτοῦ ἀδελφιδῷ εἰς τόμους σύμπαντα εἴκοσι, προσαπαιτήσεις ἐν καιρῷ καὶ τὰς μήπω ἐκδεδομένας. Ἔρρωσο.

## Ἰγνατίῳ. (511.)

Τρία νῦν παρὰ τῆς ἡμετέρας Πανιερότητος γράμματα κομισάμενος, οὐκ ἔχω εἰπεῖν πότερον, ἀσμενέστερον ταῦτ' ἀνέγνων, ἢ λυπηρότερον· χαίρω μὲν γὰρ παρὰ σοφοῦ ἱεράρχου τοιούτων ἠξιωμένος, ἀλλὰ λελύπημαι σφόδρα, ὑπὸ τοῦ συ-

τοῦ δικαίου ἐκείνου ταῖς ἑαυτῶν ἀπομορξώμεθα συμφοραῖς· καί τοι οἱ ἀρχαῖοι, εἴποτε μαινόμενοι οὕτω, τοῖς ἀγαθοῖς τῶν πολιτῶν τοιαῦτα κακουργήματα ἀπετόλμων ἐπενεγκεῖν, ἵνα μὴ τὸ μίασμα, ἐπὶ πλέον ἕρπον, ἄλλων ἐπ' ἄλλοις αὐτοῖς κακῶν αἴτιον γίγνηται, τήντε χώραν πᾶσαν καὶ ἑαυτοὺς καθήγνιζον καθαρμῷ, τούς τε φονέας, ὡς ἐναγεῖς ἐξορίζοντες, καὶ τοὺς ἀδικηθέντας εἰκόσι καὶ ἀνδριάσιν ἐξιλεούμενοι. Τί οὖν μὴ καὶ αὐτοὶ μιμώμεθα πρὸς ταῦτα τοὺς ἡμετέρους προγόνους; Ἀλλ' εἰδωλολατρίας τοῦτ' ἐρεῖς ἔθος εἶναι· κἀγώ φημι· ἀλλ' ἁπλῶς τό γε τὸ κακούργημα τοῦ συνειδότος ταῖς τιμαῖς οὕτως ἐκτρίψασθαι, ὁπωσοῦν πρὸς τῇ παραμυθίᾳ καὶ ἑτέρῳ λόγῳ ἂν εἴη ὀνήσιμον· τιμῆσαι γὰρ τὸν τὰ μέγιστα εὖ πεποιηκότα τοὺς Ἕλληνας πρός τε τοὺς ἔξω καλῶς ἡμῖν ἕξει, κἀκείνῳ ἰδίᾳ χαρισαίμεθ' ἄν· Ὀδυσσεὺς γὰρ πρὸς τὴν Ἑκάβην ὑπὲρ Ἀχιλλέως ἀπολογούμενος, δείκνυσιν, ὅσον οἱ ἄριστοι τῆς μετὰ θάνατον ἔχονται τιμῆς· φησὶ γάρ που,

„ Καὶ μὴν ἔγωγε ζῶντι μὲν καθ' ἡμέραν
„ Κ' εἰ μικρὰ ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι.
„ Τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
„ Τὸν ἐμὸν ὁρᾶσθαι· διὰ μακροῦ γὰρ ἡ χάρις

Οὕτως οὖν οἱ ἀγαθοὶ τῶν ἀνδρῶν τιμώμενοι μετὰ θάνατον, οἷς προσήκει τιμᾶσθαι, οἷον

„ Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.

Ἥδονται μάλιστα· οὕτω δὲ ποιήσαντες, τήν τε κοινὴν κηλῖδα ἐκτρίψαντες, ἑνὶ τῷ αὐτόχειρι περιάψομεν, καὶ τοὺς Ἕλληνας εἰς νέας ἀνεγεροῦμεν ἐλπίδας· ἄλλως δ' ἡ κατήφεια, οἷον ὁμίχλη, ἐπιπεσοῦσα ταῖς ψυχαῖς, οὔθ' ὁρᾶν ἐπιτρέπει τοῦ πρόσω, οὔτε τὸ αἰσχρὸν, ἵνα μὴ εἴπω τὸ ἀσεβὲς, ὁ πᾶς αἰὼν ἐξαλείψειεν· ἁμάρτημα γὰρ ἀποφεύγει φρόνησις προλαβοῦσα· γενόμενον δὲ ἀπομάττει μετάνοια. Ἔῤῥωσο.

πεινῶντας ἀποκλείσωμεν τῆς τραπέζης. Ὅπως οὖν μὴ τοῦτο γένηται, βουλοίμην ἂν, εἵτινες εἶεν ἀληθῶς χρῆσιν τῶν βίβλων ποιούμενοι, καὶ πρὸς τελείαν σπουδὴν τούτων ἔῤῥωνται, παρὰ σοῦ ὡς εἰδότος ταῦτα λαμβάνειν. Πρὸς οὖν τοῖς διωρισμένοις προσεπιπέπομφά σοι τοῦ Εὐριπίδου ἀντίτυπα δέκα, ἵν' ἔχῃς ἐκ τοῦ περιόντος διανεῖμαι ἑκάστῳ τὸ κατ' ἀξίαν. Ἔῤῥωσο.

*Τῷ Παλαμᾷ.* (515.)

Καὶ ἀρχῆθεν μὲν ἐνεφύη μοι πόθος, φίλτατε Ἰωάννη, καὶ νῦν ἐν ὑστέρῳ μάλιστα χρόνῳ σέ τε ἰδόντα ἀσπάσασθαι, καὶ τὰ κατὰ σὲ ἐκ τοῦ ἐγγυτάτω καταμαθεῖν· ἀκήκοα γὰρ πολλῶν σε δεινῶν κατὰ τὸν ἐμφύλιον μάλιστα πόλεμον πεῖραν λαβεῖν. Ἔσχε δ' ὁ πόθος ἀρχὴν τὴν τοῦ σοῦ πατρὸς ἀρετὴν, ἀνδρὸς ἀγαθοῦ γενομένου τοῖς Ἕλλησιν, εἰς ἀγαθοὺς ὁμοίως παῖδας ἐκ διαδοχῆς κατιοῦσαν, ἀλλ' οὐχ' ἧττον ὑπέθαλπέ μοι τὸν ἔρωτα τοῦτον καὶ τὸ ἐν μυρίᾳ ᾠδῇ ἐκ τῶν μεγίςων ἐκείνων ἀγώνων γενόμενον Μεσολόγκιον, αὐτὸ πρὸς ἑαυτὸ ἕλκον ἰσχυρῶς με ἐπισκεψόμενον, καὶ τἀριστεῖα λύπῃ καὶ χαρᾷ μεμιγμένα αὐτῷ ἀποδώσοντα. Ὁ μὲν οὖν ἔρως, ὃς ἐν ἀγήρῳ καρδίᾳ τὴν ἕδραν ἔχων, οὐδέποτε παρακμάζει, ταῦτα νομοθετεῖ, πρὸς ταῦτ' ἐπισπέρχει· ἀλλ' ἡ φύσις ἀντιστρατηγοῦσα, ἐπέδησέ με γήρᾳ ἤδη βαρεῖ, καὶ ἄλλους ἐπ' ἄλλοις ἀγγέλους πρὸς ἐμὲ ἐπιπέμπουσα, γνῶθι, φησὶ, γερόντιον, σεαυτὸν, ἡσυχίαν ἀπὸ πασῶν ἄγων τῶν ἐπιθυμιῶν, καὶ μηκέτι ἐν μηδενὶ ἐπαίρου νεανιεύεσθαι, τοῦ Κυρίου ἠρέμα σοι προσεγγίζοντος· νῦν γάρ σοι ἑνὸς μόνου χρεία ἐστὶ τὴν ἀγαθὴν κατὰ τὴν ἀγαθὴν Μαρίαν ἑλέσθαι μερίδα· τὰ δ' ἄλλα καταλιπόντα σε πάντα οἴχεται. Ταῦτ' οὖν ἀποθραύοντά μοι οὕτω τὸ πρόθυμον, πείθει με φρονεῖν μετριώτερον, κἂν τοῖς γράμμασι τοῖς σοῖς πόῤῥωθεν οὕτω τὸν πόθον προσαναπαύειν.

*Ἀναστασίῳ.* (517.)

Πάλιν ταραχαὶ, φὴς, πάλιν διχόνοιαι ἐν τοῖς Ἕλλησι πρός τε ἀλλήλους καὶ πρὸς τὰς ἀρχὰς ἔν τε πολιτικοῖς καὶ θρησκευτικοῖς, τοῦ Ἄρχοντος ἤδη καθ' ἑκάτερα μὴ ἐνιζομένου τοῖς Ἕλλησι· τοιαῦτα φὴς λέγεσθαι παρ' ὑμῖν περὶ ἡμῶν μὴ κατὰ θυμόν· ἐγὼ δὲ λέγω, ὅτι τὰ λεγόμενα μικρὰ, καὶ μηδὲν τυγχάνει γε θρυλλούμενα, πρὸς ἃ πράττεται· καὶ τὰ πραττόμενα ἔτι ἐλάττω, πρὸς ἃ προσεπισκευωρεῖται· περιεκύκλωσαν γὰρ ἡμᾶς προφητικῶς εἰπεῖν οὐ κύνες, ἀλλὰ λύκοι πολλοὶ, τῇ ἡμετέρᾳ οὐκ ἐπιφανῶς ἐπιβουλεύοντες ποίμνῃ· ἡ γὰρ πολιτικὴ μηχανὴ, ἐν τοῖς μυχαιτάτοις πῃ τῆς γῆς στρεφομένη, ἀγνοεῖται ὅ,τι ποθ' ἡμῖν, ὥσπερ ἐκ τραγικῆς σκηνῆς, παραστήσει ποτὲ ἀδόκητον ἔτι· τὸ γὰρ διορατικὸν τῆς Ἑλλάδος ὄμμα, ὃ μόνον ἦν ἀξιόχρεων διαδῦναι ἐκεῖσε, καὶ καταφωρᾶν τὰς ἐπιβουλὰς, τοῦτ' ἀπέσβη, ὡς τὸ τοῦ Ζαχαρίου, ἐν τῷ ναῷ τοῦ ἁγίου Σπυρίδωνος· εἶτ' ἐρωτᾷς, πότε παύσονται τοῖς Ἕλλησι τὰ δεινά; δυοῖν θάτερον, ἡνίκ' ἂν ἢ ὁ ἀοίδιμος ἐκεῖνος ἀνὴρ ἀναστῇ, ἢ ὁ νῦν Ἀρχηγὸς ποιήσῃ τὸ σημεῖον τοῦ σταυροῦ μεθ' ἡμῶν. Ἔῤῥωσο.

*Κωνσταντᾷ.* (518.)

Τῶν μὲν πρὸς ἡδονὴν τοῦ σώματος σκιρτημάτων, καὶ τῆς πρὸς τἄλλα τῶν παθῶν ἀλόγων ὀρέξεως πολλαχῶς κρατεῖν ἡ φιλοσοφία ἡμᾶς ἐξεπαίδευσε, καί γε δοκοῦμεν μὴ ἀκαίρως ἐς δεῦρο τῆς ἱερᾶς αὐτῆς κατακοῦσαι φωνῆς· τῶν δ' ἀπὸ τοῦ γήρως ἀλγεινῶν, ἄλλων ἀεὶ ἐπ' ἄλλοις ἐπιγιγνομένων τε καὶ ἐπαυξομένων, πῶς ἂν ῥαδίως ὑφαιροῖμεν αὐτῶν τά γε δυνατά; τὸ γὰρ τῶν Πελιάδων τόλμημα οὐκ ἂν εἴποις· πρὸς γὰρ τῷ μῦθον εἶναι, καὶ ἄλλως λίαν τοῦτ' ἔοικεν ἀποτρόπαιον εἶναι.

νος ἤδη περιδακόντος τὰ σκέλη, λαβόντες τὴν ῥίνα ἐξέρχεσθαι σὺν ὀργῇ, ὅτι μὴ λιβανωτὸν αὐτοῖς ἀποπνέομεν, μήτ' ἐπιῤῥαίνομεν μύροις· οἷς γὰρ ὁ τῆς ἡλικίας ὑπερπήδηται ὅρος, τούτοις ἀνεύθυνα τὰ τοιαῦτα, καλῶς ποιῶν, ὁ νόμος ἀφίησι· διὸ καὶ Χὰμ ὁ τοῦ Νόε, διαχλευάσας τι τὸν πατέρα, τοιοῦτό τι παθόντα ἐν γήρᾳ, οὐ φορητὴν τὴν ἀρὰν ἐπεσπάσατο. Ταῦτα ἄξια, οἶμαί γε, φιλοσόφων, διὰ πολλῶν τὴν φύσιν ἐξητακότων, καὶ ἐν πᾶσιν ὑπὸ τοῦ λόγου ὠφελεῖσθαι ἐπισταμένων. Ἔῤῥωσο.

## Τῷ αὐτῷ. (519.)

Πρῴην μὲν ἐπέστειλά σοι τοῦθ', ὅπερ ἡ φλήναφος τόθ' ἡλικία προείλετο προσπαῖξαι πρὸς γέροντα τὰ τοῦ γέροντος· ἀστειότης γὰρ, καί περ παράκαιρος οὖσα, ἀλλ' ὥσπερ ἤπιον φάρμακον, ὑφαιρεῖ τι τῶν ἐκ τοῦ γήρως ἡμῖν ἐνοχλούντων· νῦν δὲ, ἵνα μηκέτι με καταμέμφῃ, ὡς ἀεὶ πρός σε καταχρώμενον εἰρωνείαις, σπουδαιότερον πάντως ἥκω τί σου πευσόμενος, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι. Μέχρι τίνος ταῖς σαυτοῦ ἐμφιλοχωρήσεις Μηλιαῖς, ἀφροντίστως τῶν κατεπειγόντων καθήμενος, ἀναβάλλων ἀεὶ, ἅπερ συνεθέμεθα πρὸς ἀλλήλους, δέον ἅμα τῶν ἀνὰ χεῖρας ἔργων ἀποπαυσαμένους, ὁμοῦ τὸν τελευταῖον κατά γε τὰ ξυγκείμενα ποιήσασθαι πλοῦν; πῶς οὖν ὁ τῇ τάξει πρὸς ταῦτα δοκῶν εὐζωνότερος, βραδύτερος νῦν ἐμοῦ προαιρέσει φαίνῃ γεγενημένος; ἐγὼ δ' οὖν ἐμμένων, οἷς ξυνώμοσα ἅπαξ, ἅμ' ἦρι, ὁπόθ' ἁπάντων ἀπαλλαγήσομαι τῶν ἀσχολημάτων, οὐκέτι ἐνταῦθα μενῶ κολαζόμενος τοῖς ἐκ τοῦ γήρατος ἀλγεινοῖς· ἀλλὰ χαίρων ἐπαρῶ,

,, Ἔνθα Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε.
,, Ἠέλιος (δὲ) φαέθων οὐ δέρκεται ἀκτίνεσσιν.
,, Ἀλλὰ νὺξ ἱερὰ τέταται ὑπνοῦσι βροτοῖσι.

φῶν κατὰ φρόνιμον κυβερνήτην, τὰ μέλοντα καὶ ἀκήρατα· ἡ γὰρ θεωρία ἐκείνων, λήθην τῶν παρόντων κακῶν ἀπεργάζεται· Εἰ οὖν τῶν ἀπὸ τοῦ γήρως κακῶν ὡς ἐλάχιστον μετέχειν βουλοίμεθα, κυβερνητέον τὴν φαντασίαν, ἐφ' ἃ δεῖ μεταστρέφοντας. Ἔρρωσο.

### Τῷ αὐτῷ. (521.)

Ἐξῆλθέ μοι ἤδη τῶν τοῦ τύπου πιεστήρων καὶ Ὅμηρος, καὶ νῦν σχολῆς μοι οὔσης ἀπὸ τῶν σπουδαιοτέρων καὶ σοβαρῶν, ἀμφὶ τὰ ἐμαυτοῦ ἔχω παιδικά· περὶ ἃ νεωτέρῳ μοι ἔτι ὄντι ἡδομένῳ ἦν ἀσχολεῖσθαι· τὰ μὲν πρὸς σπουδὴν, τὰ δὲ πρὸς ἡδονὴν ἐμαυτῷ τε, καὶ οἷς τότ' ἐσπουδάζετο Ἑλληνικῶν λόγων πατράσι γενέσθαι· ἐφ' οἷς καὶ καταμέμψαιντό μοι τάχ' ἂν πολλοὶ, ὅτι τοιαῦτα ὄντα ἐθάῤῥησ' ἐκδοῦναι, ἄλλος ἄλλο τι τούτων πρὸς ἀλλήλους διαχλευάζοντες· ἀλλ' εἰ τοῦθ' ὅ,τι ἕκαστος ἐρεῖ, ἡμᾶς ἔδει παραφυλάττεσθαι, οὐδὲν ἂν ἦν ἡμῖν ποιεῖν τῶν δεόντων· μέμνημαι γὰρ καὶ ἃ εἴρηται πολλοῖς καὶ περὶ τῆς σῆς τοῦ Σοαυΐου μεταφράσεως χλευαστικὰ καὶ ζηλότυπα, καί περ τοῦ φθόνου μηκέτι ἐν τῷ τότε τοσαύτην ἔχοντος ἀκμὴν, ἀλλ' ἐκεῖνα μὲν ᾤχοντο ἐκπνευματωθέντα· ἡ δὲ βίβλος μεμένηκε κτῆμα τοῖς Ἕλλησι χρήσιμον. Λεγέτω τοίνυν ἕκαστος ὅ,τι βούλοιτο· ἡμῖν δὲ, μέχρις ἂν νοῦς παρῇ καὶ ἡ χεὶρ μὴ ἀποναρκῇ, ἰτέον τοῦ πρόσω, τὰ δυνατὰ τοῖς ἀδυνατωτέροις προσφέροντας· οὐ γὰρ ὃ μὴ δυνάμεθα, ἀλλ' ὃ ἡμῖν δέδοται, τοῦτο προστετάγμεθα μεταδοῦναι. Ἀλλ' ἐχέτω ταῦθ' ὡς ἂν ἔχῃ. Σὺ οὖν, πανταχόθεν τῶν μὲν λαβόντων, τῶν δὲ καὶ προσαπαιτούντων τῶν ἐμῶν βίβλων τὸ ἐπιβάλλον ἑκάστων', αὐτὸς οὔπω φαίνῃ προσδιορίσας τὸν τὸ μέρος τῷ σῷ σχολείῳ παραληψόμενον· Δημήτριος γὰρ ὁ σὸς πλεύσας εἰς Σύραν, ἐμπορικὸν αὐτοῦ

ἐκ μικρῶν τεκμαιρόμενος τὰ μεγάλα· δῆλον γὰρ ὡς τό,τε γῆρας αὐτὸ καὶ τὸ μέλος τὸ πάσχον, καιριώτερον ὂν, καὶ εἰς θεραπείαν δυσμεταχείριστον, πολλῷ σοι μεῖζον τὸ ἄλγος ἐνίησι. Βουλοίμην δ' ἂν οὖν ψευδῆ ταῦτ' εἶναι· καὶ τοῦτο σὺν πτοήσει γλιχόμενος μαθεῖν, περισκοπῶ τὰ πλοῖα καταίροντα· εἰδὲ μὴ, συναλγῶν, καὶ τὸ πάθος, ὅσον οἷόν τ' ἐστὶ, μεριζόμενος, ἐξαιτοῦμαι (τί γὰρ ἂν καὶ πάθοιμι;) παρὰ θεοῦ καρτερίαν καὶ σωτηρίαν σοι ταχίω γενέσθαι. Ἔῤῥωσο.

### Ἰωάννῃ. (523.)

Ἦν μὲν ἡμῖν ἐξ ἀρχῆς πρὸς ἀλλήλους πάντα εὐνοϊκὰ, ἐξ εὐεργεσίας λαβόντα τοὐνδόσιμον, οἵαν ἔδει γενέσθαι παρὰ διδασκάλου, τὸ φιλότιμον ἐν ἅπασι περὶ πλείστου ποιούμενον, πρὸς μαθητὴν εὐνοούμενον· ἀλλὰ καὶ ὅτε ἀνεχώρουν αὐτόθεν οἶσθ' ὅ,τι σοι τῶν ἐμῶν ἐπέτρεψα χαρισάμενος, κἄπειτ' αὖθις καὶ τὸ ἐκ συνθήκης μοι παρὰ σοῦ ὀφειλόμενον, καὶ τοῦτο ἔπειτα ἀφῆκά σοι ἐξαιτησαμένῳ σὺν χάριτι· καὶ ταῦτα μὲν πάνθ' οὕτως ἔσχε καλῶς· ὃ δὲ παρὰ τοῦ ἀγνώμονος Μαργαρίτου ἀργύριον τέταρτον τοῦτ' ἔτος ἔχεις λαβὼν, τίποτε τοῦτ' οὐκ ἀποδίδως τῷ πρὸς ὃν τοῦτ' ἐστιν ὀφειλόμενον; εἰ μὲν γὰρ εἰδὼς, ἡμᾶς ἑκόντας ἑλομένους πτωχοὺς καταστῆναι ἐν γήρᾳ, τοῦτο πράττεις, ἵνα καὶ αὐτὸς τὸ ἐπιβάλλον σχῇς τῆς κληρονομίας, ἀδικεῖς, βίᾳ τὸ δικαίωμα προσποιούμενος τοῦτο, ἔπειτα ἴσθι με ἄπορον γεγενημένον, καὶ ζῶντα, καὶ πολλῶν δεόμενον, ἐξ ὧν ἀναπαύεται τὸ γῆρας τρεφόμενον· ὧν μὴ προσόντων, ὤφειλες ἴσως κἀκ σεαυτοῦ ἐπαρκέσαι μοι, καὶ μεταδοῦναι τοῦ περιόντος· ἐγὼ γὰρ οὐ, σοῦ νῦν εἰμι πλουσιώτερος, οὐκ ἠμνημόνησα τὰ μέν σοι διὰ δύο θαλασσῶν οὕτω πόῤῥω ἀφ' ἡμῶν ὄντι πέμψαι· τὰ δὲ καὶ πέμψω ἅμα προκύψαντα τῶν πιεστηρίων· ἐμὲ δ' οὖν

πολλῷ βαθυτέρᾳ ἐς ἐνεννηκοστὸν ἔτος κεχωρηκότα, προσουρεῖν καὶ τὰ σκέλη, ἵνα μάθῃ ὁ ἀνάλγητος ὡς μὴ καταφρονεῖν τῶν γερόντων. Ἔῤῥωσο.

*Γεωργίῳ.* (526.)

Δι' ὅλης νυκτὸς ἑώρων ἁλιευτικοὺς πυρσοὺς ἐν θαλάσσῃ, καὶ οἱ λέμβοι ἅμ' ἕῳ κατῆραν εἰς τὸν λιμένα· δῆλον ὅτι πλουσίας θήρας, εὐδίας γ' οὔσης, ἔτυχον οἱ ἡμέτεροι ἁλιεῖς· Ἐπειδὰν οὖν τάχιστά σοι καλῶς σχῇ ἀπὸ τῆς ὑπαρχούσης ἀσχολίας, περιὼν ἀπὸ τῆς ἀγορᾶς, ὤνησαι τῶν ἰχθύων ὅσον τήμερον καὶ τὴν ἐπιοῦσαν ἡμῖν ἐπαρκέσαι. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (527.)

Τέκνον Γεώργιε, αὔριον τὸ τοῦ Κριτοῦ πλοῖον μέλλει πλευσεῖσθαι εἰς Σύραν· δεῖ οὖν ἡμᾶς πέμψαι καὶ τὰς τοῦ Ὁμήρου βίβλους, ἅς τε αὐτόθι ὀφείλομεν, καὶ ἃς ἐκεῖθεν εἰς Λῆμνον, Μιτυλίνην, Ἄντρον, Μελένικον, καὶ Θεσσαλονίκην, συμπάσας, οἶμαι, οὔσας ἐς τετρακοσίας· δεῖ τοίνυν σε φροντίδα τούτου ἐντεῦθεν λαβεῖν, ἵνα ὡς ἄριστα κατακομίσας αὐτὰς διά τινος τῶν ἀχθοφόρων τήμερον παρὰ τῷ λιμενάρχῃ, ῥᾷον ἔχῃς αὔριον ἀπὸ τοῦ ἐγγυτάτου ἐπιθεῖναι αὐτὰς ἐς τὸ πλοῖον· ἵνα μὴ λαθὸν ἀναχθῇ, καὶ ποιήσῃ τὴν χάριν ἄχαριν τοῖς καραδοκοῦσι γενέσθαι, καὶ ταῦτα δεύτερος μὴν οὗτος, τῆς ἐκδόσεως κηρυχθείσης. Ἔῤῥωσο·

*Γεωργίῳ* (528.)

Λανδέρος ὁ Βασιλικὸς φαρμακοποιὸς, ἀνὴρ Γερμανὸς καὶ τῶν φυσικῶν ἐπιστημῶν ὡς δοκεῖ, τρίβων ἄριστος, πέπομφέ μοι δωρεὰν βιβλία τρία, περὶ ὧν ἐξήτακεν ἐπιστημονικῶς ἐν Κύθνῃ, καὶ Θήρᾳ, καὶ Μήλῳ θερμῶν ὑδάτων καὶ

γράφειν καθ' Ἕλληνας τὰ πρῶτά γε φέροντα· ὢ λέξις, ὢ ἁρμονία, ὢ τάξις, ὢ σαφήνεια, ὢ συνθήκη! τὰ πάνθ' ἁμιλλώμενά τε καὶ ἀνατρέχοντα πρὸς τὴν ἀρχαίαν κομψότητα. Μαρτυρεῖ δέ σοι ταῦτα εἰλικρηνῶς γέρων ἀνὴρ νῦν γ' ἐν τῷ ψυχροτάτῳ τῆς ἡλικίας, ὁπότ' οὐδεμία κολακείας ὑπόνοια ὕπεστι· καὶ ὃς τὰ τοιαῦτα ἐκ πλείστου ἐξητακὼς, περὶ πλείστου πεποίηται, καὶ οὔπω δοκεῖ πεπαῦσθαι, μετάγων τοὺς Ἕλληνας ἐκ τῆς πλάνης, ἣν αὐτῶν οἱ πλείους πεπλάνηνται. ἀσυμφύλοις τισὶ καὶ χυδαϊκοῖς ὀνόμασιν ἀσμενίζοντες· καὶ τὸ χείριστον, ἀλλότρια ἰδιώματα παραμούσως εἰς τὴν γλῶσσαν εἰσάγοντες, χάλκεα χρυσέων κατὰ τὸν Ὁμηρικὸν Γλαῦκον σκαιῶς τε καὶ ἀθέσμως ἀνταλλαττόμενοι. Ταῦτα δὴ οὐκ ἐπαυσάμην διδάσκων, ἀλλ' οὐδέπω οὐδὲν ταῖς αὐτῶν ψυχαῖς ἔδοξά τι ἐνεργάσασθαι ἄξιον, ἄλλων ἄλλα φρονούντων καὶ ἀξιούντων

„ Στρεπτὴ γὰρ γλῶττ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι.

Ἓν δὲ μόνον ἀπαξιούντων, ὡς οὐκ ὤφειλε, τὸ καθ' Ἕλληνας γράφειν. Ἀλλὰ γένοιο αὐτός γε, ἄνερ σοφὲ, καὶ τῆς Ἑλλάδος φίλε, γένοιο αὐτοῖς

„ Ἀμφότερον βασιλεύς τ' ἀγαθὸς, κρατερὸς τ' αἰχμητής.

Εἴης αὐτοῖς τῆς τ' ἐπιστήμης ἅμα καὶ τοῦ γράφειν διδάσκαλος, καὶ φρονῶν καὶ γράφων καθ' Ἕλληνας. Ἔῤῥωσο.

## *Ζαχαρίᾳ καὶ* Κοσμᾷ. (53ο.)

Καὶ πρώην μὲν ἡδέως γε τοὺς ἡδίστους ἐδεξάμην τυροὺς, καὶ νῦν δ' ἥδιον τὴν ῥινόκονιν, δῶρα ταῦτ' ἅμα ἀμφοτέρωθεν, καὶ παρ' ὧν φιλικὰ, καὶ πρὸς ὃν ἐρικυδέα, ὡς τῇτε χρείᾳ καὶ τῇ χάριτι συμμετρούμενα· χάρις οὖν ἔστω ὑμῖν ἐπὶ

σασθαι. Ἀλλά τις ἂν εἴη ἀξιόχρεως ἐξηγήσασθαι τρανῶς ταῦθ' ὅπως ἡ Πρόνοια ἐν τῷ γνόφῳ τῶν θείων γνώσεων ᾠκονόμησεν ἕκαστα; Διό φημι μηδὲν ἐξετάζειν, παρ' ὃ δεῖ πιστεύειν· τὸ δὲ φιλομαθὲς καὶ φιλόκαινον οἱ νέοι γε οὗτοι, ἐπειδὴ φύσει καὶ πᾶς ἄνθρωπος εἰδέναι ὀρέγεται, ἀναλισκέτωσαν οὐκ ἐν τοῖς δογματικοῖς, ἀλλ' ἐν τοῖς περὶ τὸ δόγμα καὶ τοῖς ἠθικοῖς μάλιστα, ἔνθα πανδαισίαν αὐτοῖς παρατίθησιν ὅ,τε φυσικὸς νόμος, καὶ ἡ κατὰ Σωκράτην φιλοσοφία. Ἔῤῥωσο.

## Τῷ Φιλαιτέρῳ. (332.)

Ἀναστάσιος ὁ Λεόντιος, ὁ ἀρχιδιδάσκαλος τοῦ ἐν Ναυπλίῳ Γυμνασίου, ὁ πάντων ἐπιμελέστερος καὶ εὐμεθοδώτερος ἐν τῷ διδάσκειν γενόμενος, καὶ παρὰ πάντων ἐκ τούτου ὑμνούμενος, οὗτος ἀπέχει τῆς ἑαυτοῦ ἀρετῆς τὴν ἀντιμισθείαν ἀξίαν, εἰς Τρίπολιν, ὡς ἀκούω, ἀποςαλεὶς συνδικάσων, ἢ καὶ καταδικάσων καὶ αὐτὸς τοὺς ἐκεῖ ἁλόντας τῶν λῃςῶν, ἵνα μάθῃ μετριώτερος περὶ τὴν φιλολογίαν εἶναι, καὶ ὅσον συμπροσποιεῖσθαι μόνον τοῖς ὑποκριταῖς τὴν περὶ τοὺς λόγους τῶν Ἑλλήνων βελτίωσιν, ἀλλὰ μὴ ἀπὸ ἁπλῆς γνώμης περὶ τούτου ἐντονώτερον, ἢ προσῆκε, φιλοτιμεῖσθαι· μὴ γὰρ συμφέρειν αὐτοῖς τῆς πατρῴας φωνῆς ἐς βάθος γενέσθαι ἐγκρατεῖς· ἥδε γὰρ δοκεῖ οἱονεὶ δαιμόνιον ἔχειν ἐν ἑαυτῇ ἀποκεκρυμμένον, ᾧ ὥσπερ κέντρῳ τῳ μυωπίζει τοὺς κατόχους αὐτῇ γιγνομένους πρὸς τὸ ταὐτὰ φρονεῖν τοῖς ἀμφὶ τὸν Περικλέα καὶ Ἀριστείδην! Ὁρᾷς ὅποι καὶ ὅπως οἴχεται τὰ ἡμέτερα; Δέος δ' οὖν μήτι καὶ ἡμεῖς πάθωμεν τὰ αὐτὰ, οἷς κἀν τῷ Ὀρφανοτροφείῳ ποτὲ, καὶ δεύτερον τοῦτο ἤδη ἀπὸ τῶν αὐτῶν πνευμάτων κἀν τῷ αὐτῷ λιμένι ναυάγιον πάθωμεν. Ἔῤῥωσο.

τοῦ δὲ, βιβλίον ἔχονθ' ὑπὸ μάλης, ἐς διδασκάλου φοιτᾶν. Νῦν δ' οὕτω τίσι, κἀκ πόσης ἀφορμῆς ἐπαρκοῖμεν ἂν πρῶτον, τῶν πάντων ἐπὶ τὴν ἐπίδοσιν ὁρμησάντων· καί τοι ἐγὼ κατά γε τὰ ὑπεσχημένα ὀφείλω ἔτι ἐκ πάντων πλείω, ἢ ἑκατὸν ἀντίτυπα πέμψαι τοῖς ἐν Βυζαντίῳ λογίοις· πρὸς ὃ εἰ ἔτι δύναμαι ἐπαρκέσαι, οὔπω τοι πέποιθα· οὐ γὰρ διανομὴ, ἀλλ' ἀσωτεία, ὡς ἂν εἴποι τις προσφυέστερον, τὸ πρᾶγμα τοῦτο ἐγένετο. Ἔῤῥωσο.

*Γεωργίῳ.* (535.)

Θαυμαστόν τι χρῆμα ἔοικα πεπονθέναι, ἀπὸ τῆς αὐτῆς ἀρχῆς ἐχθροὺς καὶ φίλους πεποιημένος, ἁπάντων ὡς ἡμᾶς ὁρμησάντων σοφῶν τε καὶ ἀγραμμάτων βιβλία αἰτεῖσθαι ὥσπερ εἰ ἦμεν κατ' Ἀπόστολον πᾶσιν ὀφειλέται σοφοῖς τε καὶ ἀγραμμάτοις· οἱ μὲν γὰρ ἂν αὐτῶν τῶν πάντων ἐκ πάντων τύχωσιν, οὗτοί γε φίλοι γίγνονται, ὥς φασιν· οἱ δὲ τινῶν μὲν, τινῶν δ' οὔ, καὶ οὗτοι ταὐτὰ ἐπαγγέλλονται, μέχρις ἂν ἐξέλθωσι τῆς οἰκίας· οἱ δὲ τελέως ἀποτυχόντες, ἐχθροὶ, καὶ αὐτοὶ ἀποβαίνουσιν, οἱ μὲν δεύτεροι διὰ τοὺς πρώτους, οἱ δὲ τρίτοι καὶ δι' ἀμφοτέρους, καταφρόνησιν τὴν ἀποτυχίαν ἡγούμενοι, καὶ συχνὸν παρ' αὐτοῖς τὸ, τί δήποτε τὸν δεῖνα ὁ Καλόγηρος ἐμοῦ προτετίμηκεν. Οὕτω δὴ τὸ πλεονεκτεῖν τῶν ἀνθρώπων κεκράτηκεν. Ἔῤῥωσο.

*Φιλεταίρῳ.* (536.)

Σωκράτης, οὗ λόγος ἐπ' ἀρετῇ πολὺς, μηδὲν μεῖζόν πω ἀγαθὸν τῇ τῶν Ἀθηναίων πόλει, ἢ τὴν ἑαυτοῦ τῷ θεῷ ὑπηρεσίαν γενέσθαι ἔλεγε· διαμείνας γὰρ ἐς τέλος, ἐν ᾧ ἐκλήθη, διετέλεσε πιστῶς τοῦτο πράττων, νέους καὶ πρεσβυτέρους ἀγαθοὺς πολίτας πείθων γενέσθαι· εἰδὼς γὰρ οὐ μόνον οἴκους

καὶ τἀδύνατα ἐν τοῖς δυνατοῖς παραβιάζεται κατατάττειν. Τὸν μὲν οὖν πολὺν ἄνθρωπον δι' ἀμαθίαν περὶ τὰ τοιαῦτα ἐξαπατᾶσθαι πλανώμενον οὐδὲν θαυμαστόν· τοὺς δὲ ἐννεάσαντας λόγοις καὶ πάντα κατὰ λόγον ἐπαγγελλομένους πιστεύειν, καὶ ταῦτ' ἐς ἔσχατον γῆρας ἐληλακότας, τοιαῦτα φοιβάζεσθαι, πῶς οὐκ ἂν εἴη γέλως πλατύς; Ἀναγνοὺς δὴ τὸ περιεχόμενον, εὑρήσεις τί ποτέ μοι δηλοίη τὸ αἴνιγμα.

### *Φιλεταίρῳ.* (539)

Βενετῶ ἡ τῶν ἀλεκτορίδων μοι βελτίστη εὑρέθη ὄπισθεν τῆς αὐλείου, οὐκ οἶδ' ὑφ' ὅτου, κακῶς ἀπολουμένου, κατεαγμένη τὸ εὐώνυμον σκέλος, καὶ τοῦτό μοι ἐνεποίησε πάθος οὐχ οἷόν τε καὶ εἰπεῖν· ὡς γὰρ ἀρθεῖσα ὑπὸ τῆς Μαρίας, ἐπεδόθη μοι, εὐθὺς ἤρξατο προσᾴδειν, οὐχ οἷον εἴωθε πρότερον μέλος, ἀποκαθαίρουσά μου τῷ ῥάμφει τῆς καρύκης τὸ γένειον, ἀλλὰ θρηνητικώτερόν τι καὶ ἐλεεινὸν, ὥσπερεὶ δεομένη προσενεγκεῖν τῷ τραύματι αὐτῆς, ἣν ἂν δύνωμαι θεραπείαν· Ἐγὼ δὲ δύναμαι μὲν οὐδὲν, μὴ εἰδώς· οἶδα δέ σε πεῖραν, ὡς Χορμοβίτην, ἐσχηκότα τοιούτων. Εἰ οὖν μέμνησαι, οἵαν μοι πολλάκις, οἷα ἐπὶ τῶν γονάτων μετὰ τῶν Χαρίτων προσπαίζουσα, ἡδονὴν ἐνεργάζετο, μὴ ἀπαξιώσῃς, καταδέσμους προσλαβὼν καὶ καταπλάσματα ἄττα, ἐλθεῖν τήμερον ὡς ἐμὲ, τὴν ἀπὸ τῆς σῆς ἐμπειρίας τῇ ταλαιπώρῳ ὄρνιθι ἐπιδειξόμενος δεξιότητα. Ἔρρωσο.

### *Περπέρῳ* (540.)

Ἀλλ' ἔδει ὑμᾶς μὴ Ἐπιμηθέας, ᾧ τὸ μὲν μέλειν οὐκέτ' ἦν, ἐνῆν δὲ τὸ μεταμέλειν· ἀλλὰ Προμηθέας μάλιστα, ἵνα μὴ οὕτω νῦν τῆς ἐλευθερίας παραπολαύετε, τὸ μὲν μετ' ἐπιεικείας Αὐθαίρετον, ὥς φατε ὑμεῖς, γαυριῶντες τότε καταδιώ-

ἑστίασιν καταδέξαντο. Τί οὖν ἂν εἴη ἑκατέρων τὸ αἴτιον, ὥςε πρὸς μὲν τὰ πολυτελέστερ' ἐκεῖνα ὀκνηρότερόν τε καὶ νωθρότερον ἔχειν τοὺς κεκλημένους, πρὸς δὲ τὰ εὐτελέστερα ταῦτα σπεύδειν καὶ τοὺς μηδὲν δεομένους; ἢ δῆλον, ὅτι τότε μὲν οὔπω ἦσαν εὔθετοι πρὸς τὴν πίστιν οἱ ἄνθρωποι, μὴ εἰδότες, ὅ ἤμελλον μυηθήσεσθαι· οἱ δ' Ἕλληνες νῦν συνειδότες τῷ χρόνῳ, οὗπερ ἀκλεῶς ἀπεστέρηνται, τοῦτο νῦν σπεύδουσι τῷ πόθῳ εὐκλεῶς ἀνασώσασθαι. Εἴτις οὖν κατάχρησις ἐν τῇ τῶν βίβλων ἐγένετο διανομῇ, οὐδὲν πρὸς ἔπος· ἀλλὰ μεταδοτέον δεομένοις καὶ μὴ δεομένοις τῶν ὑπαρχόντων ὅ,τι ποτ' ἂν περιῇ μέχρι τῶν ψιχίων· τὸ γὰρ γιγνόμενον σημεῖόν ἐστι τῆς ἐπὶ τὸ κρεῖττον τοῦ ἔθνους προαγωγῆς· καὶ εἰ βούλει ἄμεινον εἰδέναι τὴν μεταβολὴν ταύτην φανερὰν γενομένην, ἀνάγνωθι τὸν ἐμὸν μεγαλέμπορον Κτησίαν ἐν τῷ Σωκρατικῷ Αἰσχίνῃ, ἀφ' οἵων εἰς οἷα μεταβεβήκαμεν. Ἔρρωσο.

*Τῷ αὐτῷ.* (543.)

Ἐγὼ δ' ᾠόμην οὐ μᾶλλον διὰ μαλακότητα, ἢ διὰ ψύχος μὴ ἐλθεῖν σε καὶ τήμερον ἐς τὸ σπουδαστήριον· ὡς δ' ἤκουσα τοῦ Γεωργίου τοσαύτην ῥοὴν αἵματος ἐκ τῆς ῥινός σοι γενέσθαι, τὸ μὲν πρῶτον δείσας, ἐξέστην πρὸς τὴν ὑπερβολήν· ὡς δὲ ἀνεμνήσθην, ὧν οὐ πάνυ πόῤῥω μανίας πρότριτα εἴρηκας, ὁρμήσας παραιτήσασθαι τὸ ἐπάγγελμα, καὶ συνεχάρην σοι τῆς ἰάσεως μάλιστα· ξυνῆκα γὰρ τὸ αἷμα τοῦτ' αἴτιον τοῦ τοιαῦτά σε παραπαίειν γεγενημένον. Ἔχε τοίνυν νῦν γε ἡσύχως, τοῦ κακοῦ ἐξελθόντος, καὶ ὑγιαίνοις μοι, Φιλέταιρε φίλτατε, τοῦ λοιποῦ· Εἰδέτι καὶ αὖθις ὑπονοοῖς, παρασκευάσασθαι δεῖ κλυστῆρα καὶ σμίλιον, ἵν' εἴποτε ἐπανέλθοι ποτὲ πάλιν τὸ νόσημα, χρησαίμεθ' αὖθις τούτοις πρὸς ἴασιν ἐκ-

ἄνθρωποι; ἐγὼ δὲ ταῦθ' οὕτως ἔχειν, ὦ πάτερ, ἔφην, καί με πέποικας λόγῳ· ἀλλ' ἐπειδὴ ἔτυχον χρήματά τῳ ὀφείλων, τί φὴς αὐτὸς, ἔφην, πότερον μένειν με δεῖ ἐνταῦθα, μέχρις ἂν διαλύσω τὸ χρέος, ἢ τοὐναντίον ἀναχωρεῖν, τὸν ὀφειλέτην φυγόντα; Καὶ ὃς, τίς ἐστιν οὗτος, ἔφη, καὶ πόθεν σοι τὸ ὄφλημα γέγονεν; Ἡ πατρὶς ἔφην ἐγὼ, καὶ ὀφείλω αὐτῇ, ὥσπερ καὶ ἄλλος τις τὰ τροφεῖα, μέχρις οὗ ἀναπνέω· ὁ γὰρ πατὴρ οὑμὸς ἀπέτισε τὸ χρέος αὐτῇ, ἀποδοὺς ἐμὲ ἀνθ' αὐτοῦ· ἐγὼ δ' ἄγονος ὅλως εἰμὶ, καὶ φοβοῦμαι τὴν τῆς συκῆς ἐκκοπὴν καὶ τὴν καταδίκην. Ταῦτ' ἀκούσας ὁ πατὴρ, ᾤχετ' ἀπιὼν οὐ σὺν χάριτι. Σὺ δ' εἴ τι τούτων καλῶς εἰρῆσθαι δοκεῖ, καταλιπὼν τὴν ἄκαρπον Καλαυρίαν, ἐλθὲ ὡς ἡμᾶς ἐν Αἰγίνῃ, εἰ βούλει πατὴρ πολλῶν υἱῶν τε καὶ θυγατέρων καὶ τούτων ἀθανάτων γενέσθαι· οὓς ἀντὶ σεαυτοῦ τοῖς εἰσέπειτα καταλήψεις. Ἔρρωσο.

## Τῷ Φιλεταίρῳ. (547.)

Ἓξ ἡμέραι, φησὶν, εἰσὶν, ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ Σαββάτου· ἅγιον γὰρ τοῦτ' ἐστὶ τῷ Κυρίῳ· τί δή ποτε; μῶν ὁ Κύριος ἡμῶν τῆς ἡμῶν κατὰ ταύτην δὴ τὴν ἡμέραν λατρείας δεῖται; οὐμενουν, ὥσπερ οὐδὲ τῆς τοῦ ἐκ Ἐδὲμ ξύλου βρώσεως· ἀλλὰ κἀκείνην ἀπηγόρευσε τῷ Γενάρχῃ, κελεύσας τοῦ ξύλου ἀπέχεσθαι, ἵνα τὴν προαίρεσιν δοκιμάσῃ. Ἐντεῦθεν ἄρα ὀφείλομεν ἐν ταῖς ἑορταῖς ἀφοσιοῦσθαι ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, τήν τε θείαν γραφὴν ἀκριβῶς μετερχόμενοι, καὶ τὸν νοῦν ὑψοῦντες πρὸς τὸν ποιητὴν τῶν ἁπάντων, πάσης σωματικῆς πλὴν ἐν τοῖς ἀναγκαίοις ἀπεχόμενοι ἐνεργείας, ἵν' ἀφ' ἡσυχίας ὁμολογῶμεν τὰ θαυμάσια αὐτοῦ καὶ τὰς εὐεργεσίας. Ἀλλ' ἐπειδὴ πόθ' ὕστερον τὸ καθῆκον τοῦθ' ἡμῖν ἀντιπεριέστη δι' ἀμάθειαν εἰς

παρ' ἀγαθῷ, τῷ τοὺς ἀρίστους καὶ ἐν τῷ βίῳ τιμήσαντι, καὶ μετὰ τὸν βίον, εὖ οἶδα, τιμῶντι. Ἐπειδὰν δέποτε οἰκοδομηθῇ, ὡς εἰκὸς, Μουσεῖον Ἀθήνησιν, ἔνθα τεθήσονται αἱ τῶν ἀμφὶ Εὐγένειον καὶ Θεοτόκην καὶ Κοραῆν καὶ τῶν τοιούτων ἀρίστων εἰκόνες, κατατεθήσεται καὶ αὕτη παρ' αὐτοῖς· ἀπόκειται γὰρ καὶ ζῶσι τοῖς εὐεργέταις χάρις ὀφειλομένη, καὶ τεθνεῶσιν ὁμοίως τιμή τε καὶ ἔπαινος. Ἔῤῥωσο.

Τῷ αὐτῷ. (55ο.)

Οὐκοῦν γῆν ἤδη ὁρῶμεν· καὶ ἤδη παρὰ τῷ πορθμείῳ γεγενημένοι τοῦ Χάρωνος, παυώμεθα πάντων, ἐν οἷς ἐννεάσαμεν Ἀλλ' εἴτις προθεσμία μοι ἔτι ζῆν, πῶς ἂν διέλθοιμι τοῦθ' οὕτως ἄεργον καὶ σκυθρωπὸν μεταξὺ, ὁ ἐν πόνοις μὲν τὰς ἡδονὰς, ἐν δὲ ταῖς ἡδοναῖς τοὺς πόνους ἐξησκηκώς; Ὦ ἔρωτες λόγων, καὶ μόχθοι φιλόμουσοι, ἐν οἷς εὐδαιμονῶν διετέλεσα καὶ εὐθυμῶν διεβίωσα, ἡλίκον ὑμῶν τὸ κράτος! οἷα δὲ καὶ τὰ θέλγητρα! ἀλλά γε νῦν χαλασθέντες τῶν πάντων, τό γ' ἐπ' ἐμὲ, χαίρετε, καταλιπόντες αὖον ὅλως γερόντιον, ἀβληχρὸν, εἴδωλον ἀφανὲς τοῦ αἰθέρος, χαίρετε. Χαῖρε δέ μοι καὶ αὐτὸς, φίλτατε Σεργιάδη

„ Τοῦθ' ὑμῖν Λούκας τοὔπος ὕστατον θροεῖ,

ἀπὸ σοῦ ἀρξάμενος, καὶ εἰς σὲ καταλήξας.

„ Τὰ δ' ἄλλ' ἐν ᾅδου ὕστερον μυθήσομαι

ὁπότ' ἐκεῖσε μετ' ἀλλήλων γενώμεθα: χαῖρε, ἄνερ χρηστέ.

---

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

φυσαλίσις. 289. ἀποτρέψαι. 194. 4. σύνοιδα. 198. 6. ἔγνων. 204. 9. ἤδὲ 232. 30. στενῷ. 238. 20 ἑβδομηκοστοῦ. 249. 18. ἐπὶ βάσεως. 248. 20. φρεσίν. 252. 24. φονευσάντων. 265. 24. φονευσάντων. 281. 11. συγκαταναλῶσαι. 290. 10. προσδοκῶμεν. 292. 24. χυδαϊστάς. 297. 21. κηλῖδας 299. 27. ἀσυνδυάστως. 307. 14. ἔςαι.

## ΕΝ ΑΙΓΙΝΗ.

„ Τετρακτύς· ἤτοι, Ῥητορικὴ, Λογικὴ, Μεταφυσικὴ, καὶ Ἠθικὴ τῷ 1834. . . . . . Τόμ. 1

„ Ξυνωρίς· ἤτοι Φυσικὴ καὶ Μεταφυσική. . . . . 1

„ Σοφοκλῆς μετὰ παραφράσεως τῷ 1834. . . . 2

„ Εὐριπίδης μετὰ παραφράσεως. τῷ 1834. . . . 6

„ Ὅμηρος μετὰ παραφράσεως· τῷ 1835. . . . 6

„ Σοφιστής· ἤτοι Διάλογοι, καὶ λόγοι διάφοροι τῷ εἴδει καὶ περὶ διαφόρων πραγμάτων τῷ 1835. . . 1

„ Πανηγυριστής· τῆς αὐτῆς σχεδὸν ὕλης ἐν ἀμφοτέραις ταῖς διαλέκτοις τῷ 1835. . . . . . . . 1

„ Ἐπιστολαὶ πρὸς διαφόρους περὶ διαφόρων πραγμάτων τῷ 1835. 2